ΙΩΑΝΝΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

ΑΠΑΝΤΑ ΤΑ ΕΡΓΑ

11Α

Υ Π Ο Μ Ν Η Μ Α

ΕΙΣ ΤΟ ΚΑΤΑ ΜΑΤΘΑΙΟΝ ΕΥΑΓΓΕΛΙΟΝ

(ΟΜΙΛΙΕΣ ΝΖ' – ΟΔ')

ΕΚΔΟΣΗ ΔΕΥΤΕΡΗ

ΚΕΙΜΕΝΝ – ΜΕΤΑΦΡΑΣΙΣ – ΣΧΟΛΙΑ

Ὑπὸ

ΕΛΕΥΘΕΡΙΟΥ ΜΕΡΕΤΑΚΗ

Θεολόγου

42Α ΕΛΛΗΝΕΣ ΠΑΤΕΡΕΣ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ 42Α

Ἐπόπτης Ἐκδόσεως

ΠΑΝΑΓΙΩΤΗΣ Κ. ΧΡΗΣΤΟΥ, Καθηγητὴς Πανεπιστημίου

Ἐπιμελητὴς Ἐκδόσεως

ΕΛΕΥΘΕΡΙΟΣ Γ. ΜΕΡΕΤΑΚΗΣ, Πτυχιοῦχος Θεολογίας

Ε Π Ε

ΕΚΔΟΤΙΚΟΣ ΟΙΚΟΣ ΕΛΕΥΘΕΡΙΟΥ ΜΕΡΕΤΑΚΗ
«ΤΟ ΒΥΖΑΝΤΙΟΝ»
ΠΑΤΕΡΙΚΑΙ ΕΚΔΟΣΕΙΣ «ΓΡΗΓΟΡΙΟΣ Ο ΠΑΛΑΜΑΣ»
ΘΕΣΣΑΛΟΝΙΚΗ 1990

ΠΕΡΙΕΧΟΜΕΝΑ

	Σελὶς
ΠΕΡΙΕΧΟΜΕΝΑ	5
ΚΕΙΜΕΝΟ – ΜΕΤΑΦΡΑΣΗ	–595
ΟΜΙΛΙΑ ΝΖ′ (Ματθ. 17,10–21)	6–39
ΟΜΙΛΙΑ ΝΗ′ (Ματθ. 17,22–18,6)	40–75
ΟΜΙΛΙΑ ΝΘ′ (Ματθ. 18,7–14)	76–121
ΟΜΙΛΙΑ Ξ′ (Ματθ. 18,15–20)	122–141
ΟΜΙΛΙΑ ΞΑ′ (Ματθ. 18,21–35)	142–173
ΟΜΙΛΙΑ ΞΒ′ (Ματθ. 19,1–15)	174–207
ΟΜΙΛΙΑ ΞΓ′ (Ματθ. 19,16–26)	208–233
ΟΜΙΛΙΑ ΞΔ′ (Ματθ. 19,27–20,16)	234–267
ΟΜΙΛΙΑ ΞΕ′ (Ματθ. 20,17–28)	268–305
ΟΜΙΛΙΑ ΞΣ′ (Ματθ. 20,29–21,11)	306–335
ΟΜΙΛΙΑ ΞΖ′ (Ματθ. 21,12–32)	336–365
ΟΜΙΛΙΑ ΞΗ′ (Ματθ. 21,33–46)	366–399
ΟΜΙΛΙΑ ΞΘ′ (Ματθ. 22,1–14)	400–431
ΟΜΙΛΙΑ Ο′ (Ματθ. 22,15–33)	432–459
ΟΜΙΛΙΑ ΟΑ′ (Ματθ. 22,34–46)	460–483
ΟΜΙΛΙΑ ΟΒ′ (Ματθ. 23,1–12)	484–507
ΟΜΙΛΙΑ ΟΓ′ (Ματθ. 23,13–28)	508–533
ΟΜΙΛΙΑ ΟΔ′ (Ματθ. 23,29–39)	534–563
ΟΜΙΛΙΑ ΟΔ′ (Ματθ. 24,1–15)	564–595
ΕΥΡΕΤΗΡΙΑ	597–608
1. Εὑρετήριο χωρίων τῆς Γραφῆς	597–601
2. Εὑρετήριο ὀνομάτων καὶ πραγμάτων	601–608

ΟΜΙΛΙΑ ΝΖ΄
Ματθ. 17, 10 - 21

«Καὶ ἐπηρώτησαν αὐτὸν οἱ μαθηταὶ αὐτοῦ λέγοντες· τί οὖν οἱ γραμματεῖς λέγουσιν, ὅτι Ἠλίαν δεῖ ἐλθεῖν πρῶτον;».

1. Οὐκ ἄρα ἀπὸ τῶν Γραφῶν τοῦτο ἤδεσαν, ἀλλ' ἐκεῖνοι αὐτοῖς διεσάφουν, καὶ περιεφέρετο ὁ λόγος οὗτος ἐν τῷ ἀπείρῳ δήμῳ, καθάπερ καὶ ἐπὶ τοῦ Χριστοῦ. Διὸ καὶ ἡ Σαμαρεῖτις ἔλεγε· «Μεσσίας ἔρχεται· ὅταν ἔλθῃ ἐκεῖνος, ἀναγγελεῖ ἡμῖν πάντα»· καὶ αὐτοὶ ἠρώτων τὸν Ἰωάννην· «Ἠλίας εἶ, ἢ ὁ προφήτης;». Ἐκράτει μὲν γάρ, ὅπερ ἔφην, ὁ λόγος, καὶ ὁ περὶ τοῦ Χριστοῦ καὶ ὁ περὶ τοῦ Ἠλία, οὐχ ὡς ἐχρῆν δὲ παρ' ἐκείνων ἑρμηνευόμενος. Αἱ μὲν γὰρ Γραφαὶ δύο λέγουσι τοῦ Χριστοῦ παρουσίας, ταύτην τε τὴν γεγενημένην, καὶ τὴν μέλλουσαν· καὶ ταύτας δηλῶν ὁ Παῦλος ἔλεγεν· «Ἐπεφάνη ἡ χάρις τοῦ Θεοῦ ἡ σωτήριος, παιδεύουσα ἡμᾶς, ἵνα ἀρνησάμενοι τὴν ἀσέβειαν καὶ τὰς κοσμικὰς ἐπιθυμίας, σωφρόνως καὶ δικαίως καὶ εὐσεβῶς ζήσωμεν». Ἰδοὺ ἡ μία· ἄκουσον πῶς καὶ τὴν ἑτέραν δηλοῖ. Εἰπὼν γὰρ ταῦτα, ἐπήγαγε· «Προσδεχόμενοι τὴν μακαρίαν ἐλπίδα, καὶ ἐπιφάνειαν τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ».

Καὶ οἱ προφῆται δὲ ἑκατέρας μέμνηνται· τῆς μέντοι μιᾶς, τῆς δευτέρας, πρόδρομον λέγουσι τὸν Ἠλίαν ἔσεσθαι. Τῆς μὲν γὰρ προτέρας ἐγένετο ὁ Ἰωάννης, ὃν καὶ Ἠλίαν ὁ Χριστὸς ἐκάλει· οὐκ ἐπειδὴ Ἠλίας ἦν, ἀλλ' ἐπειδὴ τὴν διακονίαν

---

1. ἑαυτοὺς διορθώνομεν μὲ 'ἑαυτοῖς', ποὺ ὑπάρχει εἰς ἄλλους κώδικας, πρὸς καλυτέραν ἀπόδοσιν τοῦ νοήματος.
2. Ἰω. 4, 25.
3. Ἰω. 1, 21.
4. Τίτ. 2, 11-12.
5. Τίτ. 2, 13.

ΟΜΙΛΙΑ ΝΖ΄
Ματθ. 17, 10 - 21

«Καὶ τὸν ἠρώτησαν οἱ μαθηταί του, λέγοντες· Διατί λοιπὸν οἱ γραμματεῖς λέγουν, ὅτι πρέπει πρῶτα νὰ ἔλθῃ ὁ Ἠλίας;».

1. Ἄρα λοιπὸν οἱ γραμματεῖς δὲν τὸ ἐγνώριζον αὐτὸ ἀπὸ τὰς Γραφάς, ἀλλ' οἱ ἴδιοι ἔδιδον αὐτὴν τὴν ἑρμηνείαν εἰς αὐτοὺς[1] καὶ διεδίδετο αὐτὸς ὁ λόγος εἰς τὸ ἄπειρον πλῆθος τοῦ λαοῦ, ὅπως ἀκριβῶς καὶ εἰς τὴν περίπτωσιν τοῦ Χριστοῦ. Διὰ τοῦτο καὶ ἡ Σαμαρεῖτις ἔλεγε· «Ἔρχεται ὁ Μεσσίας· ὅταν θὰ ἔλθῃ ἐκεῖνος θὰ μᾶς τὰ εἰπῇ ὅλα»[2]· οἱ ἴδιοι δὲ οἱ γραμματεῖς ἠρώτων τὸν Ἰωάννην· «Εἶσαι ὁ Ἠλίας ἢ ὁ προφήτης;»[3]. Βέβαια, ὅπως προανέφερα, διεδίδετο ὁ λόγος καὶ περὶ τοῦ Χριστοῦ καὶ περὶ τοῦ Ἠλία, ἀλλ' ὅμως δὲν ἑρμηνεύετο ἀπὸ ἐκείνους ὅπως ἔπρεπε. Διότι αἱ μὲν Γραφαὶ ὁμιλοῦν διὰ δύο παρουσίας τοῦ Χριστοῦ· καὶ δι' αὐτὴν ἡ ὁποία ἐπραγματοποιήθη, καὶ διὰ τὴν μέλλουσαν. Θέλων ὁ Παῦλος νὰ δηλώσῃ αὐτάς, ἔλεγεν· «Ἐφανερώθη ἡ σωτήριος χάρις τοῦ Θεοῦ, διὰ νὰ μᾶς διδάξῃ, ὥστε, ἀφοῦ ἀρνηθῶμεν τὴν ἀσέβειαν καὶ τὰς κοσμικὰς ἐπιθυμίας, νὰ ζήσωμεν μὲ σωφροσύνην, δικαιοσύνην καὶ εὐσέβειαν»[4]. Αὐτὴ εἶναι ἡ μία παρουσία. Ἄκουσε πῶς ὁμιλεῖ καὶ διὰ τὴν ἄλλην. Διότι μετὰ ἀπὸ αὐτὰ προσέθεσεν· «προσμένοντες νὰ πραγματοποιηθῇ ἡ πανευτυχὴς ἐλπίς μας καὶ νὰ φανερωθῇ ἡ δόξα τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ»[5].

Ἀλλὰ καὶ οἱ προφῆται ὑπενθυμίζουν καὶ τὰς δύο. Τῆς μιᾶς λοιπόν, δηλαδὴ τῆς δευτέρας, θὰ εἶναι, λέγουν, πρόδρομος ὁ Ἠλίας[6], διότι τῆς μὲν πρώτης πρόδρομος ἐγένετο ὁ Ἰωάννης, τὸν ὁποῖον ὁ Χριστὸς ὠνόμαζε καὶ Ἠλίαν, ὄχι ἐπειδὴ ἦτο ὁ Ἠλίας, ἀλλ' ἐπειδὴ ἐπραγματοποίει τὸ ἔργον

---

6. Μαλ. 4, 4.

ἐπλήρου τὴν ἐκείνου. Ὥσπερ γὰρ ἐκεῖνος πρόδρομος ἔσται τῆς δευτέρας παρουσίας, οὕτω καὶ οὗτος τῆς προτέρας ἐγένετο. Ἀλλ' οἱ γραμματεῖς ταῦτα συγχέοντες καὶ διαστρέφοντες τὸν δῆμον, ἐκείνης ἐμνημόνευον μόνης πρὸς τὸν δῆμον, τῆς δευτέρας παρουσίας, καὶ ἔλεγον, ὅτι εἰ οὗτός ἐστιν ὁ Χριστός, ἔδει τὸν Ἠλίαν προλαβεῖν. Διὰ τοῦτο καὶ οἱ μαθηταὶ λέγουσι· «Πῶς οἱ γραμματεῖς λέγουσιν, Ἠλίαν δεῖ ἐλθεῖν πρῶτον;». Διὰ τοῦτο καὶ πρὸς τὸν Ἰωάννην πέμψαντες οἱ Φαρισαῖοι ἠρώτων· «εἰ σὺ εἶ Ἠλίας;», οὐ μνημονεύοντες οὐδαμοῦ τῆς προτέρας παρουσίας.

Τίς οὖν ἐστιν ἡ λύσις, ἣν ὁ Χριστὸς ἐπήγαγεν; Ὅτι Ἠλίας μὲν ἔρχεται τότε πρὸ τῆς δευτέρας μου παρουσίας· καὶ νῦν δὲ ἐλήλυθεν Ἠλίας· τὸν Ἰωάννην οὕτω καλῶν. Οὗτος ἦλθεν Ἠλίας. Εἰ δὲ τὸν Θεσβίτην ζητοίης, ἔρχεται. Διὸ καὶ ἔλεγεν· «Ἠλίας μὲν ἔρχεται καὶ ἀποκαταστήσει πάντα». Ποῖα πάντα; Ἅπερ ὁ προφήτης ἔλεγε Μαλαχίας. «Ἀποστελῶ γὰρ ὑμῖν, φησίν, Ἠλίαν τὸν Θεσβίτην, ὃς ἀποκαταστήσει καρδίαν πατρὸς πρὸς υἱόν, μὴ ἐλθὼν πατάξω τὴν γῆν ἄρδην». Εἶδες ἀκρίβειαν προφητικῆς ῥήσεως; Ἐπειδὴ γὰρ τὸν Ἰωάννην Ἠλίαν ἐκάλεσεν ὁ Χριστός, διὰ τὴν κοινωνίαν τῆς διακονίας, ἵνα μὴ νομίσῃς τοῦτο καὶ παρὰ τοῦ προφήτου λέγεσθαι νῦν, προσέθηκεν αὐτοῦ καὶ τὴν πατρίδα, εἰπών, «τὸν Θεσβίτην»· Ἰωάννης δὲ Θεσβίτης οὐκ ἦν. Καὶ ἕτερον δὲ μετὰ τούτου παράσημον τίθησι λέγων, «μὴ ἐλθὼν πατάξω τὴν γῆν ἄρδην», τὴν δευτέραν αὐτοῦ παρουσίαν ἐμφαίνων τὴν φοβερὰν. Τῇ γὰρ προτέρᾳ οὐκ ἦλθε πατάξαι τὴν γῆν. «Οὐ γὰρ ἦλθον», φησίν, «ἵνα κρίνω τὸν κόσμον, ἀλλ' ἵνα σώσω τὸν κόσμον». Λήψῃ τοίνυν, ὅτι πρὸ ἐκείνης ἔρχεται ὁ Θεσβίτης

. Ἰω. 1, 21.
. Μαλ. 4, 5.
. Ἰω. 12, 47.

ἐκείνου. Ὅπως ἀκριβῶς δηλαδὴ ἐκεῖνος θὰ γίνῃ πρόδρομος τῆς δευτέρας παρουσίας, ἔτσι καὶ αὐτὸς ὑπῆρξε πρόδρομος τῆς πρώτης. Οἱ γραμματεῖς ὅμως συγχέοντες αὐτὰ καὶ παραπλανοῦντες τὸν λαόν, ἔκαμνον λόγον πρὸς αὐτὸν μόνον διὰ τὴν δευτέραν παρουσίαν καὶ ἔλεγον, ὅτι ἐὰν αὐτὸς εἶναι ὁ Χριστός, ἔπρεπε νὰ ἤρχετο πρὶν ἀπὸ αὐτὸν ὁ Ἠλίας. Διὰ τοῦτο καὶ οἱ μαθηταὶ ἐρωτοῦν· «Πῶς οἱ γραμματεῖς λέγουν, ὅτι πρέπει ὁ Ἠλίας νὰ ἔλθῃ πρῶτος;». Διὰ τοῦτο καὶ οἱ Φαρισαῖοι ἀποστείλαντες ἀνθρώπους των πρὸς τὸν Ἰωάννην τὸν ἠρώτουν· «Μήπως σὺ εἶσαι ὁ Ἠλίας;»[7], μὴ κάμνοντες πουθενὰ λόγον διὰ τὴν πρώτην παρουσίαν.

Ποία λοιπὸν εἶναι ἡ ἀπάντησις ποὺ ἔδωσεν ὁ Χριστός; Ὅτι ὁ μὲν Ἠλίας θὰ ἔλθῃ τότε πρὶν ἀπὸ τὴν δευτέραν παρουσίαν του· καὶ τώρα δὲ ἦλθεν ὁ Ἠλίας, ὀνομάζων ἔτσι τὸν Ἰωάννην. Αὐτὸς ὁ Ἠλίας ἦλθεν. Ἐὰν δὲ θέλῃς τὸν Θεσβίτην, θὰ ἔλθῃ. Διὰ τοῦτο καὶ ἔλεγεν· «Ὁ μὲν Ἠλίας θὰ ἔλθῃ καὶ θὰ τακτοποιήσῃ ὅλα». Ποῖα ὅλα; Αὐτὰ ἀκριβῶς διὰ τὰ ὁποῖα ἔλεγεν ὁ προφήτης Μαλαχίας. Διότι λέγει· «Θ' ἀποστείλω εἰς σᾶς τὸν Ἠλίαν τὸν Θεσβίτην, ὁ ὁποῖος θὰ ἀποκαταστήσῃ τὴν καρδίαν τοῦ πατρὸς πρὸς τὸν υἱόν του, διὰ νὰ μὴ ἔλθω καὶ ἐξολοθρεύσω τὴν γῆν ἐκ θεμελίων»[8]. Βλέπεις ἀκρίβειαν προφητικοῦ λόγου; Διότι, ἐπειδὴ ὁ Χριστὸς ὠνόμασε τὸν Ἰωάννην Ἠλίαν, λόγῳ τῆς ὁμοιότητος τοῦ ἔργου του, διὰ νὰ μὴ νομίσῃς ὅτι τὸ ἴδιο νόημα ἔχουν τώρα τὰ λόγια τοῦ προφήτου, προσέθεσε καὶ τὴν πατρίδα του, λέγων, «τὸν Θεσβίτην»· ἀσφαλῶς ὁ Ἰωάννης δὲν ἦτο Θεσβίτης. Μαζὶ δὲ μ' αὐτὸ προσθέτει καὶ ἄλλο χαρακτηριστικὸν γνώρισμα, λέγων, «διὰ νὰ μὴ συμβῇ νὰ ἔλθω καὶ καταστρέψω ἐκ θεμελίων τὴν γῆν», δηλώνων μὲ τὰ λόγια αὐτὰ τὴν φοβερὰν δευτέραν παρουσίαν του· διότι κατὰ τὴν πρώτην δὲν ἦλθε διὰ νὰ πατάξῃ τὴν γῆν· καθ' ὅσον λέγει· «Δὲν ἦλθα διὰ νὰ κρίνω τὸν κόσμον, ἀλλὰ διὰ νὰ σώσω τὸν κόσμον»[9]. Αὐτὸ λοιπὸν τὸ εἶπε διὰ νὰ δηλώσῃ ὅτι ὁ Θεσβίτης θὰ ἔλθῃ πρὶν ἀπὸ τὴν δευτέραν παρουσίαν του, κατὰ τὴν ὁποίαν θὰ

τῆς τὴν κρίσιν ἐχούσης, τοῦτο εἴρηκε. Καὶ τὴν αἰτίαν δὲ ὁμοῦ διδάσκει τῆς παρουσίας αὐτοῦ. Τίς δὲ ἡ αἰτία; Ἵνα ἐλθὼν πείσῃ πιστεῦσαι τοὺς Ἰουδαίους τῷ Χριστῷ, καὶ μὴ πάντες ἄρδην ἀπόλωνται παραγενομένου. Διὸ δὴ καὶ αὐτὸς εἰς ἐκείνην αὐτοὺς παραπέμπων τὴν μνήμην, φησί· «καὶ ἀποκαταστήσει πάντα», τουτέστι, διορθώσεται τὴν ἀπιστίαν τῶν Ἰουδαίων τῶν τότε εὑρισκομένων. Διὸ καὶ σφόδρα ἀκριβέστατα εἴρηκεν. Οὐ γὰρ εἶπεν, Ἀποκαταστήσει καρδίαν υἱοῦ πρὸς πατέρα, ἀλλά, «πατρὸς πρὸς υἱόν». Ἐπειδὴ γὰρ πατέρες ἦσαν τῶν ἀποστόλων οἱ Ἰουδαῖοι, τοῦτο λέγει, ὅτι ἀποκαταστήσει τοῖς δόγμασι τῶν υἱῶν αὐτῶν, τουτέστι, τῶν ἀποστόλων, τὰς καρδίας τῶν πατέρων, τουτέστι, τοῦ γένους τῶν Ἰουδαίων τὴν διάνοιαν. «Λέγω δὲ ὑμῖν, ὅτι Ἠλίας ἤδη ἦλθε, καὶ οὐκ ἔγνωσαν αὐτόν, ἀλλ' ἐποίησαν ἐν αὐτῷ ὅσα ἠθέλησαν. Οὕτω καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου μέλλει πάσχειν ὑπ' αὐτῶν. Τότε συνῆκαν, ὅτι περὶ Ἰωάννου εἶπεν αὐτοῖς». Καίτοι οὔτε οἱ γραμματεῖς τοῦτο εἶπον, οὔτε αἱ Γραφαί· ἀλλ' ἐπειδὴ λοιπὸν ὀξύτεροι ἐγένοντο καὶ προσεκτικώτεροι πρὸς τὰ λεγόμενα, ταχέως συνίεσαν.

Πόθεν δὲ ἔγνωσαν τοῦτο οἱ μαθηταί; Ἦν ἤδη προειρηκὼς αὐτοῖς, «αὐτός ἐστιν Ἠλίας ὁ μέλλων ἔρχεσθαι», ἐνταῦθα δέ, ὅτι ἦλθε· καὶ πάλιν, ὅτι «Ἠλίας ἔρχεται καὶ ἀποκαταστήσει πάντα». Ἀλλὰ μὴ θορυβηθῇς, μηδὲ πεπλανῆσθαι τὸν λόγον νομίσῃς, εἰ ποτὲ μὲν αὐτὸν ἥξειν, ποτὲ δὲ ἐληλυθέναι ἔφη. Πάντα γὰρ ἀληθῆ ταῦτα. Ὅταν μὲν γὰρ εἴπῃ, ὅτι «Ἠλίας μὲν ἔρχεται καὶ ἀποκαταστήσει πάντα», αὐτὸν Ἠλίαν φησί, καὶ τὴν τότε ἐσομένην τῶν Ἰουδαίων ἐπιστροφήν· ὅταν

. Πρβλ. Ρωμ. 11, 25-26.
. Ματθ. 17, 12-13.

γίνῃ ἡ κρίσις. Συγχρόνως δὲ διδάσκει καὶ τὴν αἰτίαν τῆς παρουσίας του. Ποία δὲ εἶναι ἡ αἰτία αὐτή; Διὰ νὰ πείσῃ, ἀφοῦ ἔλθῃ, τοὺς Ἰουδαίους νὰ πιστεύσουν εἰς τὸν Χριστόν, ὥστε νὰ μὴ ἐξολοθρευθοῦν ὅλοι ριζικῶς ὅταν θὰ ἔλθῃ ὁ Χριστός. Διὰ τοῦτο λοιπὸν καὶ ὁ Κύριος τοὺς ὑπενθυμίζει αὐτό, λέγων, «καὶ θὰ τακτοποιήσῃ ὅλα», δηλαδὴ θὰ ἐπαναφέρῃ εἰς τὴν ὀρθὴν πίστιν τοὺς τότε εὑρισκομένους Ἰουδαίους[10]. Διὰ τοῦτο καὶ τὸ ἀνέφερε μὲ πάρα πολὺ μεγάλην ἀκρίβειαν. Δὲν εἶπε δηλαδή, θ' ἀποκαταστήσῃ τὴν καρδίαν τοῦ υἱοῦ πρὸς τὸν πατέρα του, ἀλλά, «τοῦ πατρὸς πρὸς τὸν υἱόν του». Διότι, ἐπειδὴ οἱ Ἰουδαῖοι ἦσαν πατέρες τῶν ἀποστόλων, λέγει αὐτό, ὅτι θὰ ὁδηγήσῃ εἰς τὸ νὰ πιστεύσουν εἰς τὰς ἀληθείας τῶν υἱῶν των, δηλαδὴ τῶν ἀποστόλων, τὰς καρδίας τῶν πατέρων, δηλαδὴ τὴν διάνοιαν τοῦ Ἰουδαϊκοῦ γένους. «Σᾶς λέγω δέ, ὅτι ὁ Ἠλίας ἤδη ἦλθε καὶ δὲν τὸν ἀνεγνώρισαν, ἀλλὰ τοῦ ἐπροξένησαν ὅσα κακὰ ἠθέλησαν. Ἔτσι καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου πρόκειται νὰ πάθῃ πολλὰ ἀπ' αὐτούς. Τότε ἀντελήφθησαν ὅτι μὲ τὰ λόγια του αὐτὰ ἐννοοῦσε τὸν Ἰωάννην»[11]. Μολονότι βέβαια οὔτε οἱ γραμματεῖς τὸ εἶπον αὐτό, οὔτε καὶ αἱ Γραφαί, ἀλλ' ἐπειδὴ πλέον ἔγιναν ὡριμώτεροι πνευματικὰ καὶ προσεκτικώτεροι πρὸς τὰ λόγια του, ἀμέσως ἀντελήφθησαν τὸ νόημα τῶν λόγων του.

Ἀπὸ ποῦ ὅμως τὸ ἀντελήφθησαν αὐτὸ οἱ μαθηταί του; Ἤδη τοὺς εἶχεν εἰπεῖ, «Αὐτὸς εἶναι ὁ Ἠλίας, ποὺ πρόκειται νὰ ἔλθῃ», ἐνῷ τώρα τοὺς λέγει, ὅτι ἦλθεν· καὶ πάλιν· «Θὰ ἔλθῃ ὁ Ἠλίας, ὁ ὁποῖος θὰ τακτοποιήσῃ ὅλα». Μὴ ἀνησυχήσῃς ὅμως, οὔτε νὰ σχηματίσῃς τὴν γνώμην ὅτι τὰ λόγια αὐτὰ ἀντιφάσκουν, ἐπειδὴ ἄλλοτε μὲν εἶπεν ὅτι αὐτὸς ἦλθεν, ἄλλοτε δὲ ὅτι θὰ ἔλθῃ. Ὅλα αὐτὰ εἶναι ἀληθινά. Διότι ὅταν μὲν λέγῃ, ὅτι «Θὰ ἔλθῃ ὁ Ἠλίας καὶ θ' ἀποκαταστήσῃ τὰ πάντα», ἐννοεῖ τὸν ἴδιον τὸν Ἠλίαν καὶ τὴν ἐπιστροφὴν τῶν Ἰουδαίων ποὺ πρόκειται νὰ γίνῃ τότε, ὅταν ὅμως λέγῃ, ὅτι «Αὐτὸς εἶναι ἐκεῖνος ποὺ πρόκειται νὰ ἔλθῃ»,

δὲ εἴπῃ, ὅτι «ὁ μέλλων ἔρχεσθαι», κατὰ τὸν τρόπον τῆς διακονίας Ἰωάννην Ἠλίαν καλεῖ. Καὶ γὰρ οἱ προφῆται ἕκαστον τῶν εὐδοκίμων βασιλέων Δαυὶδ ἐκάλουν, καὶ τοὺς Ἰουδαίους ἄρχοντας Σοδόμων καὶ υἱοὺς Λιβιόπων, ἀπὸ τῶν τρόπων. Ὥσπερ γὰρ ἐκεῖνος τῆς δευτέρας ἔσται παρουσίας, οὕτως οὗτος τῆς προτέρας ἐγένετο πρόδρομος.

2. Οὐ διὰ τοῦτο δὲ μόνον Ἠλίαν αὐτὸν ὀνομάζει πανταχοῦ, ἀλλ' ἵνα δείξῃ αὐτὸν τῇ παλαιᾷ συμβαίνοντα, καὶ κατὰ προφητείαν καὶ τὴν παρουσίαν ταύτην οὖσαν. Διὸ καὶ ἐπάγει πάλιν, ὅτι «ἦλθε, καὶ οὐκ ἔγνωσαν αὐτόν, ἀλλ' ἐποίησαν εἰς αὐτὸν πάντα ὅσα ἠθέλησαν». Τί ἐστι, «πάντα ὅσα ἠθέλησαν»; Ἐνέβαλον εἰς δεσμωτήριον, ὕβρισαν, ἀπέκτειναν, ἤνεγκαν τὴν κεφαλὴν αὐτοῦ ἐπὶ πίνακος. «Οὕτω καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου μέλλει πάσχειν ὑπ' αὐτῶν». Ὁρᾷς πῶς πάλιν εὐκαίρως αὐτοὺς ἀναμιμνήσκει τοῦ πάθους, ἀπὸ τοῦ πάθους τοῦ Ἰωάννου πολλὴν αὐτοῖς προξενῶν τὴν παραμυθίαν; Οὐ ταύτῃ δὲ μόνον, ἀλλὰ καὶ τῷ θαύματα εὐθέως ἐργάσασθαι μεγάλα. Καὶ γὰρ ἡνίκα ἂν περὶ τοῦ πάθους διαλέγηται, εὐθέως θαυματουργεῖ, καὶ μετὰ τοὺς λόγους, καὶ πρὸ τῶν λόγων τούτων· καὶ πολλαχοῦ τοῦτο παρατηρήσαντά ἐστιν εὑρεῖν.

«Τότε γοῦν», φησίν, «ἤρξατο δεικνύειν, ὅτι δεῖ αὐτὸν ἀπελθεῖν εἰς Ἱεροσόλυμα, καὶ ἀποκτανθῆναι καὶ πολλὰ παθεῖν». Τότε, πότε; Ὅτε ὡμολογήθη Χριστὸς καὶ Υἱὸς εἶναι τοῦ Θεοῦ. Πάλιν ἐν τῷ ὄρει, ὅτε τὴν θαυμασιὴν αὐτοῖς ἔδειξεν ὄψιν, καὶ περὶ τῆς δόξης αὐτοῦ διελέχθησαν οἱ προφῆται, ἀνέμνησεν αὐτοὺς τοῦ πάθους. Εἰπὼν γὰρ τὴν κατὰ Ἰωάννην ἱστορίαν, ἐπήγαγεν· «Οὕτω καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου

Ἡσ. 1. 10.
Ματθ. 16, 21.

ὀνομάζει τότε Ἠλίαν τὸν Ἰωάννην λόγῳ τῆς ὁμοιότητος τοῦ ἔργου του. Καθ' ὅσον καὶ οἱ προφῆται τὸν καθένα ἀπὸ τοὺς διαπρέψαντας βασιλεῖς τὸν ὠνόμαζον Δαυίδ, καὶ τοὺς Ἰουδαίους, ἐξ αἰτίας τῆς συμπεριφορᾶς των τοὺς ὠνόμαζον ἄρχοντας τῶν Σοδόμων[12] καὶ υἱοὺς τῶν Αἰθιόπων. Διότι, ὅπως ἀκριβῶς ἐκεῖνος θὰ εἶναι πρόδρομος τῆς δευτέρας παρουσίας, ἔτσι καὶ αὐτὸς ὑπῆρξε πρόδρομος τῆς πρώτης παρουσίας του.

2. Δὲν τὸν ὀνομάζει δὲ Ἠλίαν εἰς κάθε περίπτωσιν μόνον διὰ τὸν λόγον αὐτόν, ἀλλὰ διὰ νὰ δείξῃ τὴν πάρα πολὺ μεγάλην συμφωνίαν του μὲ τὴν Παλαιὰν Διαθήκην καὶ ὅτι ἡ παρουσία αὐτοῦ ἐγένετο κατόπιν προφητείας. Διὰ τοῦτο καὶ προσθέτει πάλιν, ὅτι «ἦλθε καὶ δὲν τὸν ἀνεγνώρισαν, ἀλλὰ τοῦ ἐπροξένησαν ὅσα κακὰ ἠθέλησαν». Τί σημαίνει δὲ «πάντα ὅσα ἠθέλησαν»; Τὸν ἔκλεισαν εἰς τὴν φυλακήν, τὸν ὕβρισαν, τὸν ἐφόνευσαν, καὶ μετέφεραν τὴν κεφαλήν του ἐπάνω εἰς πινάκιον φαγητοῦ. «Κατὰ τὸν ἴδιον τρόπον πρόκειται νὰ πάθῃ ἀπ' αὐτοὺς καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου». Βλέπεις πῶς πάλιν εἰς τὴν κατάλληλον στιγμὴν τοὺς ὑπενθυμίζει τὸ πάθος του, προξενῶν εἰς αὐτοὺς μεγάλην παρηγορίαν ἀπὸ τὸ πάθος τοῦ Ἰωάννου; Καὶ ὄχι μόνον κατ' αὐτὸν τὸν τρόπον, ἀλλὰ καὶ μὲ τὸ ὅτι ἐπιτελεῖ εὐθὺς ἀμέσως μεγάλα θαύματα. Καθ' ὅσον κάθε φορὰν ποὺ συνέβαινε νὰ ὁμιλῇ διὰ τὸ πάθος του, ἀμέσως ἐθαυματούργει, καὶ μετὰ ἀπὸ τοὺς λόγους του καὶ πρὶν ἀπὸ τοὺς λόγους του, καὶ αὐτὸ εἶναι δυνατὸν νὰ παρατηρήσῃ κανεὶς εἰς πολλὰς περιπτώσεις.

«Τότε λοιπόν», λέγει, «ἤρχισε νὰ φανερώνῃ εἰς τοὺς μαθητάς του, ὅτι πρέπει νὰ μεταβῇ εἰς τὰ Ἱεροσόλυμα, ὅπου θὰ πάθῃ πολλὰ καὶ θὰ θανατωθῇ»[13]. Τότε· πότε; Ὅταν ὡμολογήθη ὅτι εἶναι ὁ Χριστὸς καὶ ὁ Υἱὸς τοῦ Θεοῦ. Πάλιν εἰς τὸ ὄρος, ὅταν ἀπεκάλυψεν εἰς αὐτοὺς τὴν θαυμαστὴν δόξαν του, καὶ οἱ προφῆται ὡμίλησαν περὶ τῆς δόξης του, τοὺς ὑπενθύμισε τὸ πάθος του. Διότι, ἀφοῦ τοὺς διηγήθη τὰ σχετικὰ μὲ τὸν Ἰωάννην, ἐπρόσθεσεν· «Ἔτσι καὶ ὁ Υἱὸς τοῦ

μέλλει πάσχειν ὑπ' αὐτῶν». Καὶ μετὰ μικρὸν πάλιν, ὅτε τὸν δαίμονα ἐξέβαλεν, ὃν οὐκ ἴσχυσαν οἱ μαθηταὶ ἐκβαλεῖν. Καὶ γὰρ καὶ τότε, «ἀναστρεφομένων αὐτῶν ἐν τῇ Γαλιλαίᾳ», φησίν, «εἶπεν αὐτοῖς ὁ Ἰησοῦς, ὅτι μέλλει ὁ Υἱὸς τοῦ ἀνθρώπου παραδίδοσθαι εἰς χεῖρας ἀνθρώπων ἁμαρτωλῶν, καὶ ἀποκτενοῦσιν αὐτὸν καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσεται». Τοῦτο δὲ ἐποίει, τῷ μεγέθει τῶν θαυμάτων τὴν ὑπερβολὴν τῆς λύπης ὑποτεμνόμενος, καὶ παντὶ τρόπῳ αὐτοὺς παραμυθούμενος, ὥσπερ καὶ ἐνταῦθα τῇ μνήμῃ τοῦ θανάτου Ἰωάννου πολλὴν αὐτοῖς παρεῖχε τὴν παράκλησιν. Εἰ δὲ λέγοι τις· τίνος ἕνεκεν μὴ καὶ νῦν τὸν Ἠλίαν ἀναστήσας ἔπεμψεν, εἴγε τοσαῦτα αὐτοῦ μαρτυρεῖ τῇ παρουσίᾳ ἀγαθά; ἐροῦμεν, ὅτι καὶ νῦν τὸν Χριστὸν νομίζοντες Ἠλίαν εἶναι, οὐκ ἐπίστευον αὐτῷ. «Οἱ μὲν» γάρ, φησίν, «Ἠλίαν σε λέγουσιν, οἱ δὲ Ἱερεμίαν». Καὶ Ἰωάννου δὲ καὶ Ἠλίου οὐδὲν ἦν τὸ μέσον, ἢ ὁ χρόνος μόνος.

Πῶς οὖν τότε πιστεύσουσι; φησί. Καὶ γὰρ ἀποκαταστήσει πάντα οὐ διὰ τὸ γνώριμος εἶναι μόνον, ἀλλὰ καὶ διὰ τὸ διαταθῆναι μέχρι τῆς ἡμέρας ἐκείνης ἐπὶ πλέον τοῦ Χριστοῦ τὴν δόξαν, καὶ παρὰ πᾶσιν εἶναι τοῦ ἡλίου φανερωτέραν. Ὅταν οὖν, τοσαύτης προλαβούσης ὑπολήψεως καὶ προσδοκίας, ἔλθῃ ἐκεῖνος τὰ αὐτὰ κηρύττων τούτῳ καὶ ἀναγγέλλων καὶ αὐτὸς τὸν Ἰησοῦν, εὐκολώτερον δέξονται τὰ λεγόμενα. Ὅταν δὲ εἴπῃ, «οὐκ ἔγνωσαν αὐτόν», καὶ ὑπὲρ τῶν καθ' ἑαυτῶν ἀπολογεῖται. Καὶ οὐ ταύτῃ αὐτοὺς μόνον παραμυθεῖται, ἀλλὰ καὶ τῷ δεῖξαι ἀδίκως παρ' αὐτῶν πάσχοντα ἅπερ πά-

4. Ματθ. 17, 22-23.
5. Ματθ. 16, 14.

ἀνθρώπου πρόκειται νὰ πάθῃ ἀπὸ αὐτούς». Καὶ μετὰ ἀπὸ ὀλίγον πάλιν, ὅταν ἐξεδίωξε τὸν δαίμονα, τὸν ὁποῖον δὲν ἠμπόρεσαν οἱ μαθηταί του νὰ ἐκδιώξουν. Καθ' ὅσον καὶ τότε, λέγει, «Καθ' ὃν χρόνον διέμενον αὐτοὶ εἰς τὴν Γαλιλαίαν εἶπεν εἰς αὐτοὺς ὁ Ἰησοῦς, ὅτι πρόκειται ὁ Υἱὸς τοῦ ἀνθρώπου νὰ παραδοθῇ εἰς τὰ χέρια τῶν ἁμαρτωλῶν ἀνθρώπων, οἱ ὁποῖοι θὰ τὸν φονεύσουν καὶ κατὰ τὴν τρίτην ἡμέραν θ' ἀναστηθῇ»[14]. Αὐτὸ δὲ τὸ ἔκαμνε διὰ νὰ ἐλαττώσῃ μὲ τὸ μέγεθος τῶν θαυμάτων του τὴν πάρα πολὺ μεγάλην λύπην των καὶ διὰ νὰ τοὺς παρηγορήσῃ μὲ κάθε τρόπον· καὶ ἀκριβῶς καὶ εἰς τὴν περίπτωσιν αὐτὴν ὑπενθυμίζων εἰς αὐτοὺς τὸν θάνατον τοῦ Ἰωάννου τοὺς ἔδιδε μεγάλην παρηγορίαν. Ἐὰν ὅμως ἤθελεν εἰπεῖ κάποιος· Διατί καὶ τώρα δὲν ἀποστέλλει τὸν Ἠλίαν, ἀφοῦ τὸν ἀναστήσῃ, ἐφ' ὅσον ἡ παρουσία του πράγματι εἶναι πρόξενος τόσων ἀγαθῶν;' θὰ τοῦ ἀπαντήσωμεν, ὅτι καὶ τότε, θεωροῦντες τὸν Χριστὸν ὡς τὸν Ἠλίαν, δὲν ἐπίστευον εἰς αὐτόν. Διότι, λέγει, «Ἄλλοι μὲν νομίζουν ὅτι εἶσαι ὁ Ἠλίας, ἄλλοι δὲ ὁ Ἱερεμίας»[15]. Μεταξὺ δὲ τοῦ Ἰωάννου καὶ τοῦ Ἠλία δὲν ὑπῆρχε καμμία διαφορά, παρὰ μόνον ὁ χρόνος.

Πῶς λοιπὸν τότε θὰ πιστεύσουν; θὰ εἰπῇ κάποιος. Καθ' ὅσον θ' ἀποκαταστήσῃ τὰ πάντα, ὄχι μόνον ἐπειδὴ εἶναι γνωστός, ἀλλὰ καὶ ἐπειδὴ θὰ διαλάμψῃ πολὺ περισσότερον μέχρι τὴν ἡμέραν ἐκείνην ἡ δόξα τοῦ Χριστοῦ καὶ εἰς ὅλους θὰ εἶναι πιὸ φανερὴ καὶ ἀπὸ τὸν ἥλιον. Ὅταν λοιπόν, ἀφοῦ διαδοθῇ τόσον πολὺ ἡ φήμη καὶ ἡ προσδοκία περὶ αὐτοῦ, ἔλθῃ ἐκεῖνος κηρύττων τὰ ἴδια μὲ αὐτὸν καὶ ἀναγγέλλων καὶ αὐτὸς τὸν ἐρχομὸν τοῦ Ἰησοῦ, θὰ δεχθοῦν εὐκολώτερον τὰ λόγια του. Ὅταν δὲ λέγῃ, «δὲν τὸν ἀνεγνώρισαν», εἶναι ὡσὰν νὰ ἀπολογῆται καὶ ὑπὲρ αὐτῶν τῶν ἰδίων. Καὶ δὲν τοὺς παρηγορεῖ μόνον μ' αὐτὸν τὸν τρόπον, ἀλλὰ καὶ μὲ τὸ ὅτι δείχνει, ὅτι ἄδικα πάσχει ἀπὸ αὐτοὺς αὐτὰ ποὺ πάσχει καὶ μὲ τὸ ὅτι συγκαλύπτει τὰ δυσάρεστα μὲ δύο θαύματα, καὶ μὲ τὸ θαῦμα τῆς μεταμορφώσεως εἰς τὸ ὄρος, καὶ μὲ

σχει, καὶ τῷ τὰ λυπηρὰ δύο συγκαλύψαι σημείοις, τῷ τε ἐν τῷ ὄρει, καὶ τῷ μέλλοντι γίνεσθαι.

Ταῦτα δὲ ἀκούσαντες, οὐκ ἐρωτῶσιν αὐτόν, πότε ἔρχεται Ἠλίας, ἢ τῇ ἀθυμίᾳ πιεζόμενοι τοῦ πάθους, ἢ δεδοικότες. Πολλαχοῦ γὰρ ὅταν ἴδωσι μὴ βουλόμενόν τι σαφῶς εἰπεῖν, σιγῶσι λοιπόν. Ὅτε γοῦν ἐν τῇ Γαλιλαίᾳ διατριβόντων εἶπε, «μέλλει ὁ Υἱὸς τοῦ ἀνθρώπου παραδίδοσθαι, καὶ ἀποκτενοῦσιν αὐτόν», ἐπήγαγεν, ὁ Μᾶρκος μέν, ὅτι «ἠγνόουν τὸ ῥῆμα, καὶ ἐφοβοῦντο αὐτὸν ἐρωτῆσαι», ὁ Λουκᾶς δέ, ὅτι «ἦν παρακεκαλυμμένον ἀπ' αὐτῶν, ἵνα μὴ αἴσθωνται αὐτοῦ, καὶ ἐφοβοῦντο αὐτὸν ἐρωτῆσαι περὶ τοῦ ῥήματος».

«Ἐλθόντων δὲ αὐτῶν πρὸς τὸν ὄχλον, προσῆλθεν αὐτῷ ἄνθρωπος γονυπετῶν αὐτόν, καὶ λέγων· Κύριε, ἐλέησόν μου τὸν υἱόν, ὅτι σεληνιάζεται, καὶ κακῶς πάσχει. Πολλάκις γὰρ πίπτει εἰς τὸ πῦρ, καὶ πολλάκις εἰς τὸ ὕδωρ· καὶ προσήνεγκα αὐτὸν τοῖς μαθηταῖς σου, καὶ οὐκ ἴσχυσαν αὐτὸν θεραπεῦσαι». Τοῦτον τὸν ἄνθρωπον σφόδρα ἀσθενοῦντα κατὰ πίστιν δείκνυσιν ἡ Γραφή· καὶ ἐκ πολλῶν τοῦτο δῆλον· ἔκ τε τοῦ εἰπεῖν τὸν Χριστόν, «τῷ πιστεύοντι πάντα δυνατά», ἔκ τε τοῦ εἰπεῖν αὐτὸν τὸν προσελθόντα, «βοήθει μου τῇ ἀπιστίᾳ», καὶ ἐκ τοῦ τὸν Χριστὸν κελεῦσαι τῷ δαίμονι, μηκέτι εἰσελθεῖν εἰς αὐτόν· καὶ ἐκ τοῦ πάλιν εἰπεῖν τὸν ἄνθρωπον τῷ Χριστῷ, εἰ δύνασαι».

Καὶ εἰ ἡ ἀπιστία αὐτοῦ γέγονεν αἰτία, φησί, τοῦ μὴ ἐξελθεῖν τὸν δαίμονα, τί τοῖς μαθηταῖς ἐγκαλεῖ; Δεικνὺς ὅτι δυνατὸν αὐτοῖς, καὶ χωρὶς τῶν προσαγόντων μετὰ πίστεως, πολλαχοῦ θεραπεῦσαι. Ὥσπερ γὰρ ἤρκει πολλάκις ἡ τοῦ προσ-

16. Μάρκ. 9, 32.
17. Λουκᾶ 9, 45.
18. Μάρκ. 9, 23.
19. Μάρκ. 9, 24.
20. Μάρκ. 9, 22.

αὐτὸ ποὺ πρόκειται νὰ συμβῇ εἰς τὸ μέλλον.

Ὅταν δὲ τὰ ἤκουσαν αὐτὰ δὲν τὸν ἠρώτησαν, πότε θὰ ἔλθῃ ὁ Ἠλίας, ἢ ἐπειδὴ ἦσαν κυριευμένοι ἀπὸ τὴν λύπην διὰ τὸ πάθος του ἢ ἐπειδὴ ἐφοβοῦντο. Διότι εἰς πολλὰς περιπτώσεις, ὅταν τὸν βλέπουν νὰ μὴ θέλῃ νὰ τοὺς εἰπῇ κάτι καθαρά, σιωποῦν εἰς τὴν συνέχειαν. Ὅταν λοιπὸν διέμενον εἰς τὴν Γαλιλαίαν καὶ εἶπεν. «Ὁ Υἱὸς τοῦ ἀνθρώπου πρόκειται νὰ παραδοθῇ καὶ θὰ τὸν θανατώσουν», ἐπρόσθεσεν ὁ μὲν Μᾶρκος, ὅτι «δὲν ἦσαν εἰς θέσιν ν' ἀντιληφθοῦν τὰ λόγια του καὶ ἐφοβοῦντο νὰ τὸν ἐρωτήσουν»[16], ὁ δὲ Λουκᾶς, ὅτι «ἦτο κρυμμένος ὁ λόγος αὐτὸς ἀπὸ αὐτούς, διὰ νὰ μὴ τὸν ἀντιληφθοῦν, καὶ ἐφοβοῦντο νὰ τὸν ἐρωτήσουν τί ἐσήμαινεν ὁ λόγος του»[17].

«Ὅταν δὲ ἦλθον πρὸς τὸ πλῆθος τοῦ λαοῦ, ἐπλησίασε τὸν Ἰησοῦν κάποιος ἄνθρωπος, ποὺ ἐγονάτισεν ἐμπρός του καὶ τοῦ ἔλεγε· Κύριε, λυπήσου τὸν υἱόν μου, διότι σεληνιάζεται καὶ ὑποφέρει πολύ. Πολλὲς φορὲς μάλιστα πίπτει εἰς τὴν φωτιὰν καὶ ἄλλοτε πάλιν εἰς τὸ νερό. Τὸν ἔφερα εἰς τοὺς μαθητάς σου καὶ δὲν κατώρθωσαν νὰ τὸν θεραπεύσουν». Τὸν ἄνθρωπον αὐτὸν μᾶς τὸν παρουσιάζει ἡ Γραφὴ νὰ ἔχῃ πάρα πολὺ ἀδύνατον πίστιν, πρᾶγμα ποὺ γίνεται φανερὸν ἀπὸ πολλὰ μέρη· καὶ ἀπὸ τὸ ὅτι εἶπεν ὁ Χριστός, «τὰ πάντα εἶναι δυνατὰ εἰς ἐκεῖνον ποὺ πιστεύει»[18], καὶ ἀπὸ τὸ ὅτι εἶπεν αὐτὸς ποὺ τὸν ἐπλησίασε «βοήθησέ με εἰς τὴν ἀπιστίαν μου»[19], καὶ ἐκ τοῦ ὅτι ἔδωσεν ὁ Χριστὸς ἐντολὴν εἰς τὸν δαίμονα νὰ μὴ ξαναεισέλθῃ εἰς αὐτόν, ἀλλ' ἀκόμη καὶ ἀπὸ τὸ ὅτι εἶπεν ὁ ἄνθρωπος ἐκεῖνος εἰς τὸν Χριστὸν «ἐὰν ἠμπορῇς»[20].

Ἐὰν ὅμως, θὰ εἰπῇ κάποιος, ἡ ἀπιστία αὐτοῦ ἔγινεν αἰτία νὰ μὴ ἐξέλθῃ ὁ δαίμων, διατί τότε κατηγορεῖ τοὺς μαθητάς του; Διὰ νὰ τοὺς δείξῃ, ὅτι καὶ χωρὶς τὴν πίστιν αὐτῶν ποὺ τοὺς πλησιάζουν, πολλὲς φορὲς εἶναι δυνατὸν εἰς αὐτοὺς νὰ θεραπεύσουν. Διότι, ὅπως ἀκριβῶς πολλὲς φο-

ἄγοντος πίστις εἰς τὸ καὶ παρ' ἐλαττόνων λαβεῖν, οὕτω τῶν ποιούντων πολλάκις ἤρκεσεν ἡ δύναμις, καὶ μὴ πιστευόντων τῶν προσελθόντων, θαυματουργῆσαι. Καὶ ταῦτα ἀμφότερα δείκνυται ἐν ταῖς Γραφαῖς. Οἵ τε γὰρ περὶ Κορνήλιον ἀπὸ τῆς αὐτῶν πίστεως ἐπεσπάσαντο τοῦ Πνεύματος τὴν χάριν· καὶ ἐπὶ τοῦ Ἐλισσαίου δέ, οὐδενὸς πιστεύσαντος, νεκρὸς ἀνέστη. Οἵ τε γὰρ ῥίψαντες, οὐ διὰ πίστιν, ἀλλὰ διὰ δειλίαν ἔρριψαν ἁπλῶς καὶ ὡς ἔτυχε, φοβηθέντες τὸ πειρασήριον, καὶ ἔφυγον· αὐτός τε ὁ ῥιφεὶς ἀποτεθνηκὼς ἦν, καὶ ἀπὸ μόνης τῆς τοῦ ἁγίου σώματος δυνάμεως ἀνίσταιο ὁ νεκρός. Ὅθεν δῆλον ἐνταῦθα, ὅτι καὶ οἱ μαθηταὶ ἠσθένησαν, ἀλλ' οὐ πάντες· οἱ στῦλοι γὰρ οὐ παρῆσαν ἐκεῖ.

3. Θέα δὲ τούτου καὶ ἑτέρωθεν τὴν ἀγνωμοσύνην, πῶς ἐπὶ τοῦ ὄχλου ἐντυγχάνει τῷ Ἰησοῦ κατὰ τῶν μαθητῶν λέγων, ὅτι «προσήνεγκα αὐτὸν τοῖς μαθηταῖς σου, καὶ οὐκ ἴσχυσαν αὐτὸν θεραπεῦσαι». Ἀλλ' αὐτὸς ἀπαλλάττων αὐτοὺς τῶν ἐγκλημάτων ἐπὶ τοῦ δήμου, ἐκείνῳ τὸ πλέον λογίζεται. «Ὦ γενεὰ» γάρ, φησίν, «ἄπιστος καὶ διεστραμμένη, ἕως πότε ἔσομαι μεθ' ὑμῶν;», οὐκ εἰς τὸ τούτου πρόσωπον μόνον ἀποτεινόμενος, ἵνα μὴ ἀπορήσῃ τὸν ἄνθρωπον, ἀλλὰ καὶ εἰς πάντας Ἰουδαίους. Καὶ γὰρ εἰκὸς πολλοὺς τῶν παρόντων σκανδαλισθῆναι, καὶ τὰ μὴ προσήκοντα ἐννοῆσαι περὶ αὐτῶν. Ὅταν δὲ εἴπῃ, «ἕως πότε ἔσομαι μεθ' ὑμῶν;», δείκνυσι πάλιν ἀσπαστὸν ὄντα τὸν θάνατον αὐτῷ καὶ ἐπιθυμίας τὸ πρᾶγμα, καὶ ποθεινὴν τὴν ἀποδημίαν· καὶ ὅτι οὐ τὸ σταυρωθῆναι, ἀλλὰ τὸ εἶναι μετ' αὐτῶν βαρύ.

Οὔ μὴν ἔστι μέχρι τῶν ἐγκλημάτων· ἀλλὰ τί φησι;

---

21. Πράξ. 10, 1 ἑ.
22. Δ' Βασ. 13, 21.
23. Εὑρίσκοντο εἰς τὸ ὄρος μεταμορφώσεως (Πέτρος, Ἰάκωβος, Ἰωάννης).

ρὲς ἤρκει ἡ πίστις ἐκείνου ποὺ προσήρχετο εἰς τὸ νὰ ἐκπληρωθῇ τὸ αἴτημά του καὶ ἀπὸ πολὺ κατωτέρους, ἔτσι πολλὲς φορὲς ἤρκεσεν ἡ δύναμις ἐκείνων ποὺ ἐθεράπευον νὰ θαυματουργήσουν καὶ χωρὶς νὰ πιστεύουν αὐτοὶ ποὺ προσήρχοντο. Καὶ αὐτὰ ἐπιβεβαιώνονται καὶ τὰ δύο ἀπὸ τὰς Γραφάς. Διότι καὶ οἱ περὶ τὸν Κορνήλιον ἔλαβον τὴν χάριν τοῦ ἁγίου Πνεύματος ἐξ αἰτίας τῆς πίστεώς των[21] καὶ εἰς τὴν περίπτωσιν τοῦ Ἐλισσαίου πάλιν ἀνέστη ὁ νεκρός, μολονότι δὲν ἐπίστευσε κανείς. Διότι καὶ αὐτοὶ ποὺ ἔρριψαν τὸ νεκρὸν σῶμα, τὸ ἔρριψαν ἐκεῖ ἁπλῶς καὶ ὡς ἔτυχεν ὄχι ἀπὸ πίστιν, ἀλλὰ ἀπὸ δειλίαν, καὶ ἐπειδὴ ἐφοβήθησαν τὰς δοκιμασίας, ἔφυγον, καὶ αὐτὸν ποὺ ἔρριψαν εἶχεν ἀποθάνει, καὶ ἀνεστήθη ὁ νεκρὸς ἀπὸ μόνης τῆς δυνάμεως τοῦ ἁγίου σώματος[22]. Ἄρα εἶναι φανερὸν ὅτι εἰς τὴν περίπτωσιν αὐτὴν καὶ οἱ μαθηταὶ ἔδειξαν ὀλιγοπιστίαν, ἀλλ᾽ ὅμως ὄχι ὅλοι· διότι οἱ στῦλοι δὲν ἦσαν παρόντες[23].

3. Ἀλλ᾽ ὅμως πρόσεχε καὶ ἀπὸ ἄλλην ἄποψιν τὴν ἀγνωμοσύνην αὐτοῦ, πῶς δηλαδὴ πλησιάζει τὸν Ἰησοῦν παρουσίᾳ τοῦ λαοῦ καὶ ὁμιλεῖ ἐναντίον τῶν μαθητῶν, λέγων, «τὸν ἔφερα εἰς τοὺς μαθητάς σου, καὶ δὲν κατώρθωσαν νὰ τὸν θεραπεύσουν». Αὐτὸς ὅμως ἀπαλλάσσων τοὺς μαθητάς του ἀπὸ τὰς κατηγορίας παρουσίᾳ τοῦ λαοῦ, καταλογίζει εἰς ἐκεῖνον τὸ μεγαλύτερον βάρος. Διότι, λέγει, «Ὦ γενεὰ ἄπιστος καὶ διεστραμμένη, μέχρι πότε θὰ εὑρίσκωμαι μαζί σας;»· καὶ δὲν ἀπευθύνεται μόνον εἰς τὸ πρόσωπον αὐτοῦ, διὰ νὰ μὴ ὁδηγήσῃ εἰς ἀμηχανίαν τὸν ἄνθρωπον, ἀλλὰ καὶ πρὸς ὅλους τοὺς Ἰουδαίους. Καθ᾽ ὅσον φυσικὸν ἦτο πολλοὶ ποὺ ἦσαν παρόντες νὰ σκανδαλισθοῦν καὶ νὰ σκεφθοῦν περὶ αὐτῶν πράγματα ποὺ δὲν ἥρμοζον. Ἀλλὰ καὶ ὅταν λέγῃ, «μέχρι πότε θὰ εὑρίσκωμαι μαζί σας;», δείχνει πάλιν ὅτι ὁ θάνατος εἶναι δι᾽ αὐτὸν κάτι τι τὸ εὐπρόσδεκτον καὶ πρᾶγμα ἐπιθυμητὸν καὶ πολὺ ποθητὴ ἡ ἀποδημία, καὶ ὅτι εἶναι βαρὺ πρᾶγμα ὄχι τὸ νὰ σταυρωθῇ, ἀλλὰ τὸ νὰ εἶναι μαζὶ μ᾽ αὐτούς.

Ἀλλ᾽ ὅμως δὲν ἠρκέσθη μόνον εἰς τὰς κατηγορίας, ἀλλὰ

«Φέρετέ μοι αὐτὸν ὧδε». Καὶ αὐτὸς δὲ ἐρωτᾷ αὐτόν, πόσον χρόνον ἔχει, καὶ ὑπὲρ τῶν μαθητῶν ἀπολογούμενος, κἀκεῖνον ἄγων εἰς ἐλπίδα χρησιήν, καὶ τοῦ πιστεῦσαι, ὅτι ἔσται αὐτῷ ἀπαλλαγὴ τοῦ κακοῦ. Καὶ ἀφίησιν αὐτὸν σπαράττεσθαι, οὐ πρὸς ἐπίδειξιν (ἐπειδὴ γοῦν ὄχλος συνήγετο, καὶ ἐπετίμησεν αὐτῷ), ἀλλὰ δι' αὐτὸν τὸν πατέρα· ἵν' ὅταν ἴδῃ θορυβούμενον ἀπὸ τοῦ κληθῆναι μόνον, κἂν οὕτως ἐναχθῇ εἰς τὴν πίστιν τοῦ ἐσομένου θαύματος. Ἐπειδὴ δὲ ἐκεῖνος εἶπεν, ὅτι «ἐκ παιδός», καὶ ὅτι, «εἰ δύνασαι, βοήθει μοι», λέγει· «Τῷ πιστεύοντι πάντα δυνατά», πάλιν εἰς αὐτὸν περιτρέπων τὸ ἔγκλημα. Καὶ ὅτε μὲν ἔλεγεν ὁ λεπρός, «εἰ θέλεις, δύνασαί με καθαρίσαι», μαρτυρῶν αὐτοῦ τῇ ἐξουσίᾳ, ἐπαινῶν αὐτὸν καὶ βεβαιῶν τὸ εἰρημένον, ἔλεγε· «θέλω, καθαρίσθητι». Ὅτε δὲ οὗτος οὐδὲν ἄξιον τῆς αὐτοῦ δυνάμεως ἐφθέγξατο εἰπών, «εἰ δύνασαι, βοήθει μοι», ὅρα πῶς αὐτὸ διορθοῦται, ὡς οὐ δεόντως εἰρημένον. Τί γάρ φησιν; «Εἰ δύνασαι πιστεῦσαι, πάντα δυνατὰ τῷ πιστεύοντι». Ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· τοσαύτη παρ' ἐμοὶ δυνάμεως περιουσία, ὡς καὶ ἑτέρους δύνασθαι ποιεῖν ταῦτα θαυματουργεῖν. Ὥστε ἂν πιστεύῃς ὡς δεῖ, καὶ αὐτὸς δύνασαι θεραπεῦσαι, φησί, καὶ τοῦτον καὶ ἑτέρους πολλούς. Καὶ ταῦτα εἰπών, ἀπήλλαξε τὸν δαιμονῶντα.

Σὺ δὲ μὴ μόνον ἐντεῦθεν αὐτοῦ σκόπει τὴν πρόνοιαν καὶ τὴν εὐεργεσίαν, ἀλλὰ καὶ ἐξ ἐκείνου τοῦ καιροῦ, οὗ συνεχώρησεν ἔνδον εἶναι τὸν δαίμονα. Καὶ γὰρ εἰ μὴ πολλῆς προνοίας καὶ τότε ἀπέλαυεν ὁ ἄνθρωπος, πάλαι ἂν ἀπολώλει. Καὶ γὰρ εἰς τὸ πῦρ αὐτὸν ἔβαλλε, φησί, καὶ εἰς τὸ

24. Μάρκ. 9, 22-23.
25. Λουκᾶ 5, 12-13.

τί λέγει; «Φέρετέ μου αὐτὸν ἐδῶ». Καὶ τὸν ἐρωτᾷ πόσα χρόνια εἶναι ἀσθενής, δικαιολογῶν ἔτσι καὶ τοὺς μαθητάς του καὶ ἐκεῖνον ὁδηγῶν εἰς τὴν καλὴν ἐλπίδα καὶ εἰς τὸ νὰ πιστεύσῃ ὅτι θ' ἀπαλλαγῇ ἀπὸ τὸ κακόν. Καὶ τὸν ἀφήνει νὰ σπαράζῃ ὄχι πρὸς ἐπίδειξιν (καθ' ὅσον καὶ τὸν ἐπετίμησεν ἐπειδὴ ἐσυγκεντρώνετο πολὺ πλῆθος), ἀλλὰ ἐξ αἰτίας τοῦ πατρός του, ὥστε, ὅταν ἰδῇ τὸ δαιμόνιον νὰ καταλαμβάνεται ἀπὸ ἀνησυχίαν διὰ τὸ ὅτι καὶ μόνον ὠδηγήθη ἐμπρὸς εἰς αὐτόν, ἔστω καὶ ἔτσι νὰ πιστεύσῃ εἰς τὸ θαῦμα ποὺ ἐπρόκειτο νὰ γίνῃ. Ἐπειδὴ δὲ ἐκεῖνος εἶπεν, ὅτι «ἀπὸ τὴν παιδικὴν ἡλικίαν», καὶ ὅτι, «ἐὰν ἠμπορῇς, βοήθησέ με», τοῦ ἀπαντᾷ ὁ Κύριος· «Τὰ πάντα εἶναι δυνατὰ εἰς αὐτὸν ποὺ πιστεύει»[24], ἐπιρρίπτων καὶ πάλιν εἰς αὐτὸν τὴν κατηγορίαν. Καὶ ὅταν μὲν ἔλεγεν ὁ λεπρός, «ἐὰν θέλῃς, ἠμπορεῖς νὰ μὲ καθαρίσῃς», ὁμολογῶν μὲ τὰ λόγια του αὐτὰ τὴν δύναμίν του, μὲ σκοπὸν νὰ τὸν ἐπαινέσῃ καὶ νὰ ἐπιβεβαιώσῃ τὰ λόγια του ἔλεγε· «θέλω, καθαρίσου»[25]· ὅταν ὅμως αὐτὸς δὲν εἶπε τίποτε ποὺ νὰ ἦτο ἄξιον τῆς δυνάμεώς του, λέγων, «ἐὰν ἠμπορῇς, βοήθησέ με», πρόσεχε πῶς τὸ διορθώνει αὐτό, ὡς κάτι τὸ ἀνάρμοστον. Τί λέγει λοιπόν; «Ἐὰν ἔχῃς τὴν δύναμιν νὰ πιστεύσῃς, ὅλα εἶναι δυνατὰ εἰς ἐκεῖνον ποὺ πιστεύει». Τὰ λόγια του αὐτὰ ἔχουν τὴν ἐξῆς σημασίαν· Τόσον μεγάλη ἀφθονία δυνάμεως ὑπάρχει εἰς ἐμένα ὥστε νὰ ἠμπορῶ καὶ ἄλλους νὰ κάνω ἱκανοὺς νὰ θαυματουργοῦν. Ἄρα λοιπὸν ἐὰν πιστεύῃς ὅπως πρέπει, καὶ ὁ ἴδιος, λέγει, ἠμπορεῖς νὰ θεραπεύσῃς καὶ αὐτὸν καὶ πολλοὺς ἄλλους. Καὶ ἀφοῦ τὰ εἶπεν αὐτά, ἀπήλλαξε τὸν ἀσθενῆ ἀπὸ τὸ δαιμόνιον.

Σὺ ὅμως μὴ σκέπτεσε μόνον ἀπὸ αὐτὸ τὴν πρόνοιαν καὶ τὴν εὐεργεσίαν του, ἀλλὰ καὶ τὸν χρόνον ἐκεῖνον ποὺ ἐπέτρεψε νὰ παραμείνῃ μέσα εἰς τὸν ἄνθρωπον τὸ δαιμόνιον. Καθόσον ἐὰν καὶ τότε δὲν ἐξεδηλώνετο εἰς τὸν ἄνθρωπον εἰς τόσον μεγάλον βαθμὸν ἡ πρόνοιά του, ἴσως νὰ εἶχε πρὸ πολλοῦ ἀπολεσθῇ. Διότι, λέγει, τὸν ρίπτει καὶ εἰς τὴν φω-

ὕδωρ. Ὁ δὲ ταῦτα τολμῶν καὶ ἀνεῖλεν ἂν πάντως, εἰ μὴ καὶ ἐν τοσαύτῃ μανίᾳ πολὺν ἐπέθηκεν ὁ Θεὸς αὐτῷ τὸν χαλινόν· ὥσπερ οὖν καὶ ἐπ' ἐκείνων τῶν γυμνῶν, τῶν ἐν ταῖς ἐρημίαις τρεχόντων, καὶ λίθοις ἑαυτοὺς κατακοπτόντων. Εἰ δὲ σεληνιαζόμενον καλεῖ, μηδὲν θορυβηθῇς· τοῦ γὰρ πατρὸς τοῦ δαιμονῶντός ἐστιν ἡ φωνή. Πῶς οὖν φησι καὶ ὁ εὐαγγελιστής, ὅτι σεληνιαζομένους πολλοὺς ἐθεράπευσεν; Ἀπὸ τῆς τῶν πολλῶν ὑπονοίας αὐτοὺς καλῶν. Ὁ γὰρ δαίμων ἐπὶ διαβολῇ τοῦ στοιχείου καὶ ἐπιτίθεται τοῖς ἁλοῦσι, καὶ ἀνίησιν αὐτούς, κατὰ τοὺς τῆς σελήνης δρόμους· οὐχ ὡς ἐκείνης ἐνεργούσης, ἄπαγε· ἀλλ' αὐτὸς τοῦτο κακουργῶν εἰς τὴν τοῦ στοιχείου διαβολήν. Διὸ καὶ πεπλανημένη παρὰ τοῖς ἀνοήτοις ἐκράτησε δόξα, καὶ οὕτω τοὺς τοιούτους καλοῦσι δαίμονας ἀπατώμενοι· οὐδὲ γάρ ἐστι τοῦτο ἀληθές.

«Τότε προσελθντες οἱ μαθηταὶ αὐτοῦ κατ' ἰδίαν, ἠρώτησαν αὐτόν, τίνος ἕνεκεν οὐκ ἠδυνήθησαν αὐτοὶ τὸν δαίμονα ἐκβαλεῖν». Ἐμοὶ δοκοῦσιν ἀγωνιᾶν καὶ δεδοικέναι, μήποτε τὴν χάριν, ἣν ἐπιστεύθησαν, ἀπώλεσαν. Ἔλαβον γὰρ ἐξουσίαν κατὰ δαιμόνων ἀκαθάρτων. Διὸ καὶ ἐρωτῶσι, κατ' ἰδίαν αὐτῷ προσελθόντες, οὐκ αἰσχυνόμενοι (εἰ γὰρ τὸ ἔργον ἐξῆλθε καὶ ἠλέγχθησαν, περιττὸν ἦν αἰσχύνεσθαι λοιπὸν τὴν διὰ τῶν λόγων ὁμολογίαν), ἀλλ' ἐπειδὴ περὶ ἀπορρήτου καὶ μεγάλου πράγματος ἔμελλον αὐτὸν ἐρωτᾶν. Τί οὖν ὁ Χριστός; «Διὰ τὴν ἀπιστίαν ὑμῶν», φησίν. «Ἐὰν γὰρ ἔχητε πίστιν ὡς κόκκον σινάπεως ἐρεῖτε τῷ ὄρει τούτῳ, μετάβηθι, καὶ μεταβήσεται, καὶ οὐδὲν ἀδυνατήσει ὑμῖν».

---

26. Μάρκ. 5, 1 ἑ.
27. Ματθ. 4, 24.
28. Ματθ. 10, 8.

τιὰν καὶ εἰς τὸ νερό. Αὐτὸς δὲ ποὺ τολμᾷ τέτοια πράγματα ἐνδεχομένως καὶ νὰ τὸν ἐξωλόθρευεν, ἐὰν ὁ Θεὸς δὲν ἔθετε ἰσχυρὸν χαλινὸν εἰς τὴν τόσον μεγάλην μανίαν του, ὅπως ἀκριβῶς συνέβη καὶ εἰς τὴν περίπτωσιν ἐκείνων τῶν γυμνῶν ποὺ ἔτρεχον εἰς τὰς ἐρημίας καὶ κατέσχιζον τὰ σώματά των μὲ λίθους[26]. Ἐὰν δὲ τὸν ὀνομάζῃ σεληνιαζόμενον, μὴ ἀνησυχῇς καθόλου, διότι ἡ ὀνομασία αὐτὴ ἀπεδόθη ἀπὸ τὸν πατέρα τοῦ δαιμονιζομένου. Μὰ πῶς λοιπὸν τότε ὁ εὐαγγελιστὴς λέγει, ὅτι ἐθεράπευσε πολλοὺς σεληνιαζομένους;[27] Ἡ ὀνομασία αὐτὴ ὀφείλεται εἰς τὴν ἀντίληψιν τῶν πολλῶν. Διότι ὁ δαίμων διὰ νὰ διαστρέψῃ τὸ ἀνθρώπινον στοιχεῖον καὶ ἐπιτείνει τὰς ἐπιθέσεις του ἐναντίον αὐτῶν ποὺ ἔχει κατακυριεύσει καὶ χαλαρώνει αὐτάς, ἀναλόγως πρὸς τὰς διαφόρους φάσεις τῆς σελήνης. Ὄχι βέβαια ὅτι ἐκείνη συντελεῖ εἰς τοῦτο, μὴ γένοιτο, ἀλλ᾽ ὁ ἴδιος ὁ δαίμων διαπράττει αὐτὴν τὴν κακουργίαν διὰ νὰ διαστρέψῃ τὸ ἀνθρώπινον στοιχεῖον. Διὰ τοῦτο καὶ ἐπεκράτησε μεταξὺ τῶν ἀνοήτων αὐτὴ ἡ ἐσφαλμένη ἀντίληψις καὶ ἔτσι ἐσφαλμένως ὀνομάζουν αὐτοὺς τοὺς ἀνθρώπους δαιμονισμένους· διότι οὔτε καὶ αὐτὸ εἶναι σωστόν.

«Τότε ἀφοῦ τὸν ἐπλησίασαν οἱ μαθηταί του τὸν ἠρώτησαν ἰδιαιτέρως, διατί δὲν ἠμπόρεσαν αὐτοὶ νὰ ἐκδιώξουν τὸν δαίμονα». Ἔχω τὴν γνώμην ὅτι ἐκυριεύθησαν ἀπὸ ἀγωνίαν καὶ φόβον μὴ τυχὸν ἔχασαν τὴν χάριν ποὺ τοὺς ἐνεπιστεύθη. Διότι ἔλαβον ἐξουσίαν ἐναντίον τῶν ἀκαθάρτων δαιμόνων[28]. Διὰ τοῦτο καὶ τὸν ἐρωτοῦν, ἀφοῦ τὸν ἐπλησίασαν ἰδιαιτέρως, χωρὶς καμμίαν ἐντροπήν (διότι ἐφ᾽ ὅσον ἔλαβε τέλος ἡ πρᾶξις καὶ ἠλέχθησαν, ἦτο περιττὸν εἰς τὴν συνέχειαν νὰ ἐντρέπωνται νὰ εἰποῦν τὴν ἀδυναμίαν των), ἀλλ᾽ ἐπειδὴ ἐπρόκειτο νὰ τὸν ἐρωτήσουν δι᾽ ἕνα ἀπόρρητον καὶ μεγάλο πρᾶγμα. Τί λοιπὸν τοὺς λέγει ὁ Χριστός; «Ἐξ αἰτίας τῆς ἀπιστίας σας», λέγει· «διότι ἐὰν ἔχετε πίστιν ὡσὰν τὸν κόκκον τοῦ σιναπιοῦ, θὰ εἰπῆτε εἰς τὸ ὄρος αὐτό, μετακινήσου, καὶ θὰ μετακινηθῇ, καὶ τίποτε δὲν θὰ σᾶς εἶναι ἀδύνατον».

Εἰ δὲ λέγοις, ποῦ ὄρος μετέθηκαν; ἐκεῖνο ἂν εἴποιμι, ὅτι πολλῷ μείζονα ἐποίησαν, μυρίους νεκροὺς ἀναστήσαντες. Οὐδὲ γὰρ ἴσον, ὄρος μεταστῆσαι, καὶ θάνατον ἀπὸ σώματος κινῆσαι. Λέγονται δὲ μετ' ἐκείνους ἅγιοί τινες ἐκείνων ἐλάττους πολλῷ, καὶ ὄρη χρείας καλεούσης μεταθεῖναι. Ὅθεν δῆλον ὡς καὶ οὗτοι μετέθεσαν ἄν, καλούσης χρείας. Εἰ δὲ τότε οὐκ ἐγένετο χρεία, μὴ ἐγκάλει. Ἄλλως δὲ καὶ αὐτὸς οὐκ εἶπεν, ὅτι μετασιήσεται πάντως, ἀλλ' ὅτι δυνήσεσθε καὶ τοῦτο. Εἰ δὲ οὐ μετέστησαν, οὐκ ἐπειδὴ οὐκ ἠδυνήθησαν (πῶς γάρ, οἱ τὰ μείζονα δυνηθέντες;), ἀλλ' ἐπειδὴ οὐκ ἐβουλήθησαν, διὰ τὸ μὴ γενέσθαι χρείαν. Εἰκὸς δὲ καὶ γεγενῆσθαι τοῦτο, καὶ μὴ γεγράφθαι· οὐδὲ γὰρ πάντα ἃ ἐθαυματούργησαν ἐγράφη. Τότε μέντοι ἀτελέστερον πολλῷ διέκειντο.

Τί οὖν; οὐδὲ ταύτην τὴν πίστιν εἶχον τότε; Οὐκ εἶχον· οὐδὲ γὰρ ἀεὶ οἱ αὐτοὶ ἦσαν· ἐπεὶ καὶ Πέτρος νῦν μὲν μακαρίζεται, νῦν δὲ ἐπιτιμᾶται· καὶ οἱ λοιποὶ δὲ εἰς ἄνοιαν σκώπτονται παρ' αὐτοῦ, ὅτε οὐ συνῆκαν τὸν περὶ τῆς ζύμης λόγον. Συνέβη δὲ καὶ τότε τοὺς μαθητὰς ἀσθενῆσαι· ἀτελέστερον γὰρ διέκειντο πρὸ τοῦ σταυροῦ. Πίστιν δὲ ἐνταῦθα λέγει τὴν τῶν σημείων, καὶ σινάπεως μέμνηται, τὴν ἄφατον αὐτῆς δηλῶν δύναμιν. Εἰ γὰρ καὶ τῷ ὄγκῳ μικρὸν εἶναι τὸ σίνηπι δοκεῖ, ἀλλὰ τῇ δυνάμει ἁπάντων ἐστὶ σφοδρότερον. Δεικνὺς τοίνυν, ὅτι καὶ τὸ ἐλάχιστον τῆς γνησίας πίστεως μεγάλα δύναται, ἐμνήσθη τοῦ σινάπεως· καὶ οὐδὲ μέ-

29. Ματθ. 16, 6-12.

Ἐὰν ὅμως ἤθελες εἰπεῖ, εἰς ποίαν περίπτωσιν μετεκίνησαν ὄρος; θὰ ἠμποροῦσα νὰ σοῦ εἰπῶ τὸ ἑξῆς, ὅτι δηλαδὴ ἦσαν πολὺ πιὸ μεγαλύτερα ἐκεῖνα ποὺ ἐπετέλεσαν, καθ' ὅσον ἀνέστησαν μυρίους νεκρούς. Διότι δὲν εἶναι τὸ ἴδιον πρᾶγμα νὰ μετακινήσῃς ὄρος καὶ νὰ ἐκδιώξῃς τὸν θάνατον ἀπὸ τὸ νεκρὸν σῶμα. Ὡρισμένοι δὲ ποὺ ἔζησαν μετὰ ἀπὸ ἐκείνους καὶ ἦσαν κατὰ πολὺ κατώτεροί των ὀνομάζονται ἅγιοι, οἱ ὁποῖοι καὶ ὄρη μετεκίνησαν ὅταν παρέστη ἀνάγκη. Εἶναι λοιπὸν ὁλοφάνερον ὅτι καὶ αὐτοὶ θὰ ἠμποροῦσαν νὰ μετακινήσουν ὄροι ἐὰν τὸ ἀπαιτοῦσεν ἡ περίστασις. Ἐὰν ὅμως δὲν παρέστη τότε ἀνάγκη διὰ κάτι παρόμοιον, μὴ κατηγορῇς. Ἄλλωστε καὶ ὁ Κύριος δὲν εἶπεν, ὅτι ὁπωσδήποτε θὰ μετακινήσετε ὄρη, ἀλλ' ὅτι θὰ ἠμπορέσετε καὶ αὐτὸ νὰ τὸ κάνετε. Ἐὰν ὅμως δὲν μετεκίνησαν, συνέβη αὐτὸ ὄχι ἐπειδὴ δὲν ἠμπόρεσαν (διότι πῶς ἦτο δυνατὸν νἄ συμβῇ αὐτό, τὴν στιγμὴν ποὺ αὐτοὶ ἠμπόρεσαν νὰ ἐπιτελέσουν τὰ μεγαλύτερα ἀπὸ αὐτά;), ἀλλ' ἐπειδὴ δὲν ἠθέλησαν καὶ ἐπειδὴ δὲν παρέστη ἀνάγκη. Ἴσως δὲ καὶ νὰ συνέβη αὐτὸ καὶ νὰ μὴ ἔχῃ γραφῇ· διότι δὲν ἐγράφησαν ὅλα τὰ θαύματα ποὺ ἐπετέλεσαν. Ἀλλὰ βέβαια τότε ἦσαν ἀκόμη πολὺ ἀτελεῖς πνευματικά.

Τί λοιπόν; δὲν εἶχον τότε οὔτε αὐτὴν τὴν πίστιν; Καὶ βέβαια δὲν τὴν εἶχον· διότι δὲν ἦσαν πάντοτε οἱ ἴδιοι· διὰ τοῦτο καὶ ὁ Πέτρος ἄλλοτε μὲν μακαρίζεται, ἄλλοτε δὲ ἐπιτιμᾶται. Ἀλλὰ καὶ οἱ ὑπόλοιποι μαθηταὶ κατηγοροῦνται ἀπὸ τὸν Κύριον διὰ πνευματικὴν ἀτέλειαν, ὅταν δὲν ἀντελήφθησαν τὸν λόγον του περὶ τῆς ζύμης[29]. Συνέβη δὲ καὶ τότε νὰ φανοῦν πνευματικὰ ἀδύνατοι· διότι ἦσαν πνευματικὰ πάρα πολὺ ἀτελεῖς πρὶν ἀπὸ τὴν σταύρωσίν του. Εἰς τὴν περίπτωσιν δὲ αὐτὴν πίστιν ἐννοεῖ ἐκείνην μὲ τὴν ὁποίαν ἠμποροῦσαν νὰ κάνουν θαύματα καὶ ἀναφέρει τὸν κόκκον τοῦ σιναπιοῦ, διὰ νὰ φανερώσῃ τὴν ἀπερίγραπτον δύναμιν τῆς πίστεως. Διότι μολονότι τὸ σινάπι φαίνεται ὡς πρὸς τὸ μέγεθος μικρόν, ὅμως ἔχει τὴν πιὸ μεγάλην δύναμιν ἀπὸ ὅλα. Διὰ νὰ δείξῃ λοιπὸν ὅτι καὶ ἡ ἐλαχίστη ἀκόμη, ἀλλὰ γνησία πίστις,

χρι τούτου ἔστη μόνον, ἀλλὰ καὶ ὅρη προσέθηκε καὶ περαιτέρω προέβη. «Οὐδὲν» γάρ, φησίν, «ἀδυνατήσει ὑμῖν».

4. Σὺ δὲ κἀνταῦθα αὐτῶν θαύμασον τὴν φιλοσοφίαν, καὶ τοῦ Πνεύματος τὴν ἰσχύν. Τὴν μὲν φιλοσοφίαν, ὅτι οὐκ ἔκρυψαν αὐτῶν τὸ ἐλάττωμα, τοῦ δὲ Πνεύματος τὴν ἰσχύν, ὅτι τοὺς οὐδὲ κόκκον σινάπεως ἔχοντας οὕτω κατὰ μικρὸν ἀνήγαγεν, ὡς ποταμοὺς καὶ πηγὰς ἐν αὐτοῖς πίστεως ἀναδοῦναι.

«Τὸ δὲ γένος τοῦτο οὐκ ἐκπορεύεται, εἰ μὴ ἐν προσευχῇ καὶ νηστείᾳ» τὸ τῶν δαιμόνων ἅπαν, οὐ τὸ τῶν σεληνιαζομένων λέγων μόνον. Ὁρᾷς πῶς αὐτοῖς ἤδη τὸν περὶ νηστείας προκαταβάλλεται λόγον; Μὴ γάρ μοι ἀπὸ τῶν σπανιζόντων λέγε, ὅτι τινὲς καὶ χωρὶς νηστείας ἐξέβαλον. Εἰ γὰρ καὶ περὶ τῶν ἐπιτιμώντων τοῦτο ἂν εἴποι τις ἑνός που καὶ δευτέρου, ἀλλὰ πάσχοντα ἀμήχανόν ποτε τρυφῶντα ἀπαλλαγῆναι τῆς μανίας ταύτης. Δεῖ γὰρ μάλιστα τοῦ πράγματος τούτου τῷ τὰ τοιαῦτα νοσοῦντι. Καὶ μὴν εἰ πίστεως χρεία, φησί, τί δεῖ νηστείας; Ὅτι μετὰ τῆς πίστεως κἀκεῖνο οὐ μικρὰν εἰσάγει τὴν ἰσχύν. Καὶ γὰρ φιλοσοφίαν πολλὴν ἐντίθησι, καὶ ἄγγελον ἐξ ἀνθρώπου κατασκευάζει, καὶ ταῖς ἀσωμάτοις δυνάμεσι πυκτεύει· ἀλλ' οὐ καθ' ἑαυτήν, ἀλλὰ καὶ εὐχῆς, καὶ πρώτης εὐχῆς.

Ὅρα γοῦν ὅσα ἀγαθὰ ἐξ ἀμφοτέρων γίνεται. Ὁ γὰρ

ἠμπορεῖ μεγάλα πράγματα νὰ ἐπιτύχη, ἀνέφερε τὸ σινάπι· καὶ δὲν ἠρκέσθη μόνον εἰς αὐτό, ἀλλὰ ἐπρόσθεσε καὶ ὄρη καὶ ἐπροχώρησεν ἀκόμη περισσότερον. Διότι, λέγει, «τίποτε δὲν θὰ σᾶς εἶναι ἀδύνατον».

4. Σὺ ὅμως θαύμασε ἀπὸ ὅλα αὐτὰ καὶ τὴν φιλοσοφίαν των καὶ τὴν δύναμιν τοῦ Πνεύματος. Τὴν μὲν φιλοσοφίαν των, ἐπειδὴ δὲν ἔκρυψαν τὸ ἐλάττωμά των, τὴν δὲ δύναμιν τοῦ Πνεύματος, διότι τόσον πολὺ ἀνεβίβασεν,• ὀλίγον κατ' ὀλίγον, ἐκείνους ποὺ δὲν εἶχον πίστιν οὔτε ὡσὰν τὸν κόκκον τοῦ σιναπιοῦ, ὥστε νὰ πηγάσουν ἀπ' αὐτοὺς ποταμοὶ καὶ πηγαὶ πίστεως.

«Αὐτὸ δὲ τὸ γένος δὲν ἐκδιώκεται μὲ ἄλλον τρόπον, παρὰ μόνον μὲ προσευχὴν καὶ νηστείαν»· μὲ τὰ λόγια αὐτὰ ἐννοοῦσεν ὄχι μόνον τοὺς δαίμονας ποὺ κατέχουν τοὺς σεληνιαζομένους, ἀλλὰ ὅλον τὸ γένος τῶν δαιμόνων. Βλέπεις πῶς τώρα μὲ τὰ λόγια του αὐτὰ τοὺς προετοιμάζει διὰ ν' ἀκούσουν τὰ σχετικὰ μὲ τὴν νηστείαν; Μὴ μοῦ ἀναφέρῃς βέβαια τὰς σπανίας ἐκείνας περιπτώσεις ποὺ ὡρισμένοι ἐξέβαλον δαιμόνια, καὶ χωρὶς νηστείαν. Ἐὰν ὅμως θελήσῃ κάποιος νὰ τὸ προβάλῃ αὐτὸ καὶ δι' ἐκείνους ποὺ ἐπιτιμοῦν ἕνα καὶ ἐνδεχομένως καὶ δύο, ἀλλ' ὅμως εἶναι ἀδύνατον, κάποιος ποὺ πάσχει καὶ κάνει τρυφηλὴν ζωήν, ν' ἀπαλλαγῇ κάποτε ἀπὸ αὐτὴν τὴν μανίαν. Διότι αὐτὸς ποὺ ὑποφέρει ἀπὸ αὐτὴν τὴν ἀσθένειαν αὐτὸς κατ' ἐξοχὴν ἔχει ἀνάγκην ἀπὸ αὐτὸ τὸ πρᾶγμα. Ἀλλ' ὅμως, θὰ εἰπῇ κάποιος, ἐὰν ἔχωμεν πίστιν τί χρειάζεται ἡ νηστεία; Χρειάζεται ἐπειδὴ καὶ ἡ νηστεία μαζὶ μὲ τὴν πίστιν προσφέρει πολὺ μεγάλην δύναμιν. Καθ' ὅσον προσφέρει πολλὴν εὐσέβειαν εἰς τὸν ἄνθρωπον καὶ τὸν μεταβάλλει ἀπὸ ἄνθρωπον εἰς ἄγγελον καὶ τὸν κάνει ν' ἀγωνίζεται ἐναντίον τῶν ἀσωμάτων δυνάμεων. Αὐτὸ ὅμως δὲν ἠμπορεῖ νὰ τὸ κάνῃ μόνη της, ἀλλὰ χρειάζεται καὶ προσευχή καὶ μάλιστα ἡ προσευχὴ κατέχει τὴν πρώτην θέσιν.

Πρόσεχε λοιπὸν πόσα εἶναι τὰ ἀγαθὰ ποὺ προέρχονται

εὐχόμενος ὡς χρὴ καὶ νηστεύων, οὐ πολλῶν δεῖται· ὁ δὲ πολλῶν μὴ δεόμενος οὐκ ἂν γένοιτο φιλοχρήματος· ὁ μὴ φιλοχρήματος, καὶ πρὸς ἐλεημοσύνην ἐπιτηδειότερος. Ὁ νηστεύων κοῦφός ἐστι καὶ ἐπιερωμένος, καὶ μετὰ νήψεως εὔχεται, καὶ τὰς ἐπιθυμίας σβέννυσι τὰς πονηράς, καὶ ἐξιλεοῦται Θεόν, καὶ ταπεινοῖ τὴν ψυχὴν ἐπαιρομένην. Διὰ τοῦτο καὶ οἱ ἀπόστολοι ἀεὶ σχεδὸν ἐνήστευον. Ὁ εὐχόμενος μετὰ νηστείας διπλᾶς ἔχει τὰς πτέρυγας, καὶ τῶν ἀνέμων αὐτῶν κουφοτέρας. Οὐδὲ γὰρ χασμᾶται καὶ διατείνεται καὶ ναρκᾷ εὐχόμενος, ὅπερ πάσχουσιν οἱ πολλοί· ἀλλ' ἔστι πυρὸς σφοδρότερος, καὶ τῆς γῆς ἀνώτερος. Διὸ καὶ μάλιστα ὁ τοιοῦτος τοῖς δαίμοσιν ἐχθρὸς καὶ πολέμιος. Οὐδὲν γὰρ ἀνθρώπου γνησίως εὐχομένου δυνατώτερον. Εἰ γὰρ γυνὴ ὠμόν τινα ἄρχοντα, καὶ οὔτε Θεὸν φοβούμενον, οὔτε ἄνθρωπον ἐντρεπόμενον, ἴσχυσεν ἐπικάμψαι, πολλῷ μᾶλλον τὸν Θεὸν ἐπισπάσεται ὁ συνεχῶς αὐτῷ προσεδρεύων, καὶ γαστρὸς κρατῶν καὶ τρυφὴν ἐκβάλλων.

Εἰ δὲ ἀσθενές σοι τὸ σῶμα, ὥστε μὴ νηστεύειν διηνεκῶς, ἀλλ' οὐκ εἰς προσευχὴν ἀσθενές, οὐδὲ πρὸς ὑπεροψίαν γαστρὸς ἄτονον. Εἰ γὰρ καὶ νηστεύειν οὐ δύνασαι, ἀλλὰ μὴ τρυφᾶν δύνασαι· οὐ μικρὸν δὲ καὶ τοῦτο, οὐδὲ πολὺ νηστείας ἀπέχον, ἀλλ' ἱκανὸν μὲν καὶ τοῦτο κατασπάσαι τοῦ διαβόλου τὴν μανίαν. Καὶ γὰρ οὐδὲν οὕτως ἐκείνῳ τῷ δαίμονι φίλον, ὡς τρυφὴ καὶ μέθη ἐπειδὴ καὶ πηγὴ καὶ μήτηρ

ἀπὸ αὐτὰς τὰς δύο ἀρετάς. Διότι αὐτὸς ποὺ προσεύχεται καὶ νηστεύει ὅπως πρέπει, δὲν χρειάζεται πολλὰ πράγματα, αὐτὸς δὲ ποὺ δὲν χρειάζεται πολλὰ πράγματα δὲν θὰ ἦτο δυνατὸν νὰ γίνῃ φιλοχρήματος καὶ αὐτὸς ποὺ δὲν εἶναι φιλοχρήματος εἶναι περισσότερον πρόθυμος διὰ ἐλεημοσύνην. Αὐτὸς ποὺ νηστεύει εἶναι ἀπηλλαγμένος ἀπὸ βάρη, ἔχει πτερὰ καὶ προσεύχεται μὲ καθαρὴν καρδίαν, σβήνει τὰς πονηρὰς ἐπιθυμίας καὶ ἐξευμενίζει τὸν Θεὸν καὶ ταπεινώνει τὴν ὑπερηφανευομένην ψυχήν του. Διὰ τοῦτο καὶ οἱ ἀπόστολοι σχεδὸν πάντοτε ἐνήστευον. Αὐτὸς ποὺ προσεύχεται καὶ νηστεύει ἔχει διπλᾶς πτέρυγας, πιὸ ἐλαφρὰς καὶ ἀπὸ τοὺς ἰδίους τοὺς ἀνέμους. Διότι δὲν χασμουριέται κατὰ τὴν ὥραν τῆς προσευχῆς οὔτε τεντώνεται οὔτε βυθίζεται εἰς ὕπνον, πρᾶγμα ποὺ τὸ παθαίνουν οἱ περισσότεροι, ἀλλ᾽ ἔχει μεγαλυτέραν δύναμιν ἀπὸ τὴν φωτιὰν καὶ εἶναι ἀνώτερος ἀπὸ τὰ γῆϊνα πράγματα. Καὶ διὰ τοῦτο ὁ ἄνθρωπος αὐτὸς εἶναι ὁ μεγαλύτερος ἐχθρὸς καὶ πολέμιος τῶν δαιμόνων. Καθ᾽ ὅσον τίποτε δὲν ὑπάρχει πιὸ δυνατώτερον ἀπὸ τὸν ἄνθρωπον ἐκεῖνον ποὺ ἡ προσευχή του εἶναι εἰλικρινής. Διότι ἐὰν γυναίκα κατώρθωσε νὰ κάμψῃ κάποιον ἄρχοντα ποὺ δὲν ἐφοβεῖτο οὔτε τὸν Θεὸν οὔτε καὶ τὸν ἄνθρωπον ἐντρέπετο, πολὺ πιὸ εὔκολα θὰ προσελκύσῃ τὸν Θεὸν ἐκεῖνος ποὺ ἐπιμένει διαρκῶς εἰς τὴν προσευχήν του πρὸς αὐτὸν καὶ ἐξουσιάζει τὴν κοιλίαν του καὶ ἀποφεύγει τὴν τρυφηλὴν ζωήν.

Ἐὰν ὅμως τὸ σῶμα σου εἶναι ἀσθενές, ὥστε νὰ μὴ ἠμπορῇς νὰ νηστεύῃς συνεχῶς, ἀλλ᾽ ὅμως δὲν εἶναι ἀσθενὲς καὶ διὰ τὴν προσευχὴν οὔτε ἀνίσχυρον διὰ νὰ περιφρονήσῃ τὴν κοιλίαν. Διότι ἐὰν δὲν ἠμπορῇς νὰ νηστεύῃς ὅμως ἠμπορεῖς νὰ μὴ κάνῃς τρυφηλὴν ζωήν. Δὲν εἶναι καὶ αὐτὸ μικρὸν πρᾶγμα, οὔτε ἀπέχει πολὺ ἀπὸ τὴν νηστείαν, ἀλλ᾽ εἶναι ἱκανὸν καὶ αὐτὸ νὰ καταβάλῃ τὴν μανίαν τοῦ διαβόλου. Καθ᾽ ὅσον τίποτε δὲν εἶναι τόσον ἀγαπητὸν εἰς τὸν δαίμονα ἐκεῖνον, ὅσον ἡ τρυφηλὴ ζωὴ καὶ ἡ μέθη, διότι

ἐστὶν ἁπάντων τῶν κακῶν. Διὰ ταύτης γοῦν ποτε τοὺς Ἰσραηλίτας εἰς εἰδωλολατρείαν ἐνέβαλε· διὰ ταύτης τοὺς Σοδομίτας εἰς παρανόμους ἄνῆψεν ἔρωτας. «Τοῦτο» γάρ, φησί, «τὸ ἀνόμημα Σοδόμων· ἐν ὑπερηφανίᾳ, καὶ ἐν πλησμονῇ ἄρτων, καὶ εὐθηνίαις ἐσπατάλων». Διὰ ταύτης μυρίους ἑτέρους ἀπώλεσε, καὶ τῇ γεέννῃ παρέδωκε. Τί γὰρ οὐκ ἐργάζεται κακὸν ἡ τρυφή; Χοίρους ἐξ ἀνθρώπων ποιεῖ, καὶ χοίρων χείρους. Ὁ μὲν γὰρ χοῖρος βορβόρῳ ἐγκαλινδεῖται καὶ κόπρῳ τρέφεται, οὗτος δὲ ἐκείνης βδελυκτοτέραν σιτεῖται τράπεζαν, μίξεις ἐπινοῶν ἀθέσμους, καὶ παρανόμους ἔρωτας. Ὁ τοιοῦτος οὐδὲν δαιμονῶντος διενήνοχεν· ὁμοίως γὰρ ἀναισχυντεῖ καὶ μαίνεται. Καὶ τὸν μὲν δαιμονῶντα κἂν ἐλεοῦμεν, τοῦτον δὲ ἀποστρεφόμεθα καὶ μισοῦμεν. Τί δήποτε; Ὅτι αὐθαίρετον ἐπισπᾶται μανίαν, καὶ τὸ στόμα καὶ τοὺς ὀφθαλμοὺς καὶ ῥῖνας, καὶ πάντα ἁπλῶς ὀχετοὺς ἀμάρας ἐργάζεται. Εἰ δὲ καὶ τὰ ἔνδον ἴδοις, ὄψει καὶ τὴν ψυχὴν καθάπερ ἔν τινι χειμῶνι καὶ κρυμῷ πεπηγυῖαν καὶ ναρκῶσαν, καὶ σὺδὲν τὸ σκάφος ὠφελῆσαι δυναμένην διὰ τὴν τοῦ χειμῶνος ὑπερβολήν.

Αἰσχύνομαι εἰπεῖν, ὅσα ἀπὸ τρυφῆς πάσχουσιν ἄνδρες καὶ γυναῖκες κακά· τῷ δὲ αὐτῶν καταλείπω συνειδότι, τῷ ταῦτα ἀκριβέστερον εἰδότι. Τί γὰρ αἰσχρότερον γυναικὸς μεθυούσης ἢ ἁπλῶς παραφερομένης; Ὅσῳ γὰρ ἀσθενέστερον τὸ σκεῦος, τοσούτῳ πλέον τὸ ναυάγιον, ἄν τε ἐλευθέρα ᾖ, ἄν τε δούλη. Ἡ μὲν γὰρ ἐλευθέρα ἐν μέσῳ τῷ θεάτρῳ

30. Ἰεζ. 16, 49.

εἶναι ἡ πηγὴ καὶ ἡ μητέρα ὅλων τῶν κακῶν. Μὲ αὐτὴν λοιπὸν κάποτε ὡδήγησε τοὺς Ἰσραηλίτας εἰς τὴν εἰδωλολατρείαν καὶ μὲ αὐτὴν παρέσυρε τοὺς Σοδομίτας εἰς παρανόμους ἔρωτας. Διότι λέγει «Αὐτὴ ἦτο ἡ παρανομία τῶν Σοδόμων· τὸ ὅτι ἦσαν ὑπερήφανοι, καὶ ἔκαναν σπάταλην ζωὴν μέσα εἰς τὸ πλῆθος τῶν ἄρτων καὶ τὴν ἀφθονίαν των»[20]. Μὲ αὐτὴν ὡδήγησεν εἰς ἀπώλειαν πλῆθος ἄλλων ἀνθρώπων καὶ τοὺς παρέδωσεν εἰς τὴν γέενναν. Διότι ποῖον κακὸν εἶναι αὐτὸ ποὺ δὲν τὸ προξενεῖ ἡ τρυφηλὴ ζωή; Κάνει τοὺς ἀνθρώπους χοίρους καὶ μάλιστα χειροτέρους καὶ ἀπὸ χοίρους. Διότι ὁ μὲν χοῖρος κυλίεται μέσα εἰς τὸν βοῦρκον καὶ τρέφεται μὲ τὴν κοπριάν, ἐνῷ αὐτὸς κάθεται καὶ τρώγει εἰς τράπεζαν ποὺ εἶναι πιὸ βρομερὴ καὶ ἀπὸ ἐκείνην τοῦ χοίρου, ἐπινοῶν ἀνηθίκους συνουσίας καὶ παρανόμους ἔρωτας. Ὁ ἄνθρωπος αὐτοῦ τοῦ εἴδους δὲν διαφέρει εἰς τίποτε ἀπὸ τὸν δαιμονιζόμενον, διότι κατὰ τὸν ἴδιον τρόπον διαπράττει ἀναισχυντίας καὶ ἐνεργεῖ ὡς παράφρων. Καὶ τὸν μὲν δαιμονιζόμενον ἀκόμη καὶ τὸν ἐλεοῦμεν, ἐνῷ αὐτὸν τὸν ἀποφεύγομεν καὶ τὸν μισοῦμεν. Διατί τέλος πάντων ὅλα αὐτά; Διότι μὲ τὴν θέλησίν του φέρεται ὡς παράφρων καὶ τὸ στόμα του, τὰ μάτια του καὶ τὴν μύτην του καὶ ὅλα γενικῶς τὰ μεταβάλλει εἰς ὀχετὸν καὶ αὐλάκια ἀκαθαρσιῶν. Ἐὰν δὲ θελήσῃς νὰ ἰδῇς καὶ τὸν ἐσωτερικόν του κόσμον, θὰ ἰδῇς καὶ τὴν ψυχήν του νὰ εἶναι ὡσὰν μέσα εἰς κάποιαν κακοκαιρίαν καὶ παγωνιὰν παγωμένη καὶ ναρκωμένη καὶ νὰ μὴ ἠμπορῇ εἰς τίποτε νὰ ὠφελήσῃ τὸ σκάφος της λόγῳ τῆς ὑπερβολικῆς κακοκαιρίας ποὺ τὴν περιβάλλει.

Ἐντρέπομαι ν' ἀναφέρω τὰ κακὰ ποὺ παθαίνουν ἄνδρες καὶ γυναῖκες ἀπὸ τὴν τρυφηλὴν ζωήν, τὰ ἀφήνω δὲ εἰς τὴν συνείδησίν των ποὺ τὰ γνωρίζει λεπτομερέστερον. Διότι τί ὑπάρχει αἰσχρότερον ἀπὸ γυναῖκα ποὺ μεθᾷ ἢ ποὺ παραφέρεται γενικῶς; Ὅσον δὲ ἀσθενέστερον εἶναι τὸ σκεῦος, τόσον πιὸ μεγάλο εἶναι τὸ ναυάγιον, εἴτε αὐτὴ εἶναι ἐλευθέρα, εἴτε εἶναι δούλη. Διότι ἡ μὲν ἐλευθέρα διαπράττει

τῶν δούλων ἀσχημονεῖ, ἡ δὲ δούλη πάλιν ὁμοίως μεταξὺ τῶν δούλων· καὶ παρασκευάζουσι τοῦ Θεοῦ τὰ δῶρα βλασφημεῖσθαι παρὰ τῶν ἀνοήτων. Πολλῶν γοῦν ἀκούω λεγόντων, ὅταν ταῦτα συμβαίνῃ τὰ πάθη, μὴ ἔστω οἶνος. Ὢ τῆς ἀνοίας· ὦ τῆς παραπληξίας. Ἄλλων ἁμαρτανόντων ταῖς τοῦ Θεοῦ δωρεαῖς ἐγκαλεῖς; καὶ πόσης τοῦτο μανίας; Μὴ γὰρ ὁ οἶνος ἐποίησεν, ἄνθρωπε, τοῦτο τὸ κακόν; Οὐχ ὁ οἶνος, ἀλλ' ἡ ἀκολασία τῶν ἀπολαυόντων κακῶς. Εἰπὲ τοίνυν, μὴ ἔστω μέθη, μὴ ἔστω τρυφή· εἰ δὲ λέγοις, μὴ ἔστω οἶνος, ἐρεῖς κατὰ μικρὸν προβαίνων, μὴ ἔστω σίδηρος, διὰ τοὺς ἀνδροφόνους· μὴ ἔστω νύξ, διὰ τοὺς κλέπτας· μὴ ἔστω φῶς, διὰ τοὺς συκοφάντας· μὴ ἔστω γυνή, διὰ τὰς μοιχείας· καὶ πάντα ἁπλῶς ἀναιρήσεις.

Ἀλλὰ μὴ οὕτω ποίει· σατανικῆς γὰρ τοῦτο γνώμης· μηδὲ διάβαλλε τὸν οἶνον, ἀλλὰ τὴν μέθην· καὶ λαβὼν τοῦτον αὐτὸν νήφοντα, ὑπόγραψον πᾶσαν αὐτοῦ τὴν ἀσχημοσύνην, καὶ εἰπὲ πρὸς αὐτόν· οἶνος ἐδόθη, ἵνα εὐφραινώμεθα, οὐχ ἵνα ἀσχημονῶμεν· ἵνα γελῶμεν, οὐχ ἵνα γελώμεθα· ἵνα ὑγιαίνωμεν, οὐχ ἵνα νοσῶμεν· ἵνα ἀσθένειαν σώματος διορθωσώμεθα, οὐχ ἵνα ψυχῆς ἰσχὺν καταβάλωμεν. Ἐτίμησέ σε ὁ Θεὸς τῷ δώρῳ· τί σαυτὸν ὑβρίζεις τῇ ἀμετρίᾳ; Ἄκουσον τί φησιν ὁ Παῦλος· «οἴνῳ ὀλίγῳ χρῶ διὰ τὸν στόμαχόν σου, καὶ τὰς πυκνάς σου ἀσθενείας». Εἰ δὲ ὁ ἅγιος ἐκεῖνος, καὶ νόσῳ κατεχόμενος, καὶ ἐπαλλήλους ἀρρωστίας ὑπομένων, οὐ μετέλαβεν οἴνου, ἕως ἐπέτρεψεν ὁ

31. Α' Τιμ. 5, 23.

ἀσχημοσύνας ἐμπρὸς εἰς τὰ μάτια τῶν δούλων, ἡ δὲ δούλη πάλιν ὁμοίως μεταξὺ τῶν δούλων καὶ γίνονται αἰτία νὰ βλασφημοῦνται τὰ δῶρα τοῦ Θεοῦ ἀπὸ τοὺς ἀνοήτους. Ἀκούω δὲ πολλοὺς ποὺ λέγουν, ὅταν συμβαίνουν αὐτοῦ τοῦ εἴδους τὰ πάθη, εἴθε νὰ μὴ ὑπῆρχεν ὁ οἶνος. Πόσον μεγάλη ἀλήθεια ἀνοησία, πόσον μεγάλη παραφροσύνη. Ἄλλοι ἁμαρτάνουν καὶ σὺ κατηγορεῖς τὰς δωρεὰς τοῦ Θεοῦ; πόσην ἀλήθεια τρέλλαν αὐτὸ δὲν ἀποδεικνύει; Μήπως λοιπὸν ὁ οἶνος, ἄνθρωπέ μου, ἐπροξένησεν αὐτὸ τὸ κακόν; Ὄχι ὁ οἶνος, ἀλλ' ἡ ἀκολασία αὐτῶν ποὺ ἀπολαμβάνουν αὐτὸν κακῶς. Ἑπομένως εἰπὲ νὰ μὴ ὑπάρχῃ μέθη, νὰ μὴ ὑπάρχῃ τρυφηλὴ ζωή· ἐὰν ὅμως ἤθελες εἰπεῖ νὰ μὴ ὑπάρχῃ οἶνος, θὰ φθάσῃς σιγὰ - σιγὰ νὰ εἰπῇς νὰ μὴ ὑπάρχῃ σίδηρος, διὰ νὰ μὴ ὑπάρχουν φονεῖς, νὰ μὴ ὑπάρχῃ νύκτα, διὰ νὰ μὴ ὑπάρχουν κλέπται, νὰ μὴ ὑπάρχῃ φῶς, διὰ νὰ μὴ ὑπάρχουν συκοφάνται, νὰ μὴ ὑπάρχῃ γυναίκα, διὰ νὰ μὴ συμβαίνουν μοιχεῖαι καὶ γενικῶς θὰ τὰ καταργήσῃς ὅλα.

Ἀλλὰ μὴ σκέπτεσαι ἔτσι, διότι αὐτὴ εἶναι σατανικὴ σκέψις, οὔτε νὰ κατηγορῇς τὸν οἶνον, ἀλλὰ τὴν μέθην, καὶ ἀφοῦ πλησιάσῃς αὐτὸν ποὺ μεθᾷ, τότε ποὺ εἶναι νηφάλιος, περίγραψέ του ὅλην τὴν ἀσχημοσύνην του καὶ εἰπέ του, ὅτι ὁ οἶνος ἐδόθη διὰ νὰ εὐφραινώμεθα καὶ ὄχι διὰ νὰ διαπράττωμεν ἀσχημοσύνας, διὰ νὰ γελῶμεν καὶ ὄχι νὰ γενώμεθα γελοῖοι, διὰ νὰ μᾶς χαρίζῃ ὑγείαν καὶ ὄχι διὰ νὰ ἀσθενῶμεν, διὰ νὰ θεραπεύσωμεν τὴν ἀσθένειαν τοῦ σώματός μας, καὶ ὄχι διὰ νὰ μᾶς ἐξασθενίσῃ τὴν ψυχήν. Ὁ Θεὸς σὲ ἐτίμησε μὲ αὐτὸ τὸ δῶρον· διατί σὺ ὑβρίζεις τὸν ἑαυτόν σου μὲ τὸ νὰ μὴ τὸν χρησιμοποιῇς μὲ μέτρον; Ἄκουσε τί λέγει ὁ Παῦλος· «Νὰ χρησιμοποιῇς ὀλίγον οἶνον διὰ τὸ στομάχι σου καὶ τὰς συχνὰς ἀσθενείας σου»[31]. Ἐὰν δὲ ἐκεῖνος ὁ ἅγιος δὲν ἔπιεν οἶνον μέχρις ὅτου τοῦ τὸ ἐπέτρεψεν ὁ διδάσκαλος, μολονότι ὑπέφερεν ἀπὸ ἀσθένειαν καὶ ἀπὸ πολλὰς ἄλλας τὴν μίαν κατόπιν τῆς ἄλλης ἀρρωστίας, ποίας συγχω-

διδάσκαλος, τίνα ἂν σχοίημεν συγγνώμην ἡμεῖς ἐν ὑγείᾳ μεθύοντες;

Ἐκείνῳ μὲν ἔλεγεν, «οἴνῳ ὀλίγῳ χρῶ διὰ τὸν στόμαχόν σου», ὑμῶν δὲ ἑκάστῳ τῶν μεθυόντων ἐρεῖ· οἴνῳ ὀλίγῳ χρῶ διὰ τὰς πορνείας, διὰ τὰς πυκνὰς αἰσχρολογίας, διὰ τὰ ἑτέρας ἐπιθυμίας τὰς πονηράς, ἃς ἡ μέθη τίκτειν εἴωθεν. Εἰ δὲ μὴ βούλεσθε διὰ ταῦτα ἀπέχεσθαι, διά γοῦν τὰς ἀθυμίας τὰς ἐξ αὐτοῦ καὶ τὰς ἀηδίας ἀπέχεσθε. Οἶνος γὰρ εἰς εὐφροσύνην ἐδόθη· «οἶνος γάρ», φησίν, «εὐφραίνει καρδίαν ἀνθρώπου»· ὑμεῖς δὲ καὶ ταύτην αὐτοῦ λυμαίνεσθε τὴν ἀρετήν. Ποία γὰρ εὐφροσύνη μὴ εἶναι ἐν ἑαυτῷ, καὶ ἀλγηδόνας μυρίας ἔχειν καὶ πάντα ὁρᾶν περιφερόμενα, καὶ σκοτοδίνῳ κατέχεσθαι, καὶ κατὰ τοὺς πυρέττοντας δεῖσθαι τῶν ἐλαίῳ καταβρεχόντων τὰς κεφαλάς;

Ταῦτά μοι οὐ πρὸς πάντας εἴρηται, μᾶλλον δὲ πρὸς πάντας· οὐκ ἐπειδὴ πάντες μεθύουσι· μὴ γένοιτο· ἀλλ' ἐπειδὴ τῶν μεθυόντων οἱ μὴ μεθύοντες οὐ φροντίζουσι. Διὰ τοῦτο καὶ πρὸς ὑμᾶς ἀποτείνομαι μᾶλλον, τοὺς ὑγιαίνοντας· ἐπεὶ καὶ ἰατρὸς τοὺς ἀρρωστοῦντας ἀφείς, ἐκείνοις διαλέγεται τοῖς παρακαθημένοις αὐτοῖς. Πρὸς ὑμᾶς τοίνυν ἀποτείνω τὸν λόγον, παρακαλῶν μήτε ἁλῶναί ποτε τῷ πάθει τούτῳ, καὶ τοὺς ἁλόντας ἀνιμᾶσθαι, ἵνα μὴ τῶν ἀλόγων φαίνωνται χείρους. Ἐκεῖνα μὲν γὰρ πλέον τῆς χρείας οὐδὲν ἐπιζητεῖ· οὗτοι δὲ κἀκείνων ἀλογώτεροι γεγόνασι, τοὺς τῆς συμμετρίας ὑπερβαίνοντες ὅρους. Πόσῳ γὰρ βελτίων τούτων ὁ ὄνος; πόσῳ δὲ ἀμείνων ὁ κύων; Καὶ γὰρ ἕκαστον τούτων τῶν ζώων, καὶ τῶν ἄλλων δὲ ἁπάντων, ἄν τε φα-

32. Ψαλμ. 103, 15.

ρήσεως θὰ ἠμπορούσαμεν νὰ τύχωμεν ἠμεῖς ποὺ μεθοῦμεν ἐνῷ εἴμεθα ὑγιεῖς;

Εἰς ἐκεῖνον μὲν ἔλεγεν «Νὰ χρησιμοποιῇς ὀλίγον οἶνον διὰ τὸ στομάχι σου», ἐνῷ εἰς τὸν καθένα ἀπὸ σᾶς ποὺ μεθᾶτε θὰ εἰπῇ· Νὰ χρησιμοποιῇς ὀλίγον οἶνον, ὥστε ν' ἀποφεύγῃς τὰς πορνείας, τὰς συχνὰς αἰσχρολογίας καὶ τὰς ἄλλας πονηρὰς ἐπιθυμίας τὰς ὁποίας γεννᾷ συνήθως ἡ μέθη. Ἐὰν δὲ δὲν θέλετε νὰ τὸν ἀποφεύγετε δι' ὅλα αὐτά, τουλάχιστον ἀποφεύγετέ τον διὰ τὰς λύπας καὶ τὰς ἀηδίας ποὺ πηγάζουν ἀπὸ αὐτόν. Διότι ὁ οἶνος ἐδόθη διὰ νὰ μᾶς εὐφραίνῃ· διότι λέγει· «Ὁ οἶνος εὐφραίνει τὴν καρδίαν τοῦ ἀνθρώπου»[32]· σεῖς ὅμως καταστρέφετε καὶ αὐτὴν τὴν ἰδιότητά του. Διότι ποίαν εὐφροσύνην μᾶς προξενεῖ, ὅταν εἴμεθα ἐκτὸς ἑαυτοῦ καὶ ὑποφέρωμεν ἀπὸ ἀπείρους πόνους καὶ ὅλα τὰ βλέπωμεν νὰ γυρίζουν ἄνω-κάτω καὶ κατεχώμεθα ἀπὸ ζάλην, καὶ χρειαζόμεθα, ὅπως ἀκριβῶς ἐκεῖνοι ποὺ ὑποφέρουν ἀπὸ πυρετόν, ἐκείνους ποὺ καταβρέχουν μὲ ἔλαιον τὰς κεφαλάς;

Τὰ λόγια μου αὐτὰ δὲν ἐλέχθησαν δι' ὅλους, ἢ καλύτερα δι' ὅλους ἐλέχθησαν. Ὄχι ἐπειδὴ ὅλοι μεθοῦν· μὴ γένοιτο· ἀλλ' ἐπειδὴ δὲν φροντίζουν δι' αὐτοὺς ποὺ μεθοῦν ἐκεῖνοι ποὺ δὲν μεθοῦν. Διὰ τοῦτο καὶ ἀπευθύνομαι περισσότερον πρὸς ἐσᾶς ποὺ εἶσθε ὑγιεῖς. Διότι καὶ ὁ ἰατρός, ἀφοῦ ἀφήσῃ τοὺς ἀσθενεῖς, συνομιλεῖ μὲ ἐκείνους ποὺ κάθονται κοντὰ εἰς τοὺς ἀσθενεῖς. Πρὸς ἐσᾶς λοιπὸν ἀπευθύνω τὸν λόγον καὶ σᾶς παρακαλῶ οὔτε ν' ἀφήσετε ποτὲ τὸν ἑαυτόν σας νὰ κυριευθῇ ἀπὸ αὐτὸ τὸ πάθος, καὶ νὰ φροντίζετε ἐκείνους ποὺ ἐκυριεύθησαν ἀπὸ αὐτό, ὥστε νὰ μὴ φαίνωνται χειρότεροι καὶ ἀπὸ τὰ ζῶα. Διότι ἐκεῖνα μὲν δὲν ζητοῦν τίποτε περισσότερον ἀπὸ αὐτὸ ποὺ εἶναι ἀναγκαῖον, ἐνῷ αὐτοὶ ἔχουν γίνει ἀλογώτεροι καὶ ἀπὸ ἐκεῖνα, καθ' ὅσον ὑπερβαίνουν τὰ ὅρια τοῦ μέτρου. Πόσον καλύτερος λοιπὸν εἶναι ἀπὸ αὐτοὺς ὁ ὄνος; πόσον δὲ καλύτερος ὁ σκύλος; Καθ' ὅσον τὸ καθὲν ἀπὸ τὰ ζῶα αὐτά, ἀλλὰ καὶ ἀπὸ ὅλα γενικῶς τὰ ἄλλα, εἴτε εἶναι ἀνάγκη νὰ φάγῃ εἴτε εἶναι ἀ-

γεῖν, ἄν τε πιεῖν δέῃ, ὅρον τὴν αὐτάρκειαν οἶδε, καὶ πέρα τῆς χρείας οὐ πρόεισι· κἂν μυρίοι οἱ καταναγκάζοντες ὦσιν, οὐκ ἀνέξεται ἐξελθεῖν εἰς ἀμετρίαν. Οὐκοῦν ταύτῃ καὶ τῶν ἀλόγων χείρους ὑμεῖς, οὐ παρὰ τοῖς ὑγιαίνουσι μόνον, ἀλλὰ καὶ παρ' ὑμῖν αὐτοῖς. Ὅτι γὰρ καὶ κυνῶν καὶ ὄνων ἀτιμοτέρους ἑαυτοὺς εἶναι κεκρίκατε, δῆλον ἐκεῖθεν. Τὰ μὲν γὰρ ἄλογα ταῦτα οὐκ ἀναγκάζεις πέρα τοῦ μέτρου τροφῆς ἀπολαύειν· κἂν ἔρηταί τις, διατί; ἵνα μὴ καταβλάψῃς, ἐρεῖς· σαυτῷ δὲ οὐδὲ ταύτην παρέχεις τὴν πρόνοιαν. Οὕτω κἀκείνων σαυτὸν εὐτελέστερον εἶναι νομίζεις, καὶ περιορᾷς διηνεκῶς χειμαζόμενον.

Οὐδὲ γὰρ ἐν τῇ ἡμέρᾳ τῆς μέθης μόνον τὴν ἐκ τῆς μέθης βλάβην ὑπομένεις, ἀλλὰ καὶ μετὰ τὴν ἡμέραν ἐκείνην. Καὶ καθάπερ πυρετοῦ παρελθόντος, ἡ ἐκ τοῦ πυρετοῦ μένει λύμη· οὕτω καὶ μέθης ἀπελθούσης, ἡ τῆς μέθης ζάλη καὶ ἐν τῇ ψυχῇ καὶ ἐν τῷ σώματι στρέφεται· καὶ τὸ μὲν ἄθλιον σῶμα κεῖται παραλυθέν, καθάπερ ὑπὸ ναυαγίου σκάφος· ἡ δὲ τούτου ταλαιπωροτέρα ψυχή, καὶ τούτου διαλυθέντος τὸν χειμῶνα διεγείρει, καὶ τὴν ἐπιθυμίαν ἀνάπτει, καὶ ὅταν δοκῇ σωφρονεῖν, τότε μάλιστα μαίνεται, οἶνον καὶ πίθους καὶ φιάλας καὶ κρατῆρας φανταζομένη. Καὶ καθάπερ ἐν χειμῶνι παυθείσης τῆς ζάλης, ἡ διὰ τὸν χειμῶνα μένει ζημία· οὕτω δὴ καὶ ἐνταῦθα. Καὶ γὰρ ὥσπερ ἐκεῖ τῶν ἀγωγίμων, οὕτω καὶ ἐνταῦθα ἐκβολὴ γίνεται σχεδὸν ἁπάν-

νάγκη νὰ πίῃ, γνωρίζει ὡς ὅριον τὴν αὐτάρκειαν καὶ δὲν προχωρεῖ πέρα ἀπὸ τὸ ἀναγκαῖον· καὶ ἂν ἀκόμη ἄπειροι τὸ ἐξαναγκάζουν, δὲν θὰ θελήσῃ νὰ ξεπεράσῃ τὸ μέτρον. Ἄρα λοιπὸν σεῖς εἶσθε χειρότεροι καὶ ἀπὸ τὰ ἄλογα ζῶα, ὄχι μόνον σύμφωνα μὲ τὴν λογικὴν τῶν ὑγιῶς σκεπτομένων ἀνθρώπων, ἀλλὰ καὶ σύμφωνα μὲ τὴν ἰδικήν σας ἀκόμη λογικήν. Τὸ ὅτι βέβαια θεωρεῖτε τοὺς ἑαυτούς σας ἀξίους περισσοτέρας περιφρονήσεως ἀπὸ τοὺς σκύλους καὶ τοὺς ὄνους, γίνεται φανερὸν ἀπὸ ὅλα αὐτά. Διότι τὰ μὲν ἄλογα ζῶα δὲν τὰ ἐξαναγκάζεις νὰ φάγουν πέρα ἀπὸ τὴν κανονικὴν τροφήν· καὶ ἐὰν σὲ ἐρωτήσῃ κάποιος, διατί; θὰ τοῦ ἀπαντήσῃς, διὰ νὰ μὴ τοῦ προξενήσῃς ζημίαν· διὰ τὸν ἑαυτόν σου ὅμως δὲν λαμβάνεις οὔτε αὐτὴν τὴν πρόνοιαν. Ἔτσι θεωρεῖς τὸν ἑαυτόν σου πιὸ εὐτελῆ ἀπὸ ἐκεῖνα καὶ τὸν ἀφήνεις ἀβοήθητον ὥστε νὰ ὑποφέρῃ διαρκῶς.

Ἀλλὰ δὲν ὑπομένεις τὴν βλάβην ἀπὸ τὴν μέθην μόνον κατὰ τὴν ἡμέραν τῆς μέθης, ἀλλὰ καὶ μετὰ ὅταν περάσῃ ἡ ἡμέρα ἐκείνη. Καὶ ὅπως ἀκριβῶς, καὶ ἂν ἀκόμη περάσῃ ὁ πυρετός, παραμένει ἡ βλάβῃ ἀπὸ τὸν πυρετόν, ἔτσι καὶ ὅταν ἀκόμῃ περάσῃ ἡ μέθη, ἡ ζάλη ἀπὸ τὴν μέθην ἐξακολουθεῖ νὰ ἐπιδρᾷ καὶ εἰς τὴν ψυχὴν καὶ εἰς τὸ σῶμα. Καὶ τὸ μὲν ἄθλιον σῶμα εὑρίσκεται κάτω εἰς κατάστασιν παραλυσίας, ὅπως ἀκριβῶς τὸ σκάφος ποὺ ἐναυάγησεν, ἡ δὲ ψυχὴ αὐτοῦ ποὺ εἶναι πολὺ περισσότερον ταλαίπωρη ἀπὸ τὸ σῶμα, καὶ ὅταν αὐτὸ ἀκόμη ἔχει διαλυθῇ, διεγείρει τὴν συμφορὰν καὶ τὴν ἐπιθυμίαν ἀνάπτει, καὶ ὅταν φαίνεται ὅτι σωφρονεῖ, τότε πρὸ πάντων ἐκδηλώνεται ἡ μανία του, καθόσον φέρει εἰς τὴν φαντασίαν του οἶνον, λιθάρια, φιάλας καὶ ποτήρια. Καὶ ὅπως ἀκριβῶς κατὰ τὴν περίπτωσιν κακοκαιρίας καὶ ἂν ἀκόμη παύσῃ ἡ ἀνεμοθύελλα, ὅμως παραμένει ἡ ζημία ποὺ προεκλήθη ἀπὸ τὴν θύελλαν, ἔτσι λοιπὸν καὶ εἰς τὴν περίπτωσιν αὐτήν. Καθ' ὅσον ὅπως ἀκριβῶς εἰς τὴν περίπτωσιν ἐκείνην ρίπτονται εἰς τὴν θάλασσαν τὰ μεταφερόμενα πράγματα, ἔτσι καὶ ἐδῶ ἀποβάλλονται ὅλα σχεδὸν τὰ ἀγαθά.

ιων τῶν ἀγαθῶν. Κἂν σωφροσύνην εὕρῃ, κἂν αἰδῶ, κἂν σύνεσιν, κἂν ἐπιείκειαν, κἂν ταπεινοφροσύνην, πάντα ῥίπτει εἰς τὸ τῆς παρανομίας πέλαγος ἡ μέθη. Ἀλλὰ τὰ μετὰ ταῦτα οὐκέτι ὅμοια. Ἐκεῖ μὲν γὰρ μετὰ τὴν ἐκβολὴν τὸ σκάφος κουφίζεται, ἐνταῦθα δὲ βαρύνεται μᾶλλον. Ἀντὶ γὰρ ἐκείνου τοῦ πλούτου δέχεται ψάμμον καὶ ὕδωρ ἁλμυρόν, καὶ πάντα τὸν τῆς μέθης φορυτόν, ἅπερ ἅμα τοῖς ἐπιβάταις καὶ τῷ κυβερνήτῃ καταβαπτίζει τὸ σκάφος εὐθέως.

Ἵν' οὖν μὴ ταῦτα πάσχωμεν, ἀπαλλάξωμεν ἑαυτοὺς τοῦ χειμῶνος. Οὐκ ἔστι μετὰ μέθης βασιλείαν οὐρανῶν ἰδεῖν. «Μὴ πλανᾶσθε» γάρ, φησίν· «οὐ μέθυσοι, οὐ λοίδοροι βασιλείαν Θεοῦ κληρονομήσουσι». Καὶ τί λέγω βασιλείαν; Μετὰ γὰρ μέθης οὐδὲ τὰ παρόντα ἐστὶν ἰδεῖν. Καὶ γὰρ τὰς ἡμέρας νύκτας ἐργάζεται ἡμῖν ἡ μέθη, καὶ τὸ φῶς σκότος· καὶ τῶν ὀφθαλμῶν ἀνεῳγμένων οὐδὲ τὰ ἐν ποσὶ βλέπουσιν οἱ μεθύοντες. Καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ δεινόν, ἀλλὰ καὶ μετὰ τούτων καὶ ἑτέραν χαλεπωτάτην ὑπομένουσι δίκην, ἀθυμίας ἀλόγους, μανίαν, ἀρρωστίαν, γέλωτα, ὄνειδος διηνεκῶς ὑπομένοντες. Ποία τοίνυν συγγνώμη τοῖς ἑαυτοὺς τοσούτοις περιπείρουσι κακοῖς; Οὐκ ἔστιν οὐδεμία.

Φύγωμεν τοίνυν τὸ νόσημα ἵνα καὶ τῶν ἐνταῦθα καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

38. Α' Κορ. 6, 9-10.

καὶ διὰ τοὺς ἀγαθούς. Καὶ ἂν ἀκόμη δηλαδὴ εἰπῶ ὅτι θὰ τοὺς ἀναστήσω εἰς ἔθνος μέγα, δὲν θὰ τηρήσω τὴν ὑπόσχεσίν μου, ἐὰν δὲν ἀποδειχθοῦν ἄξιοι τῆς ὑποσχέσεως ποὺ τοὺς ἔδωσα. Πρᾶγμα ποὺ συνέβη καὶ μὲ τὸν ἄνθρωπον ποὺ ἔπλασε. Διότι λέγει, «Θὰ σᾶς τρέμουν καὶ θὰ σᾶς φοβοῦνται τὰ θηρία»[3], ἀλλ' ὅμως δὲν συνέβη αὐτό, διότι ἀπέδειξε τὸν ἑαυτόν του ἀνάξιον αὐτῆς τῆς ὑποσχέσεως, ὅπως ἀκριβῶς βέβαια καὶ ὁ Ἰούδας.

Ὥστε λοιπὸν διὰ νὰ μὴν γίνουν ὡρισμένοι σκληρότεροι ἐξ αἰτίας τῆς ἀπογνώσεώς των διὰ τὴν ἀπόφασιν τῆς κολάσεως, οὔτε νὰ καταστοῦν ραθυμότεροι ἀρκούμενοι ἁπλῶς εἰς τὰς ἀγαθὰς ὑποσχέσεις, προλαμβάνει καὶ θεραπεύει καὶ τὰ δύο αὐτὰ μὲ αὐτὸ ποὺ προελέχθη, λέγων κατά κάποιον τρόπον τὸ ἑξῆς· Καὶ ἂν ἀκόμη σὲ ἀπειλήσω, μὴ ἀπελπισθῇς· διότι ἠμπορεῖς νὰ μετανοήσῃς καὶ νὰ ἀλλάξῃς τὴν ἀπόφασίν μου, ὅπως οἱ Νινευῖται· καὶ ἂν ἀκόμη σοῦ ὑπόσχομαι κάποιο ἀγαθόν, μὴ δείξῃς ἀδράνειαν ἐξ αἰτίας αὐτῆς τῆς ὑποσχέσεώς μου. Διότι ἐὰν φανῇς ἀνάξιος, δὲν θὰ σὲ ὠφελήσῃ εἰς τίποτε ἡ ὑπόσχεσίς μου, ἀλλὰ μᾶλλον καὶ θὰ σοῦ γίνῃ αἰτία νὰ τιμωρηθῇς· διότι ἐγὼ ὑπόσχομαι εἰς αὐτοὺς ποὺ εἶναι ἄξιοι. Διὰ τοῦτο καὶ τότε ὁμιλῶν πρὸς τοὺς μαθητάς του, δὲν τοὺς ὑπεσχέθη ἁπλῶς, οὔτε εἶπε σεῖς μόνον, ἀλλὰ προσέθεσε, «σεῖς ποὺ μὲ ἠκολουθήσατε», ὥστε καὶ τὸν Ἰούδαν ν' ἀποκλείσῃ ἀπὸ αὐτούς, καὶ νὰ προσελκύσῃ τοὺς μεταγενεστέρους ἀνθρώπους. Διότι οἱ λόγοι του δὲν ἀπηυθύνοντο μόνον πρὸς ἐκείνους, οὔτε πρὸς τὸν Ἰούδαν ποὺ ἀπεδείχθη εἰς τὴν συνέχειαν ἀνάξιος.

Εἰς μὲν λοιπὸν τοὺς μαθητάς του ὑπεσχέθη τὰ μελλοντικὰ ἀγαθά, λέγων, «θὰ καθήσετε εἰς δώδεκα θρόνους», καθ' ὅσον πλέον εἶχον γίνει πνευματικώτεροι καὶ δὲν ἐζήτουν τίποτε ἀπὸ τὰ ἐπίγεια, ἐνῷ εἰς τοὺς ἄλλους ὑπόσχεται καὶ τὰ ἐπίγεια ἀγαθά. Διότι λέγει· «Καὶ ὁ καθένας ποὺ ἄφησεν ἀδελφοὺς ἢ ἀδελφὰς ἢ πατέρα ἢ μητέρα ἢ γυναῖκα ἢ τέκνα ἢ ἀγροὺς ἢ οἰκίαν χάριν τοῦ ὀνόματός μου, θὰ λάβῃ

ΟΜΙΛΙΑ ΝΗ΄

Ματθ. 17, 22 - 18, 6

«Ἀναστρεφομένων δὲ αὐτῶν ἐν τῇ Γαλιλαίᾳ, εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· Μέλλει ὁ Υἱὸς τοῦ ἀνθρώπου παραδίδοσθαι εἰς χεῖρας ἀνθρώπων καὶ ἀποκτενοῦσιν αὐτὸν καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσεται. Καὶ ἐλυπήθησαν σφόδρα».

1. Ἵνα γὰρ μὴ λέγωσι, τίνος ἕνεκεν ἐνταῦθα διατρίβομεν διηνεκῶς; πάλιν περὶ τοῦ πάθους αὐτοῖς φησιν· ὅπερ ἀκούοντες οὐδὲ ἰδεῖν ἐβούλοντο τὰ Ἱεροσόλυμα. Ὅρα γοῦν πῶς καὶ τοῦ Πέτρου ἐπιτιμηθέντος, καὶ τῶν περὶ Μωϋσέα καὶ Ἠλίαν περὶ αὐτοῦ διαλεχθέντων, καὶ δόξαν τὸ πρᾶγμα καλεσάντων, καὶ τοῦ Πατρὸς ἄνωθεν φωνὴν ἀφέντος, καὶ σημείων τοσούτων γενομένων, καὶ τῆς ἀναστάσεως ἐπὶ θύραις οὔσης (οὐδὲ γὰρ πολὺν ἔφησε χρόνον ἐν τῷ θανάτῳ μένειν, ἀλλὰ τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσεσθαι), οὐδὲ οὕτως ἀνήνεγκαν, ἀλλ᾽ ἐλυπήθησαν· καὶ οὐδὲ ἁπλῶς, ἀλλὰ σφόδρα.

Ἐγένετο δὲ τοῦτο διὰ τὸ ἀγνοεῖν ἔτι τῶν λεγομένων τὴν δύναμιν. Ὅπερ ὁ Μᾶρκος καὶ ὁ Λουκᾶς αἰνιττόμενοι ἔλεγον· ὁ μέν, ὅτι «ἠγνόουν τὸ ῥῆμα, καὶ ἐφοβοῦντο αὐτὸν ἐρωτῆσαι»[2], ὁ δέ, ὅτι «ἦν παρακεκαλυμμένον ἀπ᾽ αὐτῶν, ἵνα μὴ αἴσθωνται, καὶ ἐφοβοῦντο αὐτὸν ἐρωτῆσαι περὶ τοῦ ῥήματος»[3]. Καὶ μὴν εἰ ἠγνόουν, πῶς ἐλυπήθησαν; Ὅτι οὐ

---

1. Λουκᾶ 9, 30-36.
2. Μάρκ. 9, 32.
3. Λουκᾶ 9, 45.

ΟΜΙΛΙΑ ΝΗ΄

Ματθ. 17, 22 - 18, 6

«Καθ' ὃν χρόνον δὲ περιεφέροντο εἰς τὴν Γαλιλαίαν, εἶπεν εἰς αὐτοὺς ὁ Ἰησοῦς· Πρόκειται ὁ Υἱὸς τοῦ ἀνθρώπου νὰ παραδοθῇ εἰς τὰ χέρια τῶν ἀνθρώπων, οἱ ὁποῖοι θὰ τὸν θανατώσουν, ἀλλὰ τὴν τρίτην ἡμέραν θ' ἀναστηθῇ. Καὶ ἐλυπήθησαν πάρα πολύ».

1. Διὰ νὰ μὴ λέγουν λοιπόν, διὰ ποῖον λόγον μένομεν συνεχῶς ἐδῶ; τοὺς ὁμιλεῖ καὶ πάλιν διὰ τὸ πάθος του· αὐτὸ ἀκριβῶς ἀκούοντες δὲν ἤθελον οὔτε νὰ ἰδοῦν τὰ Ἱεροσόλυμα. Πρόσεχε λοιπόν, πῶς, μολονότι καὶ ὁ Πέτρος ἐπετιμήθη καὶ συνωμίλησαν μὲ αὐτὸν ὁ Μωϋσῆς καὶ ὁ Ἠλίας περὶ τοῦ πράγματος αὐτοῦ καὶ ὠνόμασαν δόξαν τὸν θάνατόν του, καὶ ἄφησεν ὁ Πατήρ του ἀπὸ τὸν οὐρανὸν ν' ἀκουσθῇ ἡ φωνή του[1], καὶ τόσα θαύματα ἔγιναν καὶ εὑρίσκετο πρὸ τῶν θυρῶν ἡ ἀνάστασίς του (διότι δὲν εἶπεν ὅτι θὰ μείνῃ ἐπὶ πολὺν χρόνον εἰς τὸν θάνατον, ἀλλ' εἶπεν ὅτι θ' ἀναστηθῇ τὴν τρίτην ἡμέραν), οὔτε καὶ ἔτσι ἠμπόρεσαν νὰ ὑποφέρουν τὸ πρᾶγμα, ἀλλ' ἐλυπήθησαν· καὶ ὄχι ἁπλῶς ἐλυπήθησαν, ἀλλ' εἰς βαθμὸν ὑπερβολικόν.

Συνέβη δὲ αὐτὸ ἐπειδὴ δὲν ἦσαν εἰς θέσιν ἀκόμη νὰ ἀντιληφθοῦν τὴν δύναμιν τῶν λεγομένων. Καὶ ἀκριβῶς αὐτὸ ὑπαινισσόμενοι ὁ Μᾶρκος καὶ ὁ Λουκᾶς ἔλεγον· ὁ μέν, ὅτι «Δὲν ἠμποροῦσαν ν' ἀντιληφθοῦν τὸ νόημα τῶν λόγων του καὶ ἐφοβοῦντο νὰ τὸν ἐρωτήσουν»[2], ὁ δέ, ὅτι «Ἦτο κρυμμένον ἀπὸ αὐτοὺς τὸ νόημα τοῦ λόγου αὐτοῦ, διὰ νὰ μὴ τὸ ἐννοήσουν, καὶ ἐφοβοῦντο νὰ τὸν ἐρωτήσουν ποία εἶναι ἡ σημασία τοῦ λόγου αὐτοῦ»[3]. Ἀλλ' ὅμως, ἐὰν δὲν

πάντα ἠγνόουν· ἀλλ' ὅτι μὲν ἀποθανεῖται ἤδεσαν, συνεχῶς ἀκούοντες· ὅ, τί ποτε δὲ ἦν οὗτος ὁ θάνατος καὶ ὅτι ταχέως λυθήσεται καὶ μυρία ἐργάσεται ἀγαθά, τοῦτο οὐδέπω ἤδεσαν σαφῶς· οὐδὲ ὅ, τί ποτέ ἐστιν αὕτη ἡ ἀνάστασις, ἀλλ' ἠγνόουν· διὸ ἤλγουν· καὶ γὰρ σφόδρα ἀντείχοντο τοῦ διδασκάλου.

«Ἐλθόντων δὲ αὐτῶν εἰς Καπερναούμ, προσῆλθον οἱ τὰ δίδραχμα λαμβάνοντες τῷ Πέτρῳ, καὶ εἶπον· Ὁ διδάσκαλος ὑμῶν τελεῖ τὰ δίδραχμα;». Καὶ τίνα ἐστὶ ταῦτα τὰ δίδραχμα; Ὅτε τὰ πρωτότοκα τῶν Αἰγυπτίων ἀπέκτεινεν ὁ Θεός, τότε τὴν Λευὶ φυλὴν ἀντ' αὐτῶν ἔλαβεν. Εἶτα ἐπειδὴ τῶν παρὰ Ἰουδαίοις πρωτοτόκων ἐλάττων ὁ τῆς φυλῆς ἀριθμὸς ἦν, ἀντὶ τῶν λειπόντων εἰς τὸν ἀριθμὸν σίκλον ἐκέλευσεν εἰσενεχθῆναι· καὶ ἄλλως δὲ ἐξ ἐκείνου ἔθος ἐκράτησε, τὰ πρωτότοκα τὸν φόρον τοῦτον εἰσφέρειν. Ἐπεὶ οὖν πρωτότοκος ἦν ὁ Χριστός, ἐδόκει δὲ τῶν μαθητῶν πρῶτος εἶναι ὁ Πέτρος, αὐτῷ προσέρχονται. Καὶ γάρ, ὡς ἔμοιγε δοκεῖ, κατὰ πόλιν ἑκάστην ἀπῄτουν· διὸ καὶ ἐν τῇ πατρίδι προσῆλθον αὐτῷ, ἐπειδὴ πατρὶς αὐτοῦ ἐνομίζετο ἡ Καπερναούμ. Καὶ αὐτῷ μὲν οὐκ ἐτόλμησαν προσελθεῖν, τῷ Πέτρῳ δέ· καὶ οὐδὲ τούτῳ μετὰ πολλῆς τῆς σφοδρότητος, ἀλλ' ἐπιεικέστερον. Οὐδὲ γὰρ ἐγκαλοῦντες, ἀλλ' ἐρωτῶντες ἔλεγον· «Ὁ διδάσκαλος ὑμῶν οὐ τελεῖ τὰ δίδραχμα;». Τὴν μὲν γὰρ προσήκουσαν περὶ αὐτοῦ δόξαν οὐδέπω εἶχον, ἀλλ'

4. Ἐξ. 12, 29.
5. Ἀριθ. 3, 45.
6. Ἀριθ. 3, 45ἑξ. Τὸ σίκλον ἢ σίγλον εἶχε ἀξίαν δύο δραχμῶν.

ἐννόησαν τὴν σημασίαν τοῦ λόγου αὐτοῦ πῶς τότε ἐλυπήθησαν; Διότι δὲν τοὺς ἦσαν ὅλα ἄγνωστα, ἀλλὰ τὸ ὅτι ἐπρόκειτο ν' ἀποθάνῃ τὸ ἐγνώριζον, διότι τὸ ἤκουον συνεχῶς αὐτό, τί τέλος πάντων ἦτο αὐτὸς ὁ θάνατος, καὶ ὅτι θὰ παύσῃ πολὺ γρήγορα ἡ ἰσχύς του καὶ ὅτι θὰ ἐπιφέρῃ ἀμέτρητα ἀγαθά, αὐτὸ δὲν τὸ ἐγνώριζαν ἀκόμη μὲ ἀπόλυτον ἀκρίβειαν· ἀκόμη δὲν ἐγνώριζον οὔτε καὶ αὐτὴ ἡ ἀνάστασίς του τί τέλος πάντων ἦτο, ἀλλὰ τὴν ἀγνοοῦσαν καὶ αὐτήν. Διὰ τοῦτο ἐλυποῦντο· καθόσον ἦτο μεγάλη ἡ ἀφοσίωσίς των πρὸς τὸν διδάσκαλόν των.

«Ὅταν δὲ ἦλθον εἰς τὴν Καπερναούμ, ἐπλησίασαν τὸν Πέτρον ἐκεῖνοι ποὺ εἰσέπραττον τὴν συνδρομὴν τῶν διδράχμων καὶ τοῦ εἶπον· Ὁ διδάσκαλός σας δὲν πληρώνει τὰ δίδραχμα;». Καὶ ποῖα εἶναι αὐτὰ τὰ δίδραχμα; Ὅταν ὁ Θεὸς ἐφόνευσε τὰ πρωτότοκα τέκνα τῶν Αἰγυπτίων[4], τότε ἔλαβεν ἀντ' αὐτῶν τὴν φυλὴν τοῦ Λευΐ[5]. Εἰς τὴν συνέχειαν ἐπειδὴ ὁ ἀριθμὸς τῆς φυλῆς τοῦ Λευΐ ἦτο μικρότερος ἀπὸ τὸ σύνολον τῶν πρωτοτόκων τῶν Ἰουδαίων, ἀντὶ τοῦ ἀριθμοῦ τῶν Λευιτῶν ποὺ ὑπελείποντο διέταξε νὰ συνεισφέρουν τὸ σίκλον[6]. Ἔτσι λοιπὸν ἀπὸ τὸ γεγονὸς ἐκεῖνο ἐπεκράτησεν ἡ συνήθεια τὰ πρωτότοκα νὰ πληρώνουν αὐτὸν τὸν φόρον. Ἐπειδὴ λοιπὸν ὁ Χριστὸς ἦτο πρωτότοκος, ὁ δὲ Πέτρος ἐθεωρεῖτο πρῶτος μεταξὺ τῶν μαθητῶν, διὰ ταῦτο προσέρχονται εἰς αὐτόν. Καθ' ὅσον, κατὰ τὴν γνώμην μου, ἐζητοῦσαν τὸν φόρον αὐτὸν ἀπὸ κάθε πόλιν· διὰ τοῦτο καὶ προσῆλθον εἰς αὐτὸν ὅταν εὑρίσκετο εἰς τὴν πατρίδα του, ἐπειδὴ πατρίς του ἐθεωρεῖτο ἡ Καπερναούμ. Καὶ τὸν ἴδιον μὲν δὲν ἐτόλμησαν νὰ πλησιάσουν, ἀλλὰ ἐπλησίασαν τὸν Πέτρον· καὶ αὐτὸν δὲν τὸν ἐπλησίασαν μὲ μεγάλας ἀπαιτήσεις, ἀλλὰ μὲ μαλακὸν τρόπον. Οὔτε βέβαια διὰ νὰ τὸν κατηγορήσουν, ἀλλὰ ἁπλῶς διὰ νὰ τὸν ἐρωτήσουν ἔλεγον· «Ὁ διδάσκαλός σας δὲν πληρώνει τὰ δίδραχμα;». Βέβαια δὲν εἶχον ἀκόμη τὴν πρέπουσαν γνώμην περὶ αὐτοῦ, ἀλλ' ἡ συμπεριφορά των ἀπέναντί του ἦτο ὡσὰν νὰ ἦτο ἕνας ἁπλὸς ἄνθρω-

ὡς περὶ ἀνθρώπου οὕτω διέκειντο· πλὴν ἀπένεμόν τινα αἰδῶ καὶ τιμήν, διὰ τὰ προλαβόντα σημεῖα.

Τί οὖν ὁ Πέτρος; Ναί, φησί. Καὶ τούτοις μὲν εἶπεν, ὅτι τελεῖ· αὐτῷ δὲ οὐκ εἶπεν, ἴσως ἐρυθριῶν ὑπὲρ τούτων αὐτῷ διαλεχθῆναι. Διὸ ὁ ἥμερος καὶ πάντα σαφῶς εἰδώς, προλαβὼν αὐτόν φησι· «Τί σοι δοκεῖ, Σίμων; οἱ βασιλεῖς τῆς γῆς ἀπὸ τίνων λαμβάνουσι τέλη ἢ κῆνσον; ἀπὸ τῶν υἱῶν αὐτῶν, ἢ ἀπὸ τῶν ἀλλοτρίων;». Εἰπόντος δέ, «ἀπὸ τῶν ἀλλοτρίων», ἔφη· Ἄραγε ἐλεύθεροί εἰσιν οἱ υἱοί». Ἵνα γὰρ μὴ νομίσῃ ὁ Πέτρος, ὅτι παρ' ἐκείνων ἀκηκοὼς λέγει, προλαμβάνει αὐτόν, τοῦτό τε αὐτὸ δηλῶν, καὶ παρρησίαν αὐτῷ παρέχων ὀκνοῦντι προτέρῳ περὶ τούτων εἰπεῖν. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· Ἐλεύθερος μὲν εἰμι τοῦ δοῦναι κῆνσον. Εἰ γὰρ οἱ τῆς γῆς βασιλεῖς παρὰ τῶν υἱῶν αὐτῶν οὐ λαμβάνουσιν, ἀλλὰ παρὰ τῶν ἀρχομένων, πολλῷ μᾶλλον ἐμὲ ἀπηλλάχθαι δεῖ τῆς ἀπαιτήσεως ταύτης, οὐκ ἐπιγείου βασιλέως, ἀλλὰ τοῦ τῶν οὐρανῶν ὄντα με Υἱὸν καὶ βασιλέα.

Ὁρᾷς πῶς διέστειλε τοὺς υἱούς, καὶ τοὺς οὐχ υἱούς; Εἰ δὲ οὐκ ἦν υἱός, εἰκῇ καὶ τὸ ὑπόδειγμα παρήγαγε τῶν βασιλέων. Ναί, φησίν, υἱός, ἀλλ' οὐ γνήσιος. Οὐκοῦν οὐχ υἱός· εἰ δὲ οὐχ υἱός, οὐδὲ γνήσιος, οὐδὲ αὐτοῦ, ἀλλ' ἀλλότριος. Εἰ δὲ ἀλλότριος, οὐδὲ τὸ παράδειγμα ἔχει τὴν οἰκείαν ἰσχύν. Αὐτὸς γὰρ οὐ περὶ τῶ υἱῶν ἁπλῶς, ἀλλὰ περὶ τῶν γνησίων διαλέγεται, καὶ ἰδίων, καὶ τῶν κοινωνούντων τοῖς γεγεννηκόσι τῆς βασιλείας. Διὸ καὶ πρὸς ἀντιδιαστολὴν ἔθηκε τοὺς ἀλλοτρίους, ἀλλοτρίους καλῶν τοὺς οὐκ

πος· πλὴν ὅμως ἀπέδιδον εἰς αὐτὸν κάποιον σεβασμὸν καὶ τιμὴν ἐξ αἰτίας τῶν θαυμάτων ποὺ εἶχον προηγηθῆ.

Ποίαν λοιπὸν ἀπάντησιν δίδει ὁ Πέτρος; «Ναί», λέγει. Καὶ πρὸς αὐτοὺς μὲν εἶπεν ὅτι πληρώνει, ἐνῷ πρὸς τὸν Χριστὸν δὲν εἶπεν, ἐνδεχομένως ἐπειδὴ ἐντρέπετο νὰ συζητήση μὲ αὐτὸν περὶ αὐτῶν. Διὰ τοῦτο ὁ γαλήνιος καὶ ὁ τὰ πάντα γνωρίζων μὲ ἀκρίβειαν ἀπόλυτον, τὸν προλαμβάνει καὶ τοῦ λέγει· «Ποία εἶναι ἡ γνώμη σου, Σίμων; οἱ ἐπίγειοι βασιλεῖς ἀπὸ ποίους λαμβάνουν δασμοὺς ἢ φόρον; ἀπὸ τοὺς υἱούς των ἢ ἀπὸ τοὺς ξένους;». Εἰς τὴν ἀπάντησίν του δέ, «ἀπὸ τοὺς ξένους», εἶπεν· «Ἐπομένως εἶναι ἐλεύθεροι οἱ υἱοί των». Διὰ νὰ μὴ νομίσῃ λοιπὸν ὁ Πέτρος, ὅτι τοῦ ὡμίλησεν ἐπειδὴ ἤκουσεν ἀπὸ ἐκείνους τὴν συνομιλίαν, τὸν προλαμβάνει, φανερώνων εἰς αὐτὸν αὐτὸ ποὺ συνεζήτησαν, καὶ τοῦ παρέχει θάρρος, καθ' ὅσον ἐδίσταζε προηγουμένως νὰ ὁμιλήσῃ περὶ αὐτῶν. Ἡ σημασία δὲ τῶν λόγων του αὐτῶν εἶναι ἡ ἑξῆς· Εἶμαι ἐλεύθερος ἀπὸ τὸ νὰ πληρώσω τὸν φόρον. Διότι, ἐὰν οἱ ἐπίγειοι βασιλεῖς δὲν λαμβάνουν φόρον ἀπὸ τοὺς υἱούς των, ἀλλὰ μόνον ἀπὸ αὐτοὺς ποὺ ἄρχουν, πολὺ περισσότερον πρέπει ἐγὼ νὰ εἶμαι ἀπηλλαγμένος ἀπὸ αὐτὴν τὴν ἀπαίτησιν, διότι δὲν εἶμαι υἱὸς ἐπιγείου βασιλέως, ἀλλὰ υἱὸς τοῦ οὐρανίου βασιλέως καὶ συγχρόνως καὶ βασιλεύς.

Βλέπεις πῶς διέκρινε τοὺς υἱοὺς ἀπὸ ἐκείνους ποὺ δὲν ἦσαν υἱοί; Ἐὰν δὲ ὁ ἴδιος δὲν ἦτο υἱός, τότε ἄσκοπα ἀνέφερε καὶ τὸ παράδειγμα τῶν βασιλέων. Ναί, λέγει, εἶναι υἱός, ἀλλὰ δὲν εἶναι γνήσιος. Ἄρα λοιπὸν δὲν εἶναι υἱός· ἐὰν δὲ δὲν εἶναι υἱός, τότε δὲν εἶναι οὔτε γνήσιος, οὔτε εἶναι τοῦ Θεοῦ, ἀλλ' εἶναι ξένος. Ἐὰν δὲ εἶναι ξένος, τότε οὔτε τὸ παράδειγμα ἔχει καμμίαν ἀξίαν. Διότι αὐτὸς δὲν ὁμιλεῖ ἁπλῶς περὶ τῶν υἱῶν ἀλλὰ περὶ τῶν γνησίων υἱῶν, τῶν ἰδικῶν του, καὶ οἱ ὁποῖοι εἶναι κοινωνοὶ τῆς βασιλείας μαζὶ μὲ αὐτοὺς ποὺ τοὺς ἐγέννησαν. Διὰ τοῦτο καὶ ἀνέφερε τοὺς ξένους πρὸς διάκρισιν, ὀνομάζων ξένους αὐτοὺς ποὺ δὲν

ἐξ αὐτῶν γεννηθέντας· τοὺς δὲ αὐτῶν, οὓς ἐξ αὐτῶν γεγεννήκασι.

Σὺ δέ μοι σκόπει κἀκεῖνο, πῶς τὴν ἀποκαλυφθεῖσαν τῷ Πέτρῳ γνῶσιν καὶ ἐντεῦθεν βεβαιοῖ. Καὶ οὐδὲ ἐνταῦθα ἔστη, ἀλλὰ καὶ διὰ τῆς συγκαταβάσεως τὸ αὐτὸ τοῦτο δηλοῖ, ὅπερ πολλῆς ἦν σοφίας. Καὶ γὰρ ταῦτα εἰπών, φησίν· «Ἵνα δὲ μὴ σκανδαλίσωμεν αὐτούς, πορευθεὶς βάλε ἄγκιστρον εἰς τὴν θάλασσαν, καὶ τὸν ἀναβάντα πρῶτον ἰχθὺν ἆρον, καὶ εὑρήσεις ἐν αὐτῷ στατῆρα· ἐκεῖνον λαβών, δὸς αὐτοῖς ἀντὶ ἐμοῦ καὶ σοῦ». Ὅρα πῶς οὔτε παραιτεῖται τὸν φόρον, οὔτε ἁπλῶς κελεύει δοῦναι, ἀλλὰ πρότερον δείξας οὐκ ὄντα ὑπεύθυνον, τότε δίδωσι· τὸ μέν, ἵνα μὴ ἐκεῖνοι σκανδαλισθῶσι, τὸ δέ, ἵνα μὴ οὗτοι. Οὐδὲ γὰρ ὡς ὀφείλων δίδωσιν, ἀλλ' ὡς τὴν ἐκείνω ἀσθένειαν διορθούμενος.

2. Ἀλλαχοῦ μέντοι καταφρονεῖ τοῦ σκανδάλου, ὅτε περὶ βρωμάτων διελέγετο, διδάσκων ἡμᾶς εἰδέναι καιροὺς καθ' οὓς δεῖ φροντίζειν τῶν σκανδαλιζομένων, καὶ καθ' οὓς δεῖ καταφρονεῖν. Καὶ αὐτῷ δὲ τῷ τῆς δόσεως τρόπῳ δείκνυσι ἑαυτὸν πάλιν. Τίνος γὰρ ἕνεκεν οὐκ ἐξ ἀποκειμένων κελεύει δοῦναι; Ἵν', ὅπερ ἔφην, καὶ ἐν τούτῳ δείξῃ Θεὸν ἑαυτὸν ὄντα τῶν ὅλων καὶ ὅτι καὶ τῆς θαλάττης κρατεῖ. Ἔδειξε μὲν γὰρ καὶ ἤδη ἐπιτιμήσας, καὶ τὸν Πέτρον τοῦτον αὐτὸν κελεύσας ἐπιβῆναι τῶν κυμάτων· δείκνυσι δὲ καὶ νῦν τὸ αὐτὸ τοῦτο, ἑτέρῳ μὲν τρόπῳ, πολλὴν δὲ καὶ ἐν τούτῳ παρέχων τὴν ἔκπληξιν. Οὐδὲ γὰρ μικρὸν ἦν ἀπὸ τῶν βυθῶν ἐκείνων

---

7. Στατήρ· νόμισμα ἐκ χρυσοῦ καὶ ἀργύρου, ἰσοδυναμοῦσε δὲ πρὸς τὸ ἓν τρισχιλιοστὸν τοῦ ταλάντου.
8. Ματθ. 15, 10-20.
9. Ματθ. 8, 26-28.
10. Ματθ. 14, 28-34.

ἐγεννήθησαν ἀπὸ αὐτούς. Ὀνομάζει δὲ υἱοὺς αὐτῶν αὐτοὺς ποὺ ἐγεννήθησαν ἀπὸ αὐτούς.

Σὺ ὅμως, σὲ παρακαλῶ, πρόσεξε καὶ ἐκεῖνο, πῶς δηλαδὴ καὶ ἀπὸ αὐτὸ ἐπιβεβαιώνει τὴν γνῶσιν ποὺ ἀπεκαλύφθη εἰς τὸν Πέτρον. Καὶ δὲν ἐστάθη εἰς αὐτὸ μόνον, ἀλλὰ καὶ μὲ τὴν συγκατάβασίν του φανερώνει αὐτὸ τὸ ἴδιο, πρᾶγμα ποὺ ἀποτελεῖ ἀπόδειξιν μεγάλης σοφίας. Διότι πράγματι, ἀφοῦ εἶπεν αὐτά, προσθέτει· «Ὅμως διὰ νὰ μὴ τοὺς σκανδαλίσωμεν, πήγαινε καὶ ρίψε ἀγκίστρι εἰς τὴν θάλασσαν καὶ πάρε τὸ πρῶτον ψάρι ποὺ θὰ πιασθῇ καὶ θὰ εὕρῃς μέσα εἰς αὐτὸ στατῆρα[7]· πάρε τον αὐτὸν καὶ δῶσε τον εἰς αὐτοὺς δι' ἐμένα καὶ δι' ἐσένα». Πρόσεχε πῶς οὔτε ἀρνεῖται νὰ πληρώσῃ τὸν φόρον, οὔτε ἁπλῶς προστάζει νὰ τὸν πληρώσουν, ἀλλὰ τότε τὸν πληρώνει, ἀφοῦ προηγουμένως ἀπέδειξεν ὅτι δὲν εἶναι ὑποχρεωμένος, ἀφ' ἑνὸς μὲν διὰ νὰ μὴ σκανδαλισθοῦν ἐκεῖνοι, ἀφ' ἑτέρου δὲ διὰ νὰ μὴ σκανδαλισθοῦν καὶ οἱ μαθηταί του. Διότι δὲν δίδει ἐπειδὴ εἶναι ὑποχρεωμένος, ἀλλὰ μὲ σκοπὸν νὰ διορθώσῃ τὴν ἀσθένειαν ἐκείνων.

2. Εἰς ἄλλην ὅμως περίπτωσιν ἀδιαφορεῖ διὰ τὸ σκάνδαλον, τότε δηλαδὴ ποὺ ὡμιλοῦσε περὶ τῶν τροφῶν[8], διδάσκων ἡμᾶς νὰ γνωρίζωμεν τὰς περιπτώσεις ἐκείνας κατὰ τὰς ὁποίας πρέπει νὰ φροντίζωμεν ἐκείνους ποὺ σκανδαλίζονται καὶ ἐκείνας κατὰ τὰς ὁποίας πρέπει ν' ἀδιαφορῶμεν. Ἀλλὰ καὶ μὲ αὐτὸν τὸν τρόπον τῆς πληρωμῆς ἀποδεικνύει καὶ πάλιν ποῖος εἶναι. Διατί λοιπὸν δὲν δίδει ἐντολὴν νὰ πληρώσουν ἀπὸ τὰ χρήματα ποὺ ὑπῆρχον; Διὰ νὰ δείξῃ μὲ αὐτὴν τὴν ἐνέργειάν του, ὅπως προανέφερα, ὅτι εἶναι Θεὸς τῶν ὅλων καὶ ὅτι εἶναι κυρίαρχος καὶ αὐτῆς τῆς θαλάσσης. Καὶ τὸ ἀπέδειξε μὲν αὐτὸ προηγουμένως ὅταν ἐπετίμησε τὴν θάλασσαν[9] καὶ ἐπρόσταξε τὸν ἴδιον τὸν Πέτρον νὰ βαδίσῃ ἐπάνω εἰς τὰ κύματα[10], ἀποδεικνύει ὅμως αὐτὸ τὸ ἴδιο καὶ τώρα, μὲ ἄλλον μὲν τρόπον, προκαλῶν ὅμως καὶ μὲ αὐτὸ μεγάλην ἔκπληξιν. Διότι δὲν ἦτο μικρὸν πρᾶγμα νὰ

προειπεῖν, ὅτι καὶ πρῶτος ἐμπεσεῖται ὁ τὸν φόρον τελῶν ἰχθύς, καὶ ὥσπερ ἀμφίβληστρον εἰς τὴν ἄβυσσον ἐκείνην ἀφέντα αὐτοῦ τὸ πρόσταγμα, ἀναγεῖν τὸν κομίζοντα τὸν στατῆρα· ἀλλὰ θείας δυνάμεως καὶ ἀπορρήτου τὸ καὶ τὴν θάλατταν οὕτω ποιῆσαι δωροφορεῖν, καὶ πάντοθεν τὴν ὑποταγὴν αὐτῆς ἐπιδείκνυσθαι, καὶ ἡνίκα μαινομένη ἐσίγα, καὶ ὅτε τὸν σύνδουλον ἐδέχετο ἀγριαίνουσα, καὶ νῦν πάλιν, ὅτε πρὸς τοὺς ἀπαιτοῦντας ὑπὲρ αὐτοῦ διαλύεται.

«Καὶ δὸς αὐτοῖς», φησίν, «ἀντὶ ἐμοῦ καὶ σοῦ». Εἶδες τὸ ὑπερβάλλον τῆς τιμῆς; Ἴδε καὶ τὸ φιλόσοφον τῆς Πέτρου γνώμης. Τοῦτο γὰρ οὐ φαίνεται Μᾶρκος, ὁ τούτου φοιτητής, γεγραφηκὼς τὸ κεφάλαιον, ἐπειδὴ πολλὴν ἐδείκνυ τὴν εἰς αὐτὸν τιμήν· ἀλλὰ τὴν μὲν ἄρνησιν καὶ αὐτὸς ἔγραψε, τὰ δὲ ποιοῦντα αὐτὸν λαμπρὸν ἀπεσίγησεν, ἴσως τοῦ διδασκάλου παραιτουμένου τὸ μεγάλα περὶ αὐτοῦ λέγειν. «Ἀντὶ ἐμοῦ δὲ καὶ σοῦ», εἶπεν, ἐπειδὴ καὶ αὐτὸς πρωτότοκος ἦν. Ὥσπερ δὲ ἐξεπλάγης τοῦ Χριστοῦ τὴν δύναμιν, οὕτω θαύμασον καὶ τοῦ μαθητοῦ τὴν πίστιν, ὅτι πράγματι ἀπόρῳ οὕτως ὑπήκουσε. Καὶ γὰρ σφόδρα ἄπορον ἦν κατὰ τὴν φύσιν. Διὸ καὶ τῆς πίστεως αὐτὸν ἀμειβόμενος, συνῆψεν ἑαυτῷ κατὰ τὴν τοῦ φόρου δόσιν.

«Ἐν ἐκείνῃ τῇ ὥρᾳ προσῆλθον τῷ Ἰησοῦ οἱ μαθηταὶ λέγοντες· Τίς ἄρα μείζων ἐστὶν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν;». Ἔπαθόν τι ἀνθρώπινον οἱ μαθηταί· διὸ καὶ ὁ εὐαγγελιστὴς ἐπισημαίνεται λέγων, ὅτι «ἐν ἐκείνῃ τῇ ὥρᾳ», ὅτε πάντων αὐτὸν προετίμησε. Καὶ γὰρ καὶ Ἰακώβου καὶ

προείπῃ, ὅτι τὸ πρῶτον ψάρι ποὺ θὰ πιασθῇ μέσα ἀπὸ ἐκείνους τοὺς βυθοὺς θὰ εἶναι ἐκεῖνο ποὺ θὰ πληρώσῃ τὸν φόρον, καὶ ὡσὰν ἀκριβῶς νὰ ἔρριψε τὸ πρόσταγμά του δίκτυον εἰς τὴν ἄβυσσον ἐκείνην, νὰ σύρῃ ἐπάνω τὸ ψάρι ἐκεῖνο ποὺ εἶχε στατῆρα, ἀλλ' ἦτο αὐτὸ ἐνέργεια τῆς θείας καὶ ἀκαταλήπτου δυνάμεως, τὸ νὰ κάνῃ δηλαδὴ καὶ τὴν θάλασσαν νὰ δώσῃ τέτοια δῶρα καὶ μὲ κάθε τρόπον νὰ ἀποδεικνύῃ τὴν ὑποταγὴν αὐτῆς, καὶ ὅταν ἐγαλήνευεν, ἐνῷ ἐμαίνετο προηγουμένως, καὶ ὅταν ἐδέχετο τὸν σύνδουλον ἐνῷ ἐδέρετο ἀπὸ ἄγρια κύματα, καὶ τώρα πάλιν, ὅταν ἐξοφλῇ ὑπὲρ αὐτοῦ τὸ χρέος πρὸς αὐτοὺς ποὺ τοῦ τὸ ἐζητοῦσαν.

«Καὶ δῶσε τους», λέγει, «δι' ἐμένα καὶ δι' ἐσένα». Εἶδες τὴν ὑπερβολικὴν τιμήν; Πρόσεξε καὶ τὴν φιλόσοφον σκέψιν τοῦ Πέτρου. Διότι αὐτὸ τὸ κεφάλαιον φαίνεται ὅτι ὁ Μᾶρκος, ὁ μαθητὴς τοῦ Πέτρου, δὲν τὸ ἔγραψεν, ἐπειδὴ ἐδείκνυε τὴν μεγάλην τιμὴν πρὸς αὐτόν· ἀλλὰ τὴν μὲν ἄρνησιν αὐτοῦ καὶ αὐτὸς τὴν ἔγραψεν, ὅμως ἀπεσιώπησεν ὅλα ἐκεῖνα ποὺ τὸν ἔκαμνον ἔνδοξον, ἴσως ἐπειδὴ παρεκλήθη ὑπὸ τοῦ διδασκάλου του νὰ μὴ ἀναφέρῃ τὰ μεγάλα περὶ αὐτοῦ. «Δι' ἐμένα καὶ δι' ἐσένα»· τὰ λόγια αὐτὰ τὰ εἶπεν, ἐπειδὴ καὶ ὁ Πέτρος ἦτο πρωτότοκος. Ὅπως ἀκριβῶς δὲ ἐξεπλάγης ἀπὸ τὴν δύναμιν τοῦ Χριστοῦ, ἔτσι θαύμασε καὶ τὴν πίστιν τοῦ μαθητοῦ, διότι ὑπήκουσεν εἰς ἕνα τόσον παράξενον πρόσταγμα. Διότι πράγματι ἡ φύσις αὐτοῦ τοῦ πράγματος ἦτο πάρα πολὺ παράδοξος. Διὰ τοῦτο διὰ ν' ἀμείψῃ καὶ τὴν πίστιν αὐτοῦ, τὸν συνένωσε μὲ τὸν ἑαυτόν του κατὰ τὴν πληρωμὴν τοῦ φόρου.

«Κατ' ἐκείνην τὴν ὥραν προσῆλθον εἰς τὸν Ἰησοῦν οἱ μαθηταί του καὶ τὸν ἠρώτησαν· Ποῖος λοιπὸν εἶναι μεγαλύτερος εἰς τὴν βασιλείαν τῶν οὐρανῶν;». Ἔπαθον οἱ μαθηταί του κάτι τὸ ἀνθρώπινον· διὰ τοῦτο καὶ ὁ εὐαγγελιστὴς τὸ ἀναφέρει κατὰ τρόπον διακριτικὸν λέγων, ὅτι «κατ' ἐκείνην τὴν ὥραν», ὅταν ἀπὸ ὅλους ἐτίμησεν αὐτὸν ἰδιαιτέρως. Καθόσον καὶ ὁ ἕνας ἀπὸ τοὺς Ἰάκωβον καὶ Ἰωάννην ἦτο

Ἰωάννου θάτερος πρωτότοκος ἦν, ἀλλ' οὐδὲν τοιοῦτον ὑπὲρ τούτων ἐποίησεν. Εἶτα αἰσχυνόμενοι τὸ πάθος ὁμολογῆσαι, ὅπερ ἔπαθον, φανερῶς μὲν οὐ λέγουσι, Τίνος ἕνεκεν τὸν Πέτρον ἡμῶν προετίμησας; καί, εἰ μείζων ἡμῶν οὗτός ἐστιν; ἠσχύνοντο γάρ· ἀδιορίστως δὲ ἐρωτῶσι· «Τίς ἄρα μείζων ἐστίν;». Ὅτε μὲν γὰρ τοὺς τρεῖς εἶδον προτιμωμένους, οὐδὲν τοιοῦτον ἔπαθον, ἐπειδὴ δὲ εἰς τὸν ἕνα περιέστη τὸ τῆς τιμῆς, τότε ἤλγησαν. Οὐ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ ἕτερα πολλὰ συναγαγόντες, τὸ πάθος ἀνῆψαν. Καὶ γὰρ εἶπεν αὐτῷ· «Σοὶ δώσω τὰς κλεῖς», καί, «Μακάριος εἶ, Σίμων Βὰρ Ἰωνᾶ»· καὶ ἐνταῦθα, «Δὸς αὐτοῖς ἀντὶ ἐμοῦ καὶ σοῦ», καὶ τὴν ἄλλην δὲ παρρησίαν αὐτοῦ τὴν πολλὴν ὁρῶντες παρεκνίζοντο.

Εἰ δὲ ὁ Μᾶρκός φησιν, ὅτι οὐκ ἠρώτησαν, ἀλλ' ἐν ἑαυτοῖς διελογίζοντο, οὐδὲν τοῦτο ἐναντίον ἐστὶν ἐκείνῳ. Εἰκὸς γὰρ αὐτοὺς κἀκεῖνο καὶ τοῦτο ποιῆσαι, καὶ πρότερον μὲν ἐν ἑτέρῳ καιρῷ τοῦτο παθεῖν, καὶ ἅπαξ καὶ δεύτερον, τότε δὲ καὶ ἐξειπεῖν, καὶ ἐν ἑαυτοῖς διαλογίσασθαι. Σὺ δέ μοι μὴ τὸ ἔγκλημα μόνον ἴδῃς, ἀλλὰ κἀκεῖνο λογίζου· πρῶτον μέν, ὅτι οὐδὲν τῶν ἐνταῦθα ζητοῦσιν· ἔπειτα, ὅτι καὶ τοῦτο ὕστερον τὸ πάθος ἀπέθεντο, καὶ τῶν πρωτείων ἀλλήλοις παραχωροῦσιν. Ἡμεῖς δὲ οὐδὲ εἰς τὰ ἐλαττώματα αὐτῶν φθάσαι δυνάμεθα, οὐδὲ ζητοῦμεν τίς μείζων ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, ἀλλὰ τίς μείζων ἐν τῇ βασιλείᾳ τῆς γῆς, τίς εὐπορώτερος, τίς δυνατώτερος.

Τί οὖν ὁ Χριστός; Ἀνακαλύπτει αὐτῶν τὸ συνειδός, καὶ πρὸς τὸ πάθος ἀποκρίνεται, οὐχ ἁπλῶς πρὸς τὰ ῥήματα. «Προσκαλεσάμενος γὰρ παιδίον», φησίν, «εἶπεν· ἐὰν μὴ

---

11. Ματθ. 16, 19.
12. Ματθ. 16, 17.
13. Μάρκ. 9, 34.

πρωτότοκος, ἀλλ' ὅμως δὲν ἔκαμε τίποτε τὸ παρόμοιον καὶ ὑπὲρ αὐτῶν. Εἰς τὴν συνέχειαν αἰσθανόμενοι ἐντροπὴν νὰ ὁμολογήσουν τὸ πάθος των αὐτό, ἀπὸ τὸ ὁποῖον ἐκυριεύθη ἡ ψυχή των, δὲν τοῦ λέγουν μὲν φανερά· Διατί ἐπροτίμησες ἀπὸ ὅλους μας τὸν Πέτρον; καί, Μήπως αὐτὸς εἶναι μεγαλύτερος ἀπὸ ἐμᾶς; διότι ἐντρέποντο· ἀλλ' ὅμως τὸν ἐρωτοῦν ἀόριστα· «Ποῖος λοιπὸν εἶναι μεγαλύτερος;». Διότι ὅταν μὲν εἶδον νὰ τιμῶνται ἰδιαιτέρως οἱ τρεῖς μαθηταί του, δὲν ἔπαθον κάτι παρόμοιον, ὅταν ὅμως ἡ ἰδιαιτέρα τιμὴ ἀπεδόθη εἰς τὸν ἕνα, τότε ἔνοιωσαν πόνον. Καὶ ὄχι μόνον αὐτό, ἀλλ' ἀφοῦ ἔφερον εἰς τὴν μνήμην των καὶ πολλὰ ἄλλα ἤναψαν τὸ πάθος των. Καθ' ὅσον εἶπεν εἰς αὐτόν· «Εἰς ἐσένα θὰ δώσω τὰ κλειδιά»[11], καί, «Μακάριος εἶσαι, Σίμων, υἱὲ τοῦ Ἰωνᾶ»· καὶ τώρα πάλιν, «Δῶσε εἰς αὐτοὺς δι' ἐμένα καὶ δι' ἐσένα»[12], καὶ βλέποντες καὶ τὴν ἄλλην τὴν μεγάλην παρρησίαν του, ἐκυριεύοντο ἀπὸ δυσαρέσκειαν.

Ἐὰν ὅμως ὁ Μᾶρκος λέγῃ, ὅτι δὲν τὸν ἠρώτησαν, ἀλλ' ὅτι ἐσυλλογίζοντο[12], ὡς πρὸς τίποτε αὐτὸ δὲν εἶναι ἀντίθετον μὲ ἐκεῖνο. Διότι φυσικὸν ἦτο αὐτοὶ νὰ πάθουν καὶ ἐκεῖνο καὶ αὐτό, καὶ παλαιότερα μὲν εἰς ἄλλην περίπτωσιν νὰ πάθουν αὐτό, μίαν καὶ δύο φοράς, τότε δὲ καὶ νὰ τὸν ἐρωτήσουν καὶ νὰ τοὺς βασανίζῃ καὶ τὴν σκέψιν των. Σὺ ὅμως σὲ παρακαλῶ μὴ βλέπῃς μόνον τὸ παράπτωμά των, ἀλλὰ καὶ ἐκεῖνο νὰ σκέπτεσαι· πρῶτον μὲν ὅτι δὲν ζητοῦν τίποτε ἀπὸ τὰ πράγματα τοῦ κόσμου αὐτοῦ, ἔπειτα δὲ ὅτι καὶ αὐτὸ τὸ πάθος τὸ ἀπέβαλον καὶ παραχωροῦν ὁ ἕνας εἰς τὸν ἄλλον τὰ πρωτεῖα. Ἡμεῖς ὅμως δὲν ἠμποροῦμεν οὔτε εἰς τὰ ἐλαττώματά των νὰ φθάσωμεν, οὔτε ζητοῦμεν νὰ μάθωμεν ποῖος εἶναι μεγαλύτερος εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἀλλὰ ποῖος εἶναι μεγαλύτερος εἰς τὴν βασιλείαν τῆς γῆς, ποῖος εἶναι πλουσιώτερος, ποῖος εἶναι ἰσχυρώτερος.

Τί κάνει λοιπὸν ὁ Χριστός; Ἀποκαλύπτει τὴν σκέψιν των καὶ ἡ ἀπάντησις ποὺ δίδει ἀναφέρεται ὄχι ἁπλῶς εἰς τὰ λόγια, ἀλλὰ εἰς τὸ πάθος των. Διότι λέγει· «Ἀφοῦ προσε-

σιραφῆτε, καὶ γένησθε ὡς τὸ παιδίον τοῦτο, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν». Ὑμεῖς μὲν γάρ, φησίν, ἐξετάζετε τίς μείζων καὶ περὶ πρωτείων φιλονεικεῖτε, ἐγὼ δὲ τὸν μὴ πάντων ταπεινότερον γενόμενον οὐδὲ τῆς εἰσόδου τῆς ἐκεῖ ἄξιον εἶναί φημι. Καὶ καλῶς καὶ τὸ ὑπόδειγμα παράγει· καὶ οὐ παράγει μόνον, ἀλλὰ καὶ τὸ παιδίον εἰς μέσον ἵστησι, καὶ ἀπὸ τῆς ὄψεως αὐτοὺς ἐντρέπων, καὶ πείθων εἶναι ταπεινοὺς οὕτω καὶ ἁπλάστους. Καὶ γὰρ φθόνου καθαρὸν τὸ παιδίον καὶ κενοδοξίας καὶ τοῦ τῶν πρωτεύων ἐρᾶν· καὶ τὴν μεγίστην κέκτηται ἀρετήν, τὴν ἀφέλειαν καὶ τὸ ἄπλαστον καὶ ταπεινόν. Οὐκ ἄρα ἀνδρείας δεῖ μόνον, οὐδὲ φρονήσεως, ἀλλὰ καὶ ταύτης τῆς ἀρετῆς, τῆς ταπεινοφροσύνης λέγω καὶ τῆς ἀφελείας. Καὶ γὰρ καὶ ἐν τοῖς μεγίστοις χωλεύει τὰ τῆς σωτηρίας ἡμῶν, τούτων ἡμῖν οὐ παρουσῶν. Τὸ παιδίον κἂν ὑβρίζηται, κἂν τύπτηται, κἂν τιμᾶται, κἂν δοξάζηται, οὔτε ἐκεῖθεν δυσχεραίνει καὶ βασκαίνει, οὔτε ἐντεῦθεν ἐπαίρεται.

3. Εἶδες πῶς πάλιν ἡμᾶς πρὸς τὰ φυσικὰ κατορθώματα ἐκκαλεῖται, δεικνὺς ὅτι ἐκ προαιρέσεως ταῦτα κατορθοῦν δυνατόν, καὶ τὴν πονηρὰν Μανιχαίων ἐπισιομίζει λύτταν; Εἰ γὰρ πονηρὸν ἡ φύσις, τίνος ἕνεκεν ἐκεῖθεν τῆς φιλοσοφίας τὰ παραδείγματα ἕλκει; Παιδίον δέ μοι δοκεῖ σφόδρα παιδίον ἐν τῷ μέσῳ στῆσαι, τῶν παθῶν ἁπάντων τούτων ἀπηλλαγμένον. Τὸ γὰρ τοιοῦτον παιδίον καὶ ἀπονοίας καὶ δοξομανίας καὶ βασκανίας καὶ φιλονεικίας καὶ πάντων τῶν τοιούτων ἀπήλλακται παθῶν, καὶ πολλὰς ἔχον τὰς ἀρετάς, ἀφέλειαν, ταπεινοφροσύνην, ἀπραγμοσύνην, ἐπ' οὐδενὶ τούτων ἐπαίρεται· ὅπερ διπλῆς ἐστι φιλοσοφίας, τὸ κεκτῆσθαι

κάλεσεν ἕνα παιδί, εἶπεν· ἐὰν δὲν ἀλλάξετε καὶ δὲν γίνετε ὡσὰν αὐτὸ τὸ παιδί, δὲν θὰ εἰσέλθετε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν». Σεῖς δηλαδή, λέγει, ζητεῖτε νὰ μάθετε ποῖος εἶναι μεγαλύτερος καὶ φιλονεικεῖτε διὰ τὰ πρωτεῖα, ἐνῷ ἐγὼ σᾶς λέγω, ὅτι αὐτὸς ποὺ δὲν θὰ γίνῃ ταπεινότερος ἀπὸ ὅλους δὲν εἶναι ἄξιος νὰ εἰσέλθῃ εἰς τὴν οὐράνιον βασιλείαν. Καὶ εἶναι πολὺ ἐπιτυχὲς τὸ παράδειγμα ποὺ ἀναφέρει· καὶ δὲν τὸ ἀναφέρει ἁπλῶς, ἀλλὰ καὶ τὸ παιδὶ τοποθετεῖ εἰς τὸ μέσον, καὶ τοὺς κάνει βλέποντές το νὰ ἐντραποῦν καὶ τοὺς πείθει νὰ εἶναι ταπεινοὶ καὶ χωρὶς ὑποκρισίαν. Καθόσον τὸ παιδὶ εἶναι καθαρὸν ἀπὸ φθόνον, κενοδοξίαν καὶ ἀπὸ τὸ νὰ ποθῇ τὰ πρωτεῖα, καὶ κατέχει τὴν πιὸ μεγάλην ἀρετήν, τὴν ἀφέλειαν, τὸ ἀνυπόκριτον καὶ τὸ ταπεινόν. Ἄρα δὲν χρειάζεται μόνον ἀνδρεία, οὔτε φρόνησις, ἀλλὰ καὶ αὐτὴ ἡ ἀρετή, δηλαδὴ ἡ ταπεινοφροσύνη καὶ ἡ ἀφέλεια. Καθ' ὅσον ἡ σωτηρία μας παρουσιάζει τὴν πιὸ μεγάλην ἀτέλειαν, ἐὰν δὲν ὑπάρχουν εἰς ἡμᾶς αὐταὶ αἱ ἀρεταί. Τὸ παιδὶ καὶ ἂν ἀκόμη ὑβρίζεται, καὶ ἂν κτυπᾶται, καὶ ἂν τιμᾶται, καὶ ἂν δοξάζεται, οὔτε ἐξ αἰτίας τῶν πρώτων δυσαρεστεῖται καὶ φθονεῖ, οὔτε ἐξ αἰτίας τῶν δευτέρων ὑπερηφανεύεται.

3. Εἶδες πῶς πάλιν μᾶς προτρέπει πρὸς τὰς φυσικὰς ἀρετάς, δεικνύων εἰς ἡμᾶς ὅτι αὐτὰ εἶναι δυνατὸν νὰ τὰ ἐπιτύχωμεν μὲ τὴν προαίρεσίν μας, θέτων ἔτσι χαλινάρι εἰς τὴν πονηρὰν λύσσαν τῶν Μανιχαίων; Διότι ἐὰν ἡ φύσις εἶναι κάτι τὸ πονηρόν, διατί τότε λαμβάνει ἀπὸ ἐκεῖ τὰ παραδείγματα τῆς διδασκαλίας του; Ἔχω τὴν γνώμην ὅτι ἔστησεν ἔμπροσθέν των ἕνα παιδὶ ποὺ ἦτο πάρα πολὺ μικρὸν καὶ ἦτο ἀπηλλαγμένον ἀπὸ ὅλα αὐτὰ τὰ πάθη. Διότι ἕνα τέτοιο παιδὶ εἶναι ἀπηλλαγμένον καὶ ἀπὸ ἀδιαντροπιὰ καὶ ἀπὸ δοξομανίαν καὶ ἀπὸ φθόνον καὶ ἀπὸ φιλονεικίας καὶ ἀπὸ ὅλα τὰ παρόμοια πάθη, καὶ ἔχει πολλὰς ἀρετάς, ὅπως ἀφέλειαν, ταπεινοφροσύνην, ἀμεριμνησίαν, καὶ δὲν ὑπερηφανεύεται διὰ τίποτε ἀπὸ ὅλα αὐτά, πρᾶγμα ποὺ ἀποτελεῖ ἀπόδειξιν διπλῆς ἀσκήσεως τῆς ἀρετῆς, τὸ ὅτι κατέχει ὅλα

ταῦτα, καὶ μὴ φυσᾶσθαι ἐπ' αὐτοῖς. Διόπερ αὐτὸ παρήγαγε, καὶ ἔσιησεν ἐν τῷ μέσῳ· καὶ οὐ μέχρι τούτου μόνον τὸν λόγον κατέκλεισεν, ἀλλὰ καὶ περαιτέρω προάγει τὴν παραίνεσιν ταύτην, λέγων· «Καὶ ὃς ἐὰν δέξηται παιδίον τοιοῦτον ἐν τῷ ὀνόματί μου, ἐμὲ δέχεται». Οὐ γὰρ δὴ μόνον, φησίν, ἐὰν αὐτοὶ τοιοῦτοι γένησθε, μισθὸν λήψεσθε μέγαν· ἀλλὰ κἂν ἑτέρους τοιούτους τιμήσητε δι' ἐμέ, καὶ τῆς εἰς ἐκείνους τιμῆς βασιλείαν ὑμῖν ὁρίζω τὴν ἀμοιβήν. Μᾶλλον δὲ τὸ πολλῷ μεῖζον τίθησιν, «ἐμὲ δέχεται», λέγων. Οὕτω μοι οφόδρα ποθεινὸν τὸ ταπεινὸν καὶ ἄπλαστον. Παιδίον γὰρ ἐνταῦθα τοὺς ἀνθρώπους τοὺς οὕτως ἀφελεῖς φησι καὶ ταπεινούς, καὶ ἀπερριμμένους παρὰ τοῖς πολλοῖς, καὶ εὐκαταφρονήτους.

Εἶτα εὐπαράδεκτον μειζόνως ποιῶν τὸν λόγον, οὐκ ἀπὸ τῆς τιμῆς μόνον, ἀλλὰ καὶ ἀπὸ τῆς κολάσεως αὐτὸν συνίσιησιν, ἐπάγων καὶ λέγων· «Καὶ ὃς ἐὰν σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων, συμφέρει αὐτῷ, ἵνα κρεμασθῇ μύλος ὀνικὸς εἰς τὸν τράχηλον αὐτοῦ, καὶ καταποντισθῇ ἐν τῷ πελάγει τῆς θαλάσσης». Ὥσπερ γὰρ οἱ τούτους τιμῶντες, φησί, δι' ἐμέ, τὸν οὐρανὸν ἔχουσι, μᾶλλον δὲ τῆς βασιλείας αὐτῆς μείζω τιμήν, οὕτω δὴ καὶ οἱ ἀτιμάζοντες (τοῦτο γάρ ἐστι τὸ σκανδαλίσαι) τὴν ἐσχάτην δώσουσι δίκην. Εἰ δὲ σκάνδαλον τὴν ὕβριν καλεῖ, μὴ θαυμάσῃς· πολλοὶ γὰρ τῶν μικροψύχων οὐχ ὡς ἔτυχεν ἐκ τοῦ παροφθῆναι καὶ καθυβρισθῆναι ἐσκανδαλίσθησαν.

Ἐπείρων τοίνυν καὶ αὔξων τὸ ἔγκλημα, τὴν ἐξ αὐτοῦ τίθησι βλάβην. Καὶ οὐκέτι ἀπὸ τῶν αὐτῶν τὴν τιμωρίαν ἐμφαίνει, ἀλλ' ἀπὸ τῶν παρ' ἡμῖν γνωρίμων τὸ ἀφόρητον

αὐτὰ καὶ δὲν ὑπερηφανεύεται δι' αὐτά. Ἀκριβῶς διὰ τὸν λόγον αὐτὸν τὸ ἐπῆρε καὶ τὸ ἔστησεν ἔμπροσθέν των, καὶ δὲν ἐτελείωσεν εἰς τὸ σημεῖον αὐτὸ τὸν λόγον του, ἀλλὰ καὶ ἐπεκτείνει ἀκόμη περισσότερον τὴν προτροπὴν αὐτήν, λέγων· «Καὶ ἐκεῖνος ποὺ θὰ δεχθῇ ἐπ' ὀνόματί μου ἕνα τέτοιο παιδί, δέχεται ἐμένα». Διότι, λέγει, δὲν θὰ λάβετε μισθὸν μεγάλον ἐὰν μόνον γίνετε σεῖς ὡσὰν τὰ παιδιά, ἀλλὰ καὶ ἐὰν ἀκόμη τιμήσετε εἰς τὸ ὄνομά μου καὶ ἄλλους ποὺ ὁμοιάζουν μὲ αὐτά, ὁρίζω διὰ τὴν τιμὴν πρὸς ἐκείνους ὡς ἀμοιβήν σας τὴν βασιλείαν τῶν οὐρανῶν. Μᾶλλον δὲ θέτει τὸ πολὺ μεγαλύτερον, λέγων, «ἐμένα δέχεται». Τόσον πολὺ περιπόθητον μοῦ εἶναι τὸ ταπεινὸν καὶ τὸ ἀπροσποίητον. Παιδὶ δὲ εἰς τὴν περίπτωσιν αὐτὴν ὀνομάζει τοὺς ἀνθρώπους ποὺ εἶναι ἔτσι ἀφελεῖς καὶ ταπεινοὶ καὶ θεωροῦνται ἀπὸ τοὺς πολλοὺς ὡς περιφρονημένοι καὶ εὐκαταφρόνητοι.

Εἰς τὴν συνέχειαν κάμνων τὸν λόγον του περισσότερον εὐπαράδεκτον τοὺς συνιστᾷ αὐτὸν ὄχι μόνον ἐξ αἰτίας τῆς τιμῆς, ἀλλὰ καὶ ἐξ αἰτίας τῆς κολάσεως, προσθέτων εἰς τὰ προηγούμενα καὶ λέγων· «Καὶ ἐκεῖνος ποὺ θὰ σκανδαλίσῃ ἕνα ἀπὸ αὐτοὺς τοὺς μικρούς, συμφέρει εἰς αὐτὸν νὰ κρεμασθῇ εἰς τὸν λαιμὸν μυλόπετρα καὶ νὰ καταποντισθῇ εἰς τὸ βάθος τῆς θαλάσσης». Διότι, λέγει, ὅπως ἀκριβῶς ἐκεῖνοι ποὺ τιμοῦν αὐτοὺς ἐξ αἰτίας μου ἔχουν ὡς ἀμοιβὴν τὸν οὐρανόν, μᾶλλον δὲ μεγαλυτέραν τιμὴν καὶ ἀπὸ αὐτὴν τὴν βασιλείαν, ἔτσι λοιπὸν καὶ αὐτοὶ ποὺ περιφρονοῦν αὐτοὺς (αὐτὸ δηλαδὴ σημαίνει τὸ σκανδαλίσαι) θὰ ὑποστοῦν τὴν πιὸ βαρεῖαν τιμωρίαν. Ἐὰν δὲ ὀνομάζῃ τὴν ὕβριν σκάνδαλον, μὴ θαυμάσῃς· διότι πολλοὶ ἀπὸ τοὺς μικροψύχους δὲν ἐσκανδαλίσθησαν· τυχαῖα ἀπὸ τὸ ὅτι περιεφρονήθησαν καὶ ὑβρίσθησαν ἀπὸ τοὺς ἄλλους.

Διεγείρων λοιπὸν αὐτοὺς καὶ αὐξάνων τὸ ἁμάρτημα, παρουσιάζει τὴν βλάβην ποὺ προέρχεται ἀπὸ αὐτό. Καὶ δὲν παρουσιάζει τὴν τιμωρίαν βάσει τῶν μελλοντικῶν γεγονότων, ἀλλὰ δεικνύει τὸ ἀνυπόφορον αὐτῆς ἀπὸ αὐτὰ ποὺ εἶ-

αὐτῆς ἐνδείκνυται. Ὅταν γὰρ μάλιστα καθάψασθαι βούληται τῶν παχυτέρων, αἰσθητὰ ἄγει παραδείγματα. Διὸ καὶ ἐνταῦθα βουλόμενος δεῖξαι, ὅτι πολλὴν ὑποσιήσονται τὴν τιμωρίαν, καὶ καθικέσθαι τῆς τῶν διαπυόντων αὐτοὺς ἀπονοίας, αἰσθητήν τινα κόλασιν καὶ μέσον ἤγαγε, τὴν τοῦ μύλου καὶ τοῦ καταποντισμοῦ. Καίτοιγε ἀκόλουθον τῷ προτέρῳ ἦν εἰπεῖν· Ὁ μὴ δεχόμενος ἕνα τῶν μικρῶν τούτων, ἐμὲ οὐ δέχεται· ὃ πάσης κολάσεως πικρότερον ἦν· ἀλλ' ἐπειδὴ τῶν σφόδρα ἀναισθήτων καὶ παχυτάτων, καίτοι φοβερὸν ὂν τοῦτο οὐχ οὕτω καθικνεῖτο, τίθησι μύλον καὶ καταποντισμόν. Καὶ οὐκ εἶπεν, ὅτι μύλος κρεμασθήσεται εἰς τὸν τράχηλον αὐτοῦ, ἀλλά, συμφέρει αὐτῷ τοῦτο ὑπομεῖναι, δεικνὺς ὅτι ἕτερον τούτου χαλεπώτερον αὐτὸν ἀναμένει κακόν· εἰ δὲ τοῦτο ἀφόρητον, πολλῷ μᾶλλον ἐκεῖνο.

Εἶδες πῶς ἑκατέρωθεν φοβερὰν ἐποίησε τὴν ἀπειλήν, τῇ μὲν τοῦ γνωρίμου παραδείγματος συγκρίσει σαφεστέραν αὐτὴν ποιῶν, τῇ δὲ ἐντεῦθεν ὑπεροχῇ πολλῷ μείζονα τῆς ὁρωμένης φαντάζεσθαι παρασκευάσας; Εἶδες πῶς πρόρριζον ἀνέσπασε τῆς ἀπονοίας τὸ φρόνημα; πῶς ἰάσατο τῆς κενοδοξίας τὸ ἕλκος; πῶς ἐπαίδευσε μηδαμοῦ τῶν πρωτείων ἐρᾶν; πῶς ἔπεισε τοὺς ἐπιθυμοῦντας τῶν πρωτείων τὴν ἐσχάτην πανταχοῦ διώκειν τάξιν;

Οὐδὲν γὰρ ἀπονοίας χεῖρον. Αὕτη καὶ τῶν κατὰ φύσιν ἐξίστησι φρενῶν, καὶ μωρῶν ἐπιτίθησι δόξαν· μᾶλλον δὲ καὶ σφόδρα ἀνοήτους εἶναι ποιεῖ. Ὥσπερ γὰρ εἴ τις, τριπήχυς ὤν, διάζοιτο εἶναι τῶν ὀρῶν ὑψηλότερος, ἢ καὶ

ναι γνωστὰ εἰς ἡμᾶς. Διότι ὅταν πρόκειται ὅλως ἰδιαιτέρως νὰ ἐλέγξῃ τοὺς πνευματικὰ ἀτελεῖς, ἀναφέρει αἰσθητὰ παραδείγματα. Διὰ τοῦτο καὶ εἰς τὴν περίπτωσιν αὐτὴν θέλων νὰ δείξῃ, ὅτι θὰ εἶναι πολὺ μεγάλη ἡ τιμωρία ποὺ θὰ ὑποστοῦν καὶ νὰ ἐλέγξῃ τὴν ἀνάρμοστον συμπεριφορὰν αὐτῶν ποὺ περιφρονοῦν αὐτούς, ἀνέφερε κάποιαν αἰσθητὴν τιμωρίαν, τὴν μυλόπετραν καὶ τὸν καταποντισμόν. Μολονότι βέβαια θὰ ἦτο περισσότερον σύμφωνον πρὸς τὸ προηγούμενον ἐὰν ἔλεγεν· "Ἐκεῖνος ποὺ δὲν δέχεται κάποιον ἀπὸ αὐτοὺς τοὺς μικρούς, δὲν δέχεται ἐμένα', πρᾶγμα ποὺ ἦτο πικρότερον ἀπὸ κάθε ἄλλην τιμωρίαν· ἀλλ' ἐπειδὴ ἦσαν ἀπὸ τοὺς πάρα πολὺ ἀναισθήτους καὶ ὑλόφρονας, μολονότι αὐτὸ ἦτο πολὺ φοβερὸν καὶ δὲν τοὺς ἐτρόμαζε καθόλου, ἀναφέρει τὴν μυλόπετραν καὶ τὸν καταποντισμόν. Καὶ δὲν εἶπεν, ὅτι θὰ κρεμασθῇ μυλόπετρα εἰς τὸν λαιμόν του, ἀλλά, συμφέρει εἰς αὐτὸν νὰ ὑπομείνῃ αὐτό, δεικνύων ὅτι τὸν ἀναμένει ἄλλο κακὸν χειρότερον ἀπὸ αὐτό· ἐὰν αὐτὸ εἶναι ἀνυπόφορον, πολὺ περισσότερον θὰ εἶναι ἐκεῖνο.

Εἶδες πῶς καὶ μὲ τὰ δύο παραδείγματα ἀπέδειξε τὴν ἀπειλὴν φοβεράν, μὲ τὴν μὲν σύγκρισιν μὲ τὸ γνωστὸν παράδειγμα κατέστησεν αὐτὴν περισσότερον σαφῆ, μὲ τὴν δὲ ὑπεροχὴν αὐτῆς ἀπὸ τὴν ἐδῶ τιμωρίαν τοὺς προετοίμασε νὰ φαντάζωνται ὅτι ἡ μέλλουσα τιμωρία θὰ εἶναι πολὺ μεγαλυτέρα ἀπὸ τὴν ἐδῶ τιμωρίαν; Εἶδες πῶς ἀπέσπασεν ἀπὸ τὴν ρίζαν του τὸ φρόνημα τῆς ὑπερηφανείας; πῶς ἐθεράπευσε τὴν πληγὴν τῆς κενοδοξίας; πῶς τοὺς ἐδίδαξε νὰ μὴ ἐπιθυμοῦν εἰς καμμίαν περίπτωσιν τὰ πρωτεῖα; πῶς ἔπεισεν ἐκείνους ποὺ ἐπιθυμοῦν τὰ πρωτεῖα νὰ ἐπιδιώκουν πάντοτε τὴν τελευταίαν θέσιν;

Τίποτε πράγματι δὲν εἶναι χειρότερον ἀπὸ τὴν ὑπερηφάνειαν. Αὐτὴ μᾶς κάνει παράφρονας καὶ μᾶς προσθέτει τὴν δόξαν τῶν ἀνοήτων· μᾶλλον δὲ μᾶς κάνει εἰς πολὺ μεγάλον βαθμὸν ἀνοήτους. Διότι ὅπως ἀκριβῶς, ἐὰν κάποιος, ἐνῷ εἶναι ὕψους τριῶν πήχεων, ἠγωνίζετο μὲ πεῖσμα νὰ

νομίζοι τοῦτο, καὶ ἀναιείνοι ἑαυτὸν ὡς ὑπερβαλλόμενος αὐτῶν τὰς κορυφάς, οὐδὲν ἕτερον ζητήσομεν δεῖγμα ἀνοίας· οὕτω καὶ ὅταν ἄνθρωπον ἀπονενοημένον ἴδῃς, καὶ ἁπάντων βελτίονα ἑαυτὸν ἡγούμενον εἶναι, καὶ ὕβριν νομίζοντα τὸ μετὰ τῶν πολλῶν ζῆν, μὴ ζήτει λοιπὸν ἕτερον ἔλεγχον ἰδεῖν τῆς ἐκείνου παρανοίας. Τῶν γὰρ φύσει μωρῶν πολὺ καταγελαστότερος οὗτος,, ὅσον καὶ ἑκὼν ταύτην δημιουργεῖ τὴν νόσον. Οὐ ταύτῃ δὲ μόνον ἄθλιος, ἀλλ' ὅτι καὶ ἀναλγήτως εἰς αὐτὸ τῆς κακίας ἐμπίπτει τὸ βάραθρον. Πότε γὰρ ὁ τοιοῦτος ἐπιγνώσεται ἁμαρτίαν ὡς χρή; πότε αἰσθήσεται πλημμελῶν; Καὶ γὰρ ὡς ἀνδράποδον κακὸν καὶ αἰχμάλωτον λαβὼν αὐτὸν ὁ διάβολος ἄπεισι, καὶ ἄγει καὶ φέρει, ραπίζων πάντοθεν καὶ μυρίαις περιβάλλων ὕβρεσιν. Εἰς τοσαύτην γὰρ αὐτοὺς ἄγει μωρίαν λοιπόν, ὡς πείθειν καὶ κατὰ παίδων καὶ γυναικῶν μέγα φρονεῖν, καὶ κατὰ τῶν προγόνων τῶν οἰκείων. Ἑτέρους δὲ τοὐναντίον ἀπὸ τῆς τῶν προγόνων περιφανείας φυσᾶσθαι παρασκευάζει· οὗ τί γένοιτ' ἂν ἀνοητότερον, ὅταν ἀπὸ τῶν ἐναντίων ὁμοίως φλεγμαίνωσιν, οἱ μὲν ἐπειδὴ εὐτελεῖς ἔσχον πατέρας καὶ πάππους καὶ ἐππάππους, οἱ δὲ ἐπειδὴ λαμπροὺς καὶ περιφανεῖς; Πῶς οὖν ἄν τις ἑκατέρων ταπεινώσειε τὴν φλεγμονήν; Πρὸς μὲν ἐκείνους λέγων· Ἀνάβηθι περαιτέρω τῶν πάππων καὶ τῶν προπάππων, καὶ πολλοὺς ἴσως εὑρήσεις μαγείρους, καὶ ὀνηλάτας, καὶ καπήλους· πρὸς δὲ τούτους, τοὺς ἀπὸ τῆς εὐτελείας τῶν προγόνων φυσωμένους, τὸ ἐναν-

γίνῃ ὑψηλότερος ἀπὸ τὰ βουνά, ἢ καὶ ἐὰν εἶχε τὴν γνώμην ὅτι εἶναι ὑψηλότερος, καὶ ἐτέντωνε τὸν ἑαυτόν του ὥστε νὰ ξεπεράσῃ τὰς κορυφὰς τῶν βουνῶν, δὲν θὰ ζητήσωμεν ἄλλην ἀπόδειξιν τῆς παραφροσύνης του, ἔτσι καὶ ὅταν ἰδῇς ἄνθρωπον ὑπερήφανον καὶ ποὺ θεωρεῖ τὸν ἑαυτόν του ἀνώτερον ἀπὸ ὅλους καὶ νομίζει ὕβριν τὸ νὰ ζῇ μαζὶ μὲ τὸν κόσμον, μὴ ζητᾷς λοιπὸν νὰ ἰδῇς ἄλλην ἀπόδειξιν τῆς παραφροσύνης του. Διότι αὐτὸς εἶναι πολὺ περισσότερον ἄξιος χλευασμοῦ ἀπὸ τὸν ἐκ φύσεως ἀνόητον, καθ' ὅσον μὲ τὴν θέλησίν του δημιουργεῖ αὐτὴν τὴν ἀσθένειαν. Καὶ δὲν εἶναι μόνον ἐξ αἰτίας αὐτοῦ ἄθλιος, ἀλλὰ καὶ ἐπειδὴ προχωρεῖ πρὸς αὐτὸ τὸ βάραθρον τῆς κακίας μὲ πλήρη ἀναισθησίαν. Πότε λοιπὸν ὁ ἄνθρωπος αὐτοῦ τοῦ εἴδους θὰ λάβῃ συναίσθησιν τῆς ἁμαρτίας του ὅπως πρέπει; πότε θὰ συναισθανθῇ ὅτι ἁμαρτάνει; Καθ' ὅσον αὐτὸν τὸν ἔχει λάβει ὁ διάβολος ὡσὰν ἀνδράποδον καὶ τὸν σύρει μαζί του καὶ τὸν ὁδηγεῖ καὶ τὸν φέρνει, φέρων ἐναντίον του κτυπήματα ἀπὸ παντοῦ καὶ τὸν περιβάλλει μὲ ἀπείρους προσβολάς. Εἰς τόσον μεγάλην λοιπὸν μωρίαν τοὺς ὁδηγεῖ, ὥστε τοὺς πείθει νὰ ὑπερηφανεύωνται καὶ διὰ τὰ παιδιά των, τὰς γυναῖκας των καὶ διὰ τοὺς προγόνους των. Ἄλλους πάλιν ἀντιθέτως τοὺς κάνει νὰ ὑπερηφανεύωνται καὶ ἐξ αἰτίας τῆς λαμπρότητος τῶν προγόνων των· τί θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ ἀνοητότερον ἀπὸ αὐτό, ὅταν καθ' ὅμοιον τρόπον φουντώνῃ τὸ πάθος των καὶ ἀπὸ τὰ ἀντίθετα, οἱ μὲν ἐπειδὴ συνέβη νὰ εἶχον ἀσημάντους γονεῖς καὶ πάππους καὶ προπάπους, οἱ δὲ ἐπειδὴ εἶχον λαμπροὺς καὶ σπουδαίους; Πῶς λοιπὸν θὰ ἠμποροῦσε κανεὶς νὰ μειώσῃ τὴν ἔξαψιν τοῦ πάθους καὶ τῶν δύο; Πρὸς τοὺς μὲν πρώτους μὲ τὸ νὰ λέγῃ· Ἀνέβα πιὸ ἐπάνω ἀπὸ τοὺς πάππους καὶ τοὺς προπάππους καὶ θὰ εὕρῃς ἐνδεχομένως πολλοὺς μαγείρους, ὁδηγοὺς ὄνων καὶ καπήλους· πρὸς αὐτοὺς δέ, ποὺ ὑπερηφανεύονται ἐξ αἰτίας τῆς εὐτελείας τῶν προγόνων των, μὲ τὸ νὰ λέγῃ τὸ ἀντίθετον, ὅτι δηλαδὴ καὶ σὺ πάλιν ἐὰν προχωρήσῃς πιὸ ἐπάνω

τίον πάλιν, ὅτι καὶ σὺ πάλιν ἀνωτέρω προελθὼν τῶν προγόνων, ὄψει πολλῷ σου λαμπροτέρους πολλούς.

4. Ὅτι γὰρ τοῦτον ἔχει τὸν δρόμον ἡ φύσις, φέρε καὶ ἀπὸ τῶν Γραφῶν ὑμῖν ἀποδείξω. Ὁ Σολομῶν υἱὸς βασιλέως ἦν, καὶ βασιλέως λαμπροῦ· ἀλλ' ὁ τούτου πατὴρ τῶν εὐτελῶν καὶ ἀσήμων, καὶ ὁ πρὸς μητρὸς δὲ πάππος ὁμοίως· οὐδὲ γὰρ ἂν ψιλῷ στρατιώτῃ τὴν θυγατέρα ἐξέδωκεν. Εἰ δὲ ἀναβαίης ἀνωτέρω πάλιν ἀπὸ τῶν εὐτελῶν τούτων, λαμπρότερον ὄψει τὸ γένος καὶ βασιλικώτερον. Οὕτω καὶ ἐπὶ τοῦ Σαούλ οὕτω καὶ ἐπὶ πολλῶν ἑτέρων εὕροι τις ἂν τοῦτο συμβαῖνον.

Μὴ δὴ μέγα φρονῶμεν ἐντεῦθεν. Τί γάρ ἐστι γένος; εἰπέ μοι. Οὐδέν, ἀλλ' ἢ ὄνομα μόνον πράγματος ἔρημον· καὶ τοῦτο εἴσεσθε κατὰ τὴν ἡμέραν ἐκείνην. Ἐπειδὴ δὲ οὔπω πάρεσιν ἐκείνη, φέρε καὶ ἀπὸ τῶν παρόντων ὑμᾶς πείσωμεν, ὅτι οὐδεμία ἐντεῦθεν ὑπεροχή. Καὶ γὰρ κἂν πόλεμος καταλάβῃ κἂν λιμὸς κἂν ἕτερον ὁτιοῦν, πάντα ἐλέγχεται ταῦτα τὰ τῆς εὐγενείας φυσήματα· κἂν νόσος ἐπέλθῃ, κἂν λοιμός, οὐκ οἶδε διαγνῶναι πλοῦσιον καὶ τὸν πένητα, τὸν ἔνδοξον καὶ τὸν ἄδοξον, τὸν εὐγενῆ καὶ τὸν οὐ τοιοῦτον· οὔτε ὁ θάνατος, οὔτε αἱ λοιπαὶ τῶν πραγμάτων μεταβολαί, ἀλλ' ὁμοίως πᾶσι πάντα ἐπανίσταται· καὶ εἰ δεῖ τι καὶ θαυμαστὸν εἰπεῖν, τοῖς πλουτοῦσι μᾶλλον. Ὅσῳ γὰρ ἀμελέτητοι τούτων εἰσί, τοσούτῳ μᾶλλον ἁλόντες ἀπόλλυνται. Καὶ ὁ φόβος δὲ παρὰ τοῖς πλουτοῦσι μείζων. Καὶ γὰρ ἄρ-

14. Δηλαδὴ ὁ Ἰεσσαί, ὁ ὁποῖος ἦτο ἐγγονὸς τοῦ Βοὸζ καὶ τῆς Ρούθ, πατὴρ δὲ τοῦ Δαυΐδ.

15. Σαούλ· πρῶτος βασιλεὺς τῶν Ἑβραίων, ἦτο δὲ υἱὸς τοῦ Κίς (Α' Βασ. 15, 1).

ἀπὸ τοὺς προγόνους σου, θὰ ἰδῇς πολλοὺς πολὺ πιὸ λαμπροτέρους ἀπὸ ἐσένα.

4. Τὸ ὅτι λοιπὸν ἔτσι συμβαίνει ν' ἀκολουθοῦν αὐτὴν τὴν φυσικὴν πορείαν τὰ πράγματα, ἐμπρὸς νὰ σᾶς τὸ ἀποδείξω καὶ ἀπὸ τὰς Γραφάς. Ὁ Σολομῶν ἦτο υἱὸς βασιλέως καὶ μάλιστα βασιλέως ἐνδόξου, ὁ πατέρας αὐτοῦ[14] ὅμως ἦτο ἀπὸ τοὺς εὐτελεῖς καὶ ἀσημάντους, ὁμοίως δὲ καὶ ὁ πάππος του ἀπὸ τὴν μητέρα του· ἄλλωστε δὲν θὰ ἔδιδε τὴν θυγατέρα του εἰς ἕνα ἁπλὸν στρατιώτην. Ἐὰν δὲ ἤθελες ἀναβῇ πάλιν ὑψηλότερα ἀπὸ αὐτοὺς τοὺς εὐτελεῖς προγόνους του θὰ ἔβλεπες τὸ γένος του λαμπρότερον καὶ βασιλικώτερον. Κατὰ τὸν ἴδιον τρόπον θὰ εὕρισκε κανεὶς νὰ συμβαίνῃ αὐτὸ καὶ εἰς τὴν περίπτωσιν τοῦ Σαοὺλ[15] καὶ εἰς τὰς περιπτώσεις πολλῶν ἄλλων.

Ἂς μὴ μεγαλοφρονῶμεν λοιπὸν ἐξ αἰτίας αὐτῶν. Διότι εἰπέ μου· τί εἶναι τὸ γένος; Ἀπολύτως τίποτε, ἀλλ' ἁπλῶς ὄνομα μόνον χωρὶς καμμίαν ἀξίαν· καὶ αὐτὸ θὰ τὸ γνωρίσετε κατὰ τὴν ἡμέραν ἐκείνην. Ἐπειδὴ ὅμως δὲν ἦλθεν ἀκόμη ἐκείνη, ἐμπρὸς νὰ σᾶς παρουσιάσω πειστικὰ παραδείγματα καὶ ἀπὸ αὐτὰ ποὺ συμβαίνουν σήμερα, ὅτι ἀπὸ αὐτὸ δὲν προέρχεται καμμία ὑπεροχή. Καθ' ὅσον ἐὰν συμβῇ νὰ γίνῃ πόλεμος ἢ νὰ πέσῃ πεῖνα ἢ ὁτιδήποτε ἄλλο, καταργεῖται αὐτὴ ἡ ὑπερηφάνεια διὰ τὴν εὐγενικὴν καταγωγήν· καὶ ἐὰν ἔλθῃ ἀσθένεια ἢ λοιμώδης νόσος δὲν γνωρίζει νὰ διακρίνῃ τὸν πλούσιον καὶ τὸν πτωχόν, τὸν ἔνδοξον καὶ τὸν ἄδοξον, τὸν εὐγενῆ καὶ τὸν μὴ εὐγενῆ· οὔτε ὁ θάνατος, οὔτε αἱ ὑπόλοιπαι μεταβολαὶ τῶν πραγμάτων, ἀλλ' ὅλα ἐπαναστατοῦν κατὰ τὸν ἴδιον τρόπον ἐναντίον ὅλων· καὶ ἐὰν χρειάζεται νὰ εἰποῦμεν καὶ κάτι τὸ θαυμαστόν, ἐπαναστατοῦν πολὺ περισσότερον ἐναντίον τῶν πλουσίων. Διότι ὅσον περισσότερον ἀπροετοίμαστοι εἶναι δι' αὐτά, τόσον περισσότερον ὁδηγοῦνται εἰς τὴν ἀπώλειαν ὅταν περιπέσουν εἰς παρομοίας καταστάσεις. Ἀλλὰ καὶ ὁ φόβος εἶναι μεγαλύτερος εἰς τοὺς πλουσίους. Καθ' ὅσον αὐτοὶ τρέμουν πολὺ περισσότερον τοὺς

χοντας οὗτοι μάλισια τρέμουσι, καὶ τοὺς δήμους τῶν ἀρχόντων· οὐκ ἔλαττον, ἀλλὰ καὶ πολλῷ πλέον· πολλὰς γοῦν οἰκίας τοιαύτας ὁμοίως καὶ δήμων θυμὸς καὶ ἀρχόντων ἀνέτρεψεν ἀπειλή. Ὁ δὲ πένης ἑκατέρων τούτων τῶν κυμάτων ἀπήλλακται.

Ὥστε ταύτην ἀφεὶς τὴν εὐγένειαν, εἰ βούλει μοι δεῖξαι ὅτι εὐγενὴς εἶ, δεῖξον τῆς ψυχῆς τὴν ἐλευθερίαν, οἵαν εἶχεν ὁ μακάριος ἐκεῖνος, καὶ ταῦτα πένης ὤν, ὁ λέγων τῷ Ἡρῴδῃ «Οὐκ ἔξεστί σοι ἔχειν τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ σου»· οἵαν ἐκέκτητο ὁ πρὸ ἐκείνου τοιοῦτος καὶ μετ' ἐκεῖνον τοιοῦτος, ὁ λέγων τῷ Ἀχαάβ· «Οὐ διαστρέφω ἐγὼ τὸν Ἰσραήλ, ἀλλ' ἢ σὺ καὶ ὁ οἶκος τοῦ πατρός σου»· οἵαν εἶχον οἱ προφῆται, οἵαν οἱ ἀπόστολοι πάντες. Ἀλλ' οὐχ αἱ τῶν πλούτῳ δουλευόντων ψυχαὶ τοιαῦται, ἀλλ' ὥσπερ οἱ ὑπὸ μυρίους ὄντες παιδαγωγοὺς καὶ δημίους, οὕτως οὐδὲ ἐπᾶραι τὸ ὄμμα τολμῶσι, καὶ ὑπὲρ ἀρετῆς παρρησιάσασθαι. Ὁ γὰρ τῶν χρημάτων ἔρως καὶ ὁ τῆς δόξης καὶ ὁ τῶν ἄλλων πραγμάτων, φοβερὸν εἰς αὐτοὺς βλέποντες, δουλοπρεπεῖς ποιοῦσι καὶ κόλακας. Οὐδὲν γὰρ οὕτως ἐλευθερίαν ἀναιρεῖ, ὡς τὸ βιωτικοῖς ἐμπεπλέχθαι πράγμασι, καὶ τὰ δοκοῦντα εἶναι λαμπρὰ περιβεβλῆσθαι. Οὐδὲ γὰρ ἕνα δεσπότην καὶ δύο καὶ τρεῖς, ἀλλὰ μυρίους ὁ τοιοῦτος ἔχει. Καὶ εἰ βούλεσθε καὶ ἀριθμῆσαι τούτους, παραγάγωμεν ἕνα τινὰ τῶν εὐδοκιμούντων ἐν βασιλείοις, καὶ ἔστω αὐτῷ καὶ χρήματα πάμπολλα καὶ δυνασιεία μεγάλη καὶ πατρὶς ὑπερέχουσα καὶ προγόνων περιφάνεια καὶ ἀποβλεπέσθω παρὰ πάντων. Ἴδωμεν τοίνυν εἰ μὴ οὗτός ἐστιν ὁ πάντων δουλικώτερος·

16. Δηλαδὴ ὁ Ἰωάννης.
17. Μάρκ. 6, 18.
18. Γ' Βασ. 18, 18.

ἄρχοντας, καὶ τὰ πλήθη τοῦ λαοῦ ὄχι ὀλιγώτερον ἀπὸ τοὺς ἄρχοντας, ἀλλὰ καὶ πολὺ περισσότερον· πράγματι λοιπὸν πολλὰς πλουσίας οἰκίας τὰς κατέστρεψε καθ' ὅμοιον τρόπον καὶ ὁ θυμὸς τοῦ λαοῦ καὶ ἡ ἀπειλὴ τῶν ἀρχόντων. Ἐνῷ ὁ πτωχὸς εἶναι ἀπηλλαγμένος καὶ ἀπὸ τὰ δύο αὐτὰ κύματα.

Ὥστε λοιπὸν ἀφοῦ ἀφήσῃς κατὰ μέρος αὐτὴν τὴν εὐγένειαν, ἐὰν θέλῃς νὰ μοῦ δείξῃς ὅτι εἶσαι εὐγενής, δεῖξε τὴν ἐλευθερίαν τῆς ψυχῆς, αὐτὴν ποὺ εἶχεν ὁ μακάριος ἐκεῖνος[16], καὶ αὐτὸ παρὰ τὸ γεγονὸς ὅτι ἦτο πτωχός, ὁ ὁποῖος ἔλεγεν εἰς τὸν Ἡρῴδην· «Δὲν σοῦ ἐπιτρέπεται νὰ ἔχῃς τὴν γυναῖκα τοῦ Φιλίππου τοῦ ἀδελφοῦ σου»[17]· αὐτὴν ποὺ εἶχεν ἐκεῖνος ποὺ ἔζησε πρὶν ἀπὸ τὸν Ἰωάννην καὶ ἦτο μακάριος πρὶν ἀπὸ αὐτὸν ἀλλὰ καὶ μετὰ ἀπὸ αὐτόν, ὁ ὁποῖος ἔλεγεν εἰς τὸ Ἀχαάβ· «Δὲν διαφθείρω ἐγὼ τὸν Ἰσραήλ, ἀλλὰ σὺ καὶ ὁ οἶκος τοῦ πατρός σου»[18]· αὐτὴν ποὺ εἶχον οἱ προφῆται, αὐτὴν ποὺ εἶχον ὅλοι οἱ ἀπόστολοι. Δὲν εἶναι ὅμως παρόμοιαι αἱ ψυχαὶ ἐκείνων ποὺ εἶναι δοῦλοι τοῦ πλούτου, ἀλλ' ὡσὰν νὰ εὑρίσκωνται ὑπὸ τὴν κυριαρχίαν ἀπείρων παιδαγωγῶν καὶ δημίων, δὲν τολμοῦν νὰ σηκώσουν τὸ βλέμμα των καὶ νὰ ὑπερασπισθοῦν μὲ θάρρος τὴν ἀρετήν. Διότι ὁ ἔρως τῶν χρημάτων καὶ τῆς δόξης καὶ τῶν ἄλλων πραγμάτων, βλέποντες εἰς αὐτὰ κάτι τὸ φοβερόν, τοὺς κάνουν δουλοπρεπεῖς καὶ κόλακας. Καθ' ὅσον τίποτε δὲν βλάπτει τὴν ἐλευθερίαν τόσον, ὅσον τὸ νὰ περιπλακῇ κανεὶς εἰς τὰ βιωτικὰ πράγματα καὶ νὰ ἐνδυθῇ ἐκεῖνα ποὺ φαίνονται ὅτι εἶναι λαμπρά. Διότι αὐτὸς ὁ ἄνθρωπος δὲν ἔχει ἕνα κύριον καὶ δύο καὶ τρεῖς, ἀλλ' ἀπείρους τὸν ἀριθμόν. Καὶ ἐὰν θέλετε καὶ νὰ σᾶς τοὺς ἀριθμήσω ἂς πάρωμεν ὡς παράδειγμα ἕνα ἀπὸ ἐκείνους ποὺ κατέχουν ἐξέχουσαν θέσιν εἰς τὰ βασιλικὰ ἀνάκτορα καὶ ἔστω ὅτι ἔχει καὶ πάρα πολλὰ χρήματα καὶ ἐξουσίαν μεγάλην καὶ κατάγεται ἀπὸ ἔνδοξον πατρίδα καὶ λαμπροὺς προγόνους καὶ ἔστω ὅτι θαυμάζεται ἀπὸ ὅλους. Ἂς ἐξετάσωμεν λοιπὸν μήπως αὐτὸς εἶναι ὁ πιὸ δοῦλος ἀπὸ ὅλους. Καὶ ἂς τοποθετήσωμεν ἀπέναντί του, ὄχι ἁπλῶς

καὶ ἀντιστήσωμεν αὐτῷ, μὴ δοῦλον ἁπλῶς, ἀλλὰ δοῦλον δούλου· πολλοὶ γὰρ καὶ οἰκέται δούλους ἔχουσιν.

Οὗτος μὲν οὖν ὁ δοῦλος τοῦ δούλου ἕνα ἔχει δεσπότην. Τί γάρ, εἰ καὶ μὴ ἐλεύθερον; ἀλλ' ἕνα, καὶ πρὸς τὸ ἐκείνῳ δοκοῦν μόνον ὁρᾷ. Κἂν γὰρ ὁ τούτου δεσπότης αὐτοῦ δοκῇ κρατεῖν, ἀλλὰ τέως ἑνὶ μόνῳ πείθεται· κἂν τὰ πρὸς ἐκεῖνον αὐτῷ καλῶς ἔχῃ, ἐν ἀδείᾳ τὸν ἅπαντα καθεδεῖται βίον. Οὗτος δὲ οὐχ ἕνα καὶ δύο μόνον, ἀλλὰ πολλοὺς καὶ χαλεπωτέρους ἔχει δεσπότας. Καὶ πρῶτον αὐτὸν τὸν βασιλεύοντα μεριμνᾷ. Οὐκ ἔστι δὲ ἴσον εὐτελῆ δεσπότην ἔχειν, καὶ βασιλέα ὑπὸ πολλῶν τὰ ὦτα διαθρυλλούμενον, καὶ νῦν μὲν τούτων, νῦν δὲ ἐκείνων γινόμενον. Οὗτος κἂν μηδὲν ἑαυτῷ ταττομένους καὶ τοὺς φίλους καὶ τοὺς ἐχθρούς. Ἀλλὰ καὶ οὗτος, φησί, τὸν δεσπότην.

Καὶ ποῦ ἴσον ἕνα καὶ πολλοὺς ἔχειν τοὺς δεδιττομένους αὐτόν; Μᾶλλον δὲ εἴ τις ἀκριβῶς ἐξετάσειεν, οὐδὲ ἕνα εὑρήσει. Πῶς καὶ τίνι τρόπῳ; Ἐκεῖνος δὲ οὐδένα ἔχει τὸν ἐπιθυμοῦντα αὐτὸν ἐκβαλεῖν τῆς δουλείας ταύτης καὶ εἰσαγαγεῖν ἑαυτόν, ὅθεν οὐδὲ τὸν ἐπιβουλεύοντα ἐν τούτοις ἔχει, οὗτοι δὲ οὐδὲ ἑτέραν σπουδὴν ἔχουσιν, ἀλλ' ἢ τὸ διασαλεῦσαι τὸν εὐδοκιμώτερον καὶ μᾶλλον ἀγαπώμενον παρὰ τῷ κρατοῦντι. Διὸ καὶ πάντας ἀνάγκη κολακεύειν, τοὺς μείζους, τοὺς ὁμοτίμους, τοὺς φίλους. Ἔνθα γὰρ βασκανία καὶ δόξης ἔρως, οὐδὲ φιλίας εἰλικρινοῦς ἐστιν ἰσχύς. Ὥσπερ

κάποιον δοῦλον, ἀλλὰ τὸν δοῦλον κάποιου δούλου, καθ' ὅσον καὶ πολλοὶ δοῦλοι ἔχουν δούλους.

Ὁ μὲν λιπὸν δοῦλος τοῦ δούλου ἔχει ἕνα κύριον. Τί σημασία ἔχει καὶ ἂν δὲν εἶναι ἐλεύθερος; ἀλλ' ὅμως ἔχει ἕνα κύριον καὶ ἔχει ἐστραμμένον τὸ βλέμμα του μόνον πρὸς τὰς ἀποφάσεις αὐτοῦ. Καὶ ἂν βέβαια φαίνεται ὅτι εὑρίσκεται ὑπὸ τὴν ἐξουσίαν τοῦ κυρίου του, ἀλλ' ἐν πάσῃ περιπτώσει ἐκτελεῖ τὰς ἐντολὰς ἑνὸς μόνου κυρίου, καὶ ἂν συμβαίνῃ ἡ συμπεριφορά του πρὸς ἐκεῖνον νὰ εἶναι ἡ πρέπουσα, περνᾷ ὅλην τὴν ζωήν του ἐν ἀπολύτῳ ἀσφαλείᾳ. Αὐτὸς ὅμως δὲν ἔχει ἕνα καὶ δύο μόνον κυρίους, ἀλλὰ πολλοὺς καὶ φοβερωτέρους. Καὶ πρῶτον φροντίζει δι' αὐτὸν τὸν ἴδιον τὸν βασιλέα. Δὲν εἶναι δὲ τὸ ἴδιον πρᾶγμα νὰ ἔχῃ κανεὶς ἀσήμαντον κύριον, καὶ βασιλέα εἰς τὰ αὐτιά τοῦ ὁποίου φθάνουν τόσαι φωναί, καὶ ἄλλοτε μὲν ἐκπληροῖ τὰ αἰτήματα ἐκείνων, ἄλλοτε δὲ τῶν ἄλλων. Αὐτὸς καὶ ἂν ἀκόμη δὲν ἔχῃ συνείδησιν τίποτε ἀπὸ ὅσα συμβαίνουν, ὅλους τοὺς ὑποπτεύεται, καὶ αὐτοὺς ποὺ ὑπηρετοῦν μαζί του εἰς τὸν στρατόν, καὶ αὐτοὺς ποὺ εὑρίσκονται ὑπὸ τὰς διαταγάς του καὶ τοὺς φίλους καὶ τοὺς ἐχθρούς. Ἀλλὰ καὶ ὁ ἴδιος, λέγει, ὑποπτεύεται τὸν κύριόν του.

Καὶ πῶς εἶναι τὸ ἴδιον τὸ νὰ ἔχῃ κανεὶς ἕνα κύριον καὶ πολλοὺς καὶ τοὺς ὁποίους φοβεῖται; Μᾶλλον δὲ ἐὰν κανεὶς ἤθελεν ἐξετάσει μὲ ἀκρίβειαν τὸ πρᾶγμα θὰ εὕρῃ νὰ μὴ ἔχῃ κανένα κύριον; Πῶς δὲ καὶ μὲ ποῖον τρόπον; Ἐκεῖνος μὲν δὲν ἔχει κανένα ποὺ νὰ θέλῃ νὰ τὸν ἐκδιώξῃ ἀπὸ τὴν δουλείαν αὐτὴν καὶ νὰ τὴν ἀναλάβῃ ὁ ἴδιος, καὶ ἐπομένως δὲν ἔχει καὶ κανένα ποὺ νὰ τὸν ἐπιβουλεύεται, ἐνῷ αὐτοὶ δὲν ἔχουν ἄλλην φροντίδα, παρὰ μόνον πῶς νὰ κλονίσουν ἐκεῖνον ποὺ κατέχει ἐξέχουσαν θέσιν καὶ ἀγαπᾶται περισσότερον ἀπὸ ἐκεῖνον ποὺ ἄρχει. Διὰ τοῦτο καὶ εἶναι ἀναγκασμένοι ὅλους νὰ τοὺς κολακεύουν, τοὺς ἀνωτέρους των, τοὺς ἰσοτίμους των, τοὺς φίλους των. Καθ' ὅσον ὅπου ὑπάρχει φθόνος καὶ ἔρως δόξης, δὲν ὑπάρχει ἐκεῖ ἡ

γὰρ οἱ ὁμότεχνοι φιλεῖν ἀλλήλους οὐκ ἂν δύναιντο ἀκριβῶς καὶ γνησίως, οὕτω καὶ οἱ ὁμότιμοι καὶ τῶν αὐτῶν ἐρῶντες ἐν τοῖς βιωτικοῖς. Ὅθεν καὶ ὁ πόλεμος ἔνδον πολύς. Εἶδες δεσποτῶν ἐσμὸν καὶ δεσποτῶν χαλεπῶν; Βούλει καὶ ἕτερον ἐπιδείξω τούτου χαλεπώτερον; Οἱ μετ' αὐτὸν ἅπαντες πρὸ αὐτοῦ γενέσθαι σπεύδουσιν, οἱ πρὸ αὐτοῦ κωλῦσαι γενέσθαι πλησίον καὶ παραδραμεῖν.

5. Ἀλλ' ὦ τοῦ θαύματος· ἐγὼ μὲν ὑπεσχόμην δεσπότας δεῖξαι, ὁ δὲ λόγος ἡμῖν προϊὼν καὶ ἀγωνιζόμενος πλέον τῆς ὑποσχέσεως ἐποίησε, πολεμίους ἀντὶ δεσποτῶν δείξας, μᾶλλον δὲ καὶ πολεμίους καὶ δεσπότας τοὺς αὐτούς. Θεραπεύονται μὲν γὰρ ὡς δεσπόται, φοβεροὶ δέ εἰσιν ὡς πολέμιοι καὶ ἐπιβουλεύωσιν ὡς ἐχθροί. Ὅταν οὖν τις τοὺς αὐτοὺς καὶ κυρίους ἔχῃ καὶ ἐχθρούς, τί ταύτης τῆς συμφορᾶς χεῖρον γένοιτ' ἄν; Ὁ μὲν δοῦλος, κἂν ἐπιτάττηται, ἀλλ' ὅμως ἐπιμελείας ἀπολαύει παρὰ τῶν κελευόντων καὶ εὐνοίας, οὗτοι δὲ καὶ ἐπιτάττονται καὶ πολεμοῦνται καὶ κατ' ἀλλήλων ἑστήκασι· καὶ τοσούτῳ τῶν ἐν ταῖς μάχαις χαλεπώτερον, ὅσῳ καὶ λάθρα κεντοῦσι, καὶ ἐν προσωπείῳ φίλων τὰ τῶν ἐχθρῶν διαιθέασι, καὶ ἐκ τῆς ἑτέρων πολλάκις εὐδοκιμοῦσι συμφορᾶς.

Ἀλλ' οὐ τὰ ἡμέτερα τοιαῦτα· ἀλλὰ κἂν πράξῃ κακῶς ἕτερος, πολλοὶ οἱ συναλγοῦντες· κἂν εὐδοκιμῇ, πολλοὶ οἱ συνηδόμενοι. Ἀλλ' οὐχ ὁ ἀπόστολος· «Εἴτε γὰρ πάσχει», φησίν, «ἓν μέλος, συμπάσχει πάντα τὰ μέλη· εἴτε δοξάζεται ἓν μέ-

19. Α' Κορ. 12, 26.

δύναμις τῆς εἰλικρινοῦς φιλίας. Διότι ὅπως ἀκριβῶς αὐτοὶ ποὺ ἀσκοῦν τὴν ἰδίαν τέχνην δὲν θὰ ἦτο δυνατὸν ν' ἀγαπηθοῦν μεταξύ των πραγματικὰ καὶ ἀληθινά, ἔτσι καὶ αὐτοὶ ποὺ εἶναι ἰσότιμοι καὶ ἐπιδιώκουν τὰ ἴδια κοσμικὰ πράγματα. Ἑπομένως καὶ ὁ πόλεμος μεταξὺ αὐτῶν εἶναι μεγάλος. Εἶδες πλῆθος κυρίων καὶ μάλιστα κυρίων φοβερῶν; Θέλεις νὰ σοῦ δείξω καὶ ἄλλον κύριον φοβερώτερον ἀπὸ αὐτόν; Ὅλοι οἱ κατώτεροί του προσπαθοῦν νὰ γίνουν ἀνώτεροί του καὶ αὐτοὶ ποὺ κατέχουν ἀνωτέραν θέσιν προσπαθοῦν νὰ τὸν ἐμποδίσουν νὰ φθάσῃ πλησίον των καὶ νὰ τοὺς ξεπεράσῃ.

5. Ἀλλ' ὢ τοῦ θαύματος· ἐγὼ μὲν ὑπεσχέθην νὰ σᾶς δείξω κυρίους, ἀλλ' ὁ λόγος προχωρῶν καὶ παρουσιάζων διάφορα ἐπιχειρήματα ἔφθασε πέρα ἀπὸ τὴν ὑπόσχεσιν καὶ ἀπέδειξεν ἐχθροὺς ἀντὶ κυρίως ἢ καλύτερα ἀπέδειξεν ὅτι οἱ ἴδιοι εἶναι καὶ ἐχθροὶ καὶ κύριοι. Διότι ὑπηρετοῦνται μὲν ὡς κύριοι, ἀλλ' εἶναι φοβεροὶ ὡς ἀντίπαλοι καὶ ἐπιβουλεύονται τοὺς ἄλλους ὡσὰν ἐχθροί. Ὅταν λοιπὸν κάποιος ἔχῃ τοὺς ἰδίους καὶ κυρίους καὶ ἐχθρούς, τί θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ φοβερώτερον ἀπὸ αὐτὴν τὴν συμφοράν; Ὁ μὲν δοῦλος καὶ ἂν διατάσσεται, ἀλλ' ὅμως δέχεται τὴν φροντίδα ἐκ μέρους ἐκείνων ποὺ τὸν διατάσσουν καθὼς καὶ τὴν εὔνοιάν των, ἐνῷ αὐτοὶ ποὺ διατάσσονται καὶ πολεμοῦνται καὶ εἶναι ἀντίπαλοι μεταξύ των· καὶ εἶναι κατὰ πολὺ φοβερώτεροι ὡς πρὸς αὐτὰ ποὺ συμβαίνουν εἰς τὰς μάχας, καθ' ὅσον καὶ ὑπουλα πληγώνουν καὶ φέροντες τὸ προσωπεῖον τῶν φίλων προξενοῦν αὐτὰ ποὺ διαπράττουν οἱ ἐχθροὶ καὶ πολλὲς φορὲς προκόπτουν ἀπὸ τὴν συμφορὰν τῶν ἄλλων.

Ἀλλὰ τὰ ἰδικά μας δὲν συμβαίνουν κατὰ τὸν ἴδιον τρόπον, ἀλλ' ἐὰν συμβῇ κάποιος νὰ ὑποπέσῃ εἰς δυστυχίαν, ὑπάρχουν πολλοὶ ποὺ τὸν συλλυποῦνται, ἐὰν δὲ προκόπτῃ, ὑπάρχουν πολλοὶ ποὺ χαίρονται μαζί του. Οὔτε ἡ παραγγελία τοῦ ἀποστόλου εἶναι παρομοία· διότι λέγει· «Ἐὰν ἕνα μέλος πάσχῃ, πάσχουν μαζὶ μὲ αὐτὸ ὅλα τὰ μέλη· ἐὰν ἕνα μέλος δοξάζεται, χαίρονται μαζὶ μὲ αὐτὸ ὅλα τὰ μέλη»[19].

λος, συγχαίρει πάντα τὰ μέλη». Καὶ νῦν μὲν ἔλεγεν ὁ ταῦτα παραινῶν· «Τίς μού ἐστιν ἡ ἐλπὶς ἢ χαρά, ἢ οὐχὶ καὶ ὑμεῖς;»· νῦν δέ, «Ὅτι νῦν ζῶμεν, ἐὰν ὑμεῖς στήκητε ἐν Κυρίῳ»· νῦν δέ, «Ἐκ πολλῆς θλίψεως καὶ συνοχῆς καρδίας ἔγγραψα ὑμῖν», καί, «Τίς ἀσθενεῖ καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται καὶ οὐκ ἐγὼ πυροῦμαι;». Τίνος οὖν ἕνεκεν ἔτι τῆς ζάλης ἀνεχόμεθα, καὶ τῶν κυμάτων τῶν ἔξωθεν, καὶ οὐ τρέχομεν ἐπὶ τὸν εὔδιον λιμένα τοῦτον, καὶ τὰ ὀνόματα ἀφέντες τῶν ἀγαθῶν, ἐπὶ τὰ πράγματα βαδίζομεν αὐτά; Δόξα γὰρ καὶ δυνασιεία καὶ πλοῦτος καὶ εὐδοκίμησις καὶ πάντα τὰ τοιαῦτα, ὀνόματα παρ' ἐκείνοις, παρὰ δὲ ἡμῖν πράγματα· ὥσπερ οὖν τὰ λυπηρά, θάνατος καὶ ἀτιμία καὶ πενία καὶ ὅσα τοιαῦτα, ὀνόματα μὲν παρ' ἡμῖν, πράγματα δὲ παρ' ἐκείνοις.

Καὶ εἰ βούλει, τὴν δόξαν πρῶτον εἰς μέσον ἀγάγωμεν, τὴν παρ' ἐκείνοις πᾶσιν ἐπέρασιον καὶ ποθεινήν. Καὶ οὐ λέγω, ὅτι ὀλιγοχρόνιος, οὐδ' ὅτι ταχέως σβέννυται· ἀλλ' ὅτε ἀνθεῖ, τότε μοι δεῖξον αὐτόν. Μὴ περιέλῃς τῆς πόρνης τὰ ἐπιτρίμματα καὶ τὰς ὑπογραφάς, ἀλλὰ κεκαλλωπισμένην εἰς μέσον ἄγε καὶ ἐπίδειξον ἡμῖν, ἵνα τότε αὐτῆς ἐλέγξω τὸ δυσειδές. Οὐκοῦν τὸ σχῆμα πάντως ἐρεῖς, καὶ τὸ πλῆθος τῶν ραβδούχων, καὶ τοῦ κήρυκος τὴν φωνήν, καὶ τῶν δήμων τὴν ὑπακοήν, καὶ τὴν παρὰ τῶν πολλῶν σιγήν, καὶ τὸ τύπτεσθαι τοὺς ἀπανιῶντας ἄπαντας, καὶ τὸ ὑπὸ πάντων περιβλέπεσθαι. Οὐχὶ ταῦτά ἐστι τὰ λαμπρά; Φέρε οὖν, ἐξετάσωμεν εἰ μὴ περιττὰ ταῦτα, καὶ ὑπόληψις μόνον ἀνόνητος.

Τί γὰρ ἐκεῖνος ἀπὸ τούτων βελτίων γίνεται, ἢ τὸ σῶμα, ἢ τὴν ψυχήν; Τοῦτο γὰρ ἄνθρωπος. Ἆρα ὑψηλότερος ἔσται

---

20. Α' Θεσ. 2, 19.
21. Α' Θεσ. 3, 8.
22. Β' Κορ. 2, 4.
23. Β' Κορ. 11, 29.

Καὶ ἄλλοτε μὲν ἔλεγεν αὐτὸς ποὺ ἔδιδεν αὐτὰς τὰς παραινέσεις· «Ποῖος ἄλλος εἶναι ἡ ἐλπίς μου ἢ ἡ χαρά μου, ἐὰν δὲν εἶσθε σεῖς;»[20], ἄλλοτε δέ· «Διότι τώρα ζῶμεν, ἐὰν μένετε σταθεροὶ εἰς τὴν κοινωνίαν μετὰ τοῦ Κυρίου»[21]· ἄλλοτε πάλιν· «Σᾶς ἔγραψα ἐξ αἰτίας τῆς μεγάλης θλίψεως καὶ τῆς στενοχωρίας τῆς καρδίας μου»[22], καί, «Ποῖος ἀσθενεῖ καὶ δὲν ἀσθενῶ καὶ ἐγώ; ποῖος σκανδαλίζεται καὶ δὲν κατακαίγομαι ἐγὼ ἀπὸ τὴν θλῖψιν;»[23]. Πρὸς ποῖον σκοπὸν λοιπὸν ἀνεχόμεθα ἀκόμη τὴν ζάλην καὶ τὰ κύματα τῶν κοσμικῶν ὑποθέσεων καὶ δὲν τρέχομεν πρὸς τὸν γαλήνιον αὐτὸν λιμένα, καὶ δὲν βαδίζομεν πρὸς τὰ πραγματικὰ ἀγαθά, ἀφοῦ ἐγκαταλείψωμεν τὰ φαινομενικὰ ἀγαθά; Διότι ἡ δόξα, ἡ ἐξουσία, ὁ πλοῦτος, ἡ προκοπὴ καὶ ὅλα τὰ παρόμοια, εἰς ἐκείνους ὑπάρχουν μόνον κατ' ὄνομα, εἰς ἡμᾶς ὅμως εἶναι πραγματικὰ ἀγαθά· ὅπως ἀκριβῶς βέβαια τὰ λυπηρά, θάνατος, ἀτιμία καὶ πτώχεια καὶ ὅλα τὰ παρόμοια, εἰς ἡμᾶς μὲν θεωροῦνται ἁπλᾶ ὀνόματα, εἰς ἐκείνους δὲ εἶναι πράγματι λυπηρά.

Καὶ ἐὰν θέλῃς ἂς ἐξετάσωμεν κατὰ πρῶτον τὴν δόξαν ποὺ εἶναι ἀπὸ ὅλους ἐκείνους ἀξιαγάπητος καὶ ποθητή. Καὶ δὲν λέγω ὅτι διαρκεῖ πολὺ ὀλίγον καὶ ὅτι σβήνει πολὺ γρήγορα, ἀλλ' ὅταν εὑρίσκεται εἰς τὴν ἀκμήν της τότε νὰ μοῦ τὴν δείξῃς. Μὴ ἀφαιρέσῃς τῆς πόρνης τὰ βαψίμματα καὶ τὰ καλλωπίσματα, ἀλλὰ νὰ μοῦ τὴν φέρῃς στολισμένην καὶ νὰ μοῦ τὴν δείξῃς, διὰ νὰ σοῦ παρουσιάσω τότε τὴν δυσωδίαν της. Ὁπωσδήποτε λοιπὸν θὰ προβάλῃς τὴν ἐξωτερικὴν ἐμφάνισίν του, τὸ πλῆθος τῶν διαφόρων ἀξιωματούχων, τὴν φωνὴν τοῦ κήρυκος, τὴν ὑπακοὴν τοῦ λαοῦ, τὴν σιωπὴν ἐκ μέρους τῶν περισσοτέρων, τὰ θρηνολογήματα ὅλων ἐκείνων ποὺ τὸν συναντοῦν καὶ τὸ ὅτι θεωρεῖται ἀπὸ ὅλους πάρα πολὺ ἔξοχος. Δὲν εἶναι αὐτὰ τὰ λαμπρά; Ἔμπρὸς λοιπὸν ἂς ἐξετάσωμεν μὴ τυχὸν αὐτὰ εἶναι περιττὰ καὶ ὑπόληψις χωρὶς καμμίαν ὠφέλειαν.

Πράγματι ἔχων ἐκεῖνος ὅλα αὐτὰ κατὰ τί γίνεται καλύτερος ὡς πρὸς τὸ σῶμα ἢ τὴν ψυχήν; Διότι αὐτὸ εἶναι ὁ

ἐντεῦθεν, ἢ ἰσχυρότερος, ἢ ὑγιεινότερος, ἢ ταχύτερος, ἢ τὰς αἰσθήσεις ὀξυτέρας κτήσεται καὶ τρανοτέρας; Ἀλλ' οὐδεὶς ἂν ἔχοι τοῦτο εἰπεῖν. Ἴωμεν τοίνυν ἐπὶ τὴν ψυχήν, μήποτε ἐκεῖ τι κέρδος προσγινόμενον ἐντεῦθεν εὑρήσομεν. Τί οὖν; σωφρονέστερος, ἐπιεικέστερος, συνετώτερος ἀπὸ ταύτης ἔσται τῆς θεραπείας ὁ τοιοῦτος; Οὐδαμῶς ἀλλὰ καὶ τοὐναντίον ἅπαν. Οὐ γὰρ ὅπερ ἐπὶ τοῦ σώματος, τοῦτο ἐνταῦθα συμβαίνει. Ἐκεῖ μὲν γὰρ οὐδὲν πρὸς τὴν οἰκείαν προσλαμβάνει ἀρετὴν τὸ σῶμα· ἐνταῦθα δὲ οὐ μόνον τοῦτό ἐστι τὸ δεινόν, ὅτι οὐδὲν καρποῦται χρηστόν, ἀλλ' ὅτι καὶ κακίαν δέχεται πολλὴν ἐντεῦθεν ἡ ψυχή. Καὶ γὰρ εἰς ἀπόνοιαν, καὶ κενοδοξίαν, καὶ ἄνοιαν, καὶ εἰς θυμὸν καὶ εἰς μυρία ἐλαττώματα τοιαῦτα ἐντεῦθεν ἐκφέρεται.

Ἀλλὰ χαίρει, φησί, καὶ γάννυται τούτοις, καὶ φαιδρύνεται. Τὸν κολοφῶνα μοι τῶν κακῶν εἶπες, καὶ τοῦ νοσήματος τὸ ἀνίατον. Ὁ γὰρ χαίρων ἐπὶ τούτοις, οὐδὲ ἀπαλλαγῆναι ῥᾳδίως ἂν θελήσειε τῆς ὑποθέσεως τῶν κακῶν, ἀλλ' ἀπειείχισεν ἑαυτῷ τῆς θεραπείας τὴν ὁδὸν διὰ τῆς ἡδονῆς. Ὥστε τοῦτο μάλιστά ἐστι τὸ δεινόν, ὅτι οὐδὲ ἀλγεῖ, ἀλλὰ καὶ χαίρει, τῶν νοσημάτων αὐξανομένων αὐτῷ. Οὐδὲ γὰρ πανταχοῦ τὸ χαίρειν καλόν· ἐπεὶ καὶ κλέπται χαίρουσι κλέπτοντες, καὶ μοιχὸς διαφθείρων τὸν τοῦ πλησίον γάμον, καὶ ὁ πλεονέκτης ἁρπάζων, καὶ ὁ ἀνδροφόνος φονεύων. Μὴ τοίνυν εἰ χαίρει ἴδωμεν, ἀλλ' εἰ ἐπὶ χρησίμῳ· καὶ διασκεψώμεθα, μήποτε τοιαύτην εὑρήσομεν τὴν χαρὰν, οἵαν τὴν τοῦ μοιχοῦ, καὶ τοῦ κλέπτου.

ἄνθρωπος. Ἆρά γε θὰ γίνῃ ἐξ αἰτίας αὐτοῦ ἀνώτερος ἢ ἰσχυρότερος ἢ ὑγιεινότερος ἢ ταχύτερος ἢ θὰ ἀποκτήσῃ περισσότερον ὀξυδερκεῖς καὶ καθαρωτέρας αἰσθήσεις; Ὁπωσδήποτε κανεὶς δὲν ἠμπορεῖ νὰ τὸ ἰσχυρισθῇ αὐτό. Ἂς ἔλθωμεν λοιπὸν εἰς τὴν ψυχήν, μήπως καὶ εὕρομεν ἐκεῖ νὰ συμβαίνῃ εἰς αὐτὴν κάποιο κέρδος. Τί λοιπόν; Ὁ ἄνθρωπος αὐτὸς θὰ γίνῃ ἐξ αἰτίας αὐτῆς τῆς ὑπηρεσίας σωφρονέστερος, ἐπιεικέστερος καὶ συνετώτερος; Καθόλου, ἀλλὰ καὶ τελείως τὸ ἀντίθετον. Καθ' ὅσον δὲν συμβαίνει καὶ εἰς τὴν περίπτωσιν αὐτὴν αὐτὸ ποὺ συμβαίνει εἰς τὸ σῶμα. Διότι εἰς τὴν περίπτωσιν τοῦ σώματος δὲν λαμβάνει αὐτὸ τίποτε διὰ τὴν ἰδικήν του ἀρετήν, ἐνῷ εἰς τὴν περίπτωσιν τῆς ψυχῆς ὄχι μόνον αὐτὸ εἶναι τὸ φοβερόν, ὅτι δηλαδὴ δὲν ἀποκομίζει τίποτε τὸ ὠφέλιμον, ἀλλὰ καὶ δέχεται αὐτὴ ἀπὸ αὐτὸ τὸ πρᾶγμα καὶ πολλὴν κακίαν. Καθ' ὅσον ἐξ αἰτίας αὐτοῦ ὁδηγεῖται εἰς τὴν ὑπερηφάνειαν, τὴν ματαιοδοξίαν, τὴν μωρίαν, τὸν θυμὸν καὶ εἰς ἄπειρα παρόμοια ἐλαττώματα.

Ἀλλ' θὰ εἰπῇ κάποιος, χαίρεται καὶ λάμπει ἀπὸ χαρὰν ἐξ αἰτίας αὐτοῦ καὶ εὐφραίνεται. Μοῦ ἀνέφερες τὸ ἀποκορύφωμα τῶν κακῶν καὶ τὸ ἀθεράπευτον τῆς ἀσθενείας. Διότι αὐτὸς ποὺ χαίρεται ἐξ αἰτίας ὅλων αὐτῶν, δὲν θὰ ἦτο δυνατὸν νὰ θελήσῃ εὔκολα ν' ἀπαλλαγῇ ἀπὸ τὴν ὑπόθεσιν τῶν κακῶν, ἀλλ' ἀπέκλεισεν ἀπὸ τὸν ἑαυτόν του μὲ τὴν ἡδονὴν αὐτὴν τὴν ὁδὸν τῆς θεραπείας. Ὥστε λοιπὸν αὐτὸ πρὸ πάντων εἶναι τὸ φοβερόν, ὅτι οὔτε πονᾷ ποὺ αὐξάνονται αἱ ἀσθένειαί του, ἀλλ' ἀντιθέτως καὶ χαίρεται. Διότι δὲν εἶναι πάντοτε καλὸν τὸ νὰ χαίρεται κανείς· καθ' ὅσον καὶ οἱ κλέπτες χαίρονται ὅταν κλέπτουν, καὶ ὁ μοιχὸς ὅταν διαφθείρῃ τὸν γάμον τοῦ πλησίον του, καὶ ὁ πλεονέκτης ὅταν ἁρπάζῃ, καὶ ὁ φονιὰς ὅταν φονεύῃ. Ἂς μὴ ἐξετάσωμεν λοιπὸν ἐὰν χαίρεται, ἀλλ' ἐὰν ἀπὸ τὴν χαρὰν του αὐτὴν ἔχῃ κάποιαν ὠφέλειαν, καὶ ἂς ἐρευνήσωμεν μὲ προσοχὴν μὴ τυχὸν καὶ εὕρομεν εἰς αὐτὸν παρομοίαν χαρὰν μὲ ἐκείνην ποὺ νοιώθει ὁ μοιχὸς καὶ ὁ κλέπτης.

Τίνος γὰρ ἕνεκεν, εἰπέ μοι, χαίρει; διὰ τὴν παρὰ τῶν πολλῶν δόξαν, καὶ τὸ δύνασθαι φυσᾶσθαι καὶ περιβλέπεσθαι; Καὶ τί τῆς ἐπιθυμίας ταύτης πονηρότερον γένοιτ' ἄν, καὶ τοῦ ἀτόπου τούτου ἔρωτος; Εἰ δὲ μὴ πονηρόν, παύσασθε τοὺς κενοδόξους σκώπτοντες, καὶ μυρίοις πλύνοντες σκώμμασι· παύσασθε τοῖς ἀπονενοημένοις καὶ ὑπερόπταις ἐπαρῶμενοι. Ἀλλ' οὐκ ἂν ἀνάσχοισθε. Οὐκοῦν μυρίας ἄξιοι καὶ αὐτοὶ καταγορίας, κἂν μυρίους ἔχωσι ραβδούχους.

Καὶ ταῦτά μοι περὶ τῶν ἀνεκτοτέρων ἀρχόντων εἴρηται, ὡς τούς γε πλείονας καὶ λῃστῶν, καὶ ἀνδροφόνων, καὶ μοιχῶν, καὶ τυμβωρύχων μείζονα ἁμαρτάνοντας εὑρήσομεν, ἀπὸ τοῦ μὴ καλῶς κεχρῆσθαι τῇ ἀρχῇ. Καὶ γὰρ καὶ κλέπτουσιν ἐκείνων ἀναισχυντότερον, καὶ σφάττουσιν ἀτραμώτερον, καὶ ἀσελγαίνουσι πολλῷ παρανομώτερον, καὶ διορύττουσιν, οὐ τοῖχον ἕνα, ἀλλὰ οὐσίας καὶ οἰκίας ἀπείρους, ἀπὸ τῆς ἐξουσίας πολλὴν τὴν εὐκολίαν ἔχοντες. Καὶ δουλεύουσι δουλείαν χαλεπωτάτην, καὶ τοῖς πάθεσιν ὑποκύπτοντες ἀγεννῶς, καὶ τοὺς συνδούλους τύπτοντες ἀφειδῶς, καὶ τοὺς συνειδότας αὐτοῖς ἅπαντας τρέμοντες. Μόνος γάρ ἐστιν ἐλεύθερος, καὶ μόνος ἄρχων, καὶ τῶν βασιλέων βασιλικώτερος, ὁ τῶν παθῶν ἀπηλλαγμένος.

Ταῦτ' οὖν εἰδότες, διώξωμεν τὴν ἀληθῆ ἐλευθερίαν καὶ τῆς πονηρᾶς δουλείας ἀπαλλάξωμεν ἑαυτούς· καὶ μήτε ἀρ-

Εἰπέ μου λοιπὸν σὲ παρακαλῶ, διὰ ποῖον λόγον χαίρεται; ἐπειδὴ θεωρεῖται σπουδαῖος ἐκ μέρους τῶν πολλῶν καὶ ἠμπορεῖ νὰ ὑπερηφανεύεται καὶ νὰ σέβεται ἀπὸ τοὺς ἄλλους; Καὶ τί θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ χειρότερον ἀπὸ τὴν ἐπιθυμίαν αὐτὴν καὶ τὸν παράλογον αὐτὸν ἔρωτα; Ἐὰν αὐτὸ δὲν εἶναι κακὸν πρᾶγμα, παύσατε νὰ χλευάζετε τοὺς ματαιοδόξους καὶ νὰ τοὺς περιλούζετε μὲ ἀπείρους κοροϊδίας· παύσατε νὰ καταρᾶσθε τοὺς ἀνοήτους καὶ τοὺς ὑπερηφάνους. Ἀλλ' ὅμως δὲν θὰ ἠμπορούσατε νὰ τὸ ἀνεχθῆτε αὐτό. Ἄρα λοιπὸν καὶ αὐτοὶ εἶναι ἄξιοι ἀπείρων κατηγοριῶν, ἔστω καὶ ἂν ἔχουν ὑπὸ τὰς διαταγάς των ἀπείρους ραβδούχους.

Καὶ αὐτὰ ἔχουν λεχθῆ ἀπὸ ἐμένα περὶ τῶν ἀρχόντων ποὺ εἶναι περισσότερον ὑποφερτοί, διότι θὰ εὕρωμεν ὁπωσδήποτε τοὺς περισσοτέρους νὰ διαπράττουν μεγαλύτερα ἁμαρτήματα καὶ ἀπὸ τοὺς ληστάς, καὶ ἀπὸ τοὺς φονεῖς καὶ ἀπὸ τοὺς μοιχοὺς καὶ ἀπὸ τοὺς τυμβωρύχους, καθ' ὅσον δὲν κάνουν καλὴν χρῆσιν τῆς ἐξουσίας ποὺ κατέχουν. Διότι πράγματι καὶ κλέπτουν κατὰ τρόπον περισσότερον ἀναίσχυντον ἀπὸ ἐκείνους, καὶ σφάζουν μὲ μεγαλυτέραν ἀναισχυντίαν, καὶ διαπράττουν ἀκολασίας κατὰ πολὺ μεγαλύτερον παράνομον τρόπον, καὶ ὑποσκάπτουν ὄχι ἕνα τοῖχον, ἀλλὰ ἀπείρους περιουσίας καὶ οἰκίας καθ' ὅσον ἔχουν περισσοτέραν εὐκολίαν ἐξ αἰτίας τῆς ἐξουσίας ποὺ κατέχουν. Ἔτσι γίνονται δοῦλοι τῆς πιὸ φοβερᾶς δουλείας, ὑποκύπτουν εἰς τὰ πάθη κατὰ τρόπον ἀγενῆ, κτυποῦν τοὺς συνδούλους των κατὰ τρόπον ἀπάνθρωπον, καὶ κάνουν νὰ τρέμουν ὅλους ἐκείνους ποὺ τοὺς γνωρίζουν. Διότι ὁ μόνος πραγματικὰ ἐλεύθερος καὶ ὁ μόνος ἄρχων καὶ ὁ βασιλικώτερος τῶν βασιλέων εἶναι αὐτὸς ποὺ εἶναι ἀπηλλαγμένος ἀπὸ τὰ πάθη.

Γνωρίζοντες λοιπὸν αὐτά, ἂς ἐπιδιώξωμεν τὴν ἐλευθερίαν καὶ ἂς ἀπαλλάξωμεν τοὺς ἑαυτούς μας ἀπὸ τὴν πονη-

χῆς ὄγκον, μήτε πλούτου τυραννίδα, μήτε ἄλλο τι τοιοῦτον μακαριστὸν νομίζωμεν, ἀλλὰ ἀρετὴν μόνην. Οὕτω γὰρ καὶ τῆς ἐνταῦθα ἀπολαυσόμεθα ἀδείας, καὶ τῶν μελλόντων ἐπιτευξόμεθα ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, σὺν τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ρὰν δουλείαν καὶ ἂς μὴ θεωροῦμεν ἀξιομακάριστον οὔτε ἐκεῖνον ποὺ κατέχει μεγάλην ἐξουσίαν, οὔτε τὴν τυραννίαν τοῦ πλούτου, οὔτε ὁ,τιδήποτε ἄλλο παρόμοιον, ἀλλὰ τὴν ἀρετὴν μόνην. Διότι ἔτσι θὰ ἀπολαύσωμεν καὶ τὴν ἐδῶ ἐλευθερίαν καὶ θὰ ἐπιτύχωμεν τὰ μελλοντικὰ ἀγαθὰ μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα καὶ ἡ δύναμις, μαζὶ καὶ εἰς τὸν Πατέρα καὶ εἰς τὸ ἅγιον Πνεῦμα, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΝΘ΄
Ματθ. 18, 7 - 14

«Οὐαὶ τῷ κόσμῳ ἀπὸ τῶν σκανδάλων. Ἀνάγκη γάρ ἐστιν ἐλθεῖν τὰ σκάνδαλα, πλὴν οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ, δι' οὗ τὰ σκάνδαλα ἔρχεται».

1. Καὶ εἰ ἀνάγκη ἐστὶν ἐλθεῖν τὰ σκάνδαλα, εἴποι τις ἂν ἴσως τῶν ἐναντίων, τί ταλανίζει τὸν κόσμον, δέον ἀμῦναι καὶ χεῖρα ὀρέξαι; Τοῦτο γὰρ ἰατροῦ καὶ προστάτου· ἐκεῖνο δὲ καὶ τοῦ τυχόντος. Τί οὖν ἂν εἴποιμεν πρὸς τὴν οὕτως ἀναίσχυντον γλῶτταν; Καὶ τί τῆς θεραπείας ταύτης ἴσον ἐπιζητεῖς; Καὶ γὰρ Θεὸς ὤν, ἄνθρωπος ἐγένετο διὰ σέ, καὶ δούλου μορφὴν ἔλαβε, καὶ τὰ ἔσχατα πάντα ὑπέστη, καὶ οὐδὲν ἐνέλιπε τῶν εἰς αὐτὸν ἡκόντων. Ἀλλ' ἐπειδὴ πλέον οὐδὲν γέγονε τοῖς ἀγνώμοσι, διὰ τοῦτο αὐτοὺς ταλανίζει, ὅτι μετὰ τὴν τοσαύτην θεραπείαν ἔμειναν ἐπὶ τῆς ἀρρωστίας. Ὥσπερ ἂν εἴ τις καὶ τὸν κάμνοντα πολλῆς ἀπολαύσαντα ἐπιμελείας καὶ οὐκ ἐθελήσαντα νόμοις πεισθῆναι ἰατρικοῖς, θρηνῶν λέγοι· Οὐαὶ τῷ δεῖνι ἀνθρώπῳ ἀπὸ τῆς ἀρρωστίας, ἣν διὰ τῆς οἰκείας ηὔξησε ῥᾳθυμίας.

Ἀλλ' ἐκεῖ μὲν οὐδὲν ὄφελος ἀπὸ τοῦ θρήνου, ἐνταῦθα δὲ καὶ τοῦτο εἶδος θεραπείας ἐστί, τὸ προειπεῖν τὸ ἐσόμενον καὶ ταλανίσαι. Πολλοὶ γὰρ πολλάκις συμβουλευθέντες μὲν

ΟΜΙΛΙΑ ΝΘ΄
Ματθ. 18, 7 - 14

«Ἀλλοίμονον εἰς τὸν κόσμον ἀπὸ τὰ σκάνδαλα· διότι εἶναι ἀναπόφευκτον νὰ συμβαίνουν τὰ σκάνδαλα, ἀλλ' ὅμως ἀλλοίμονον εἰς τὸν ἄνθρωπον ἐκεῖνον ἀπὸ τὸν ὁποῖον προέρχεται τὸ σκάνδαλον».

1. Καὶ ἐὰν εἶναι ἀνάγκη νὰ ἔλθουν τὰ σκάνδαλα, θὰ ἠμποροῦσε ἴσως κάποιος ἀπὸ τοὺς ἀντιτιθεμένους νὰ εἰπῇ, διατί ταλανίζει τὸν κόσμον, ἐνῷ ἔπρεπε νὰ τὸν ὑπερασπίζεται καὶ νὰ τοῦ δίδῃ χεῖρα βοηθείας; Διότι αὐτὸ εἶναι γνώρισμα τοῦ ἰατροῦ καὶ προστάτου, ἐνῷ ἐκεῖνο τοῦ τυχόντος ἀνθρώπου. Τί λοιπὸν θὰ ἠμπορούσαμεν νὰ εἰποῦμεν πρὸς αὐτὴν τὴν τόσον ἀναίσχυντον γλῶσσαν; Καὶ τί ζητεῖς νὰ εὕρῃς ἴσον μὲ αὐτὴν τὴν βοήθειαν; Καθ' ὅσον, ἐνῷ ἦτο Θεός, ἔγινεν ἄνθρωπος διὰ σένα, καὶ ἔλαβε τὴν μορφὴν τοῦ δούλου καὶ ὑπέφερεν ὅλα τὰ πὸ χειρότερα καὶ τίποτε δὲν παρέλειψεν ἀπὸ ἐκεῖνα ποὺ ἐξηρτῶντο ἀπὸ αὐτόν. Ἀλλ' ἐπειδὴ ὡς πρὸς τίποτε δὲν ἤλλαξαν οἱ ἀχάριστοι ἄνθρωποι ὥστε νὰ γίνουν καλύτεροι, διὰ τοῦτο καὶ τοὺς ταλανίζει, ὅτι δηλαδὴ μετὰ ἀπὸ τόσον μεγάλην θεραπείαν παρέμειναν εἰς τὴν ἀσθένειάν των. Ὅπως ἀκριβῶς θὰ ἠμποροῦσε κάποιος θρηνολογῶν νὰ εἰπῇ διὰ τὸν ἀσθενῆ ἐκεῖνον ποὺ τοῦ παρεσχέθη πολὺ μεγάλη ἰατρικὴ βοήθεια καὶ δὲν ἠθέλησε νὰ ὑπακούσῃ εἰς τοὺς ἰατρικοὺς κανόνας. "Ἀλλοίμονον εἰς τὸν τάδε ἄνθρωπον διὰ τὴν ἀσθένειάν του ποὺ τὴν ηὔξησε λόγῳ τῆς ἀδιαφορίας του'.

Ἀλλ' εἰς ἐκείνην μὲν τὴν περίπτωσιν εἰς τίποτε δὲν ὠφελεῖ ὁ θρῆνος, ἐνῷ εἰς τὴν περίπτωσιν αὐτὴν καὶ αὐτὸ εἶναι εἶδος θεραπείας, τὸ νὰ προείπῃ δηλαδὴ αὐτὸ ποὺ πρόκειται νὰ συμβῇ καὶ νὰ τοὺς ταλανίσῃ. Διότι πολλοὶ πολλὲς

οὐδὲν ὠφελήθησαν, θρηνηθέντες δὲ ἀνήνεγκαν. Διὸ καὶ μάλιστα τὸ οὐαὶ τέθεικε, διεγείρων αὐτοὺς καὶ ἐναγωνίους ποιῶν καὶ ἐγρηγορέναι παρασκευάζων. Μετὰ δὲ τούτων καὶ τὴν εὔνοιαν ἐπιδείκνυται τὴν περὶ αὐτοὺς ἐκείνους, καὶ τὴν ἡμερότητα τὴν αὐτοῦ, ὅτι καὶ ἀντειπόντας θρηνεῖ, οὐ δυσχεραίνων μόνον, ἀλλὰ καὶ διορθούμενος καὶ τῷ θρήνῳ καὶ τῇ προρρήσει, ὥστε αὐτοὺς ἀνακτήσασθαι.

Καὶ πῶς ἔνι τοῦτο; φησίν. Εἰ γὰρ ἀνάγκη ἐλθεῖν τὰ σκάνδαλα, πῶς δυνατὸν ταῦτα διαφυγεῖν; Ὅτι ἐλθεῖν μὲν τὰ σκάνδαλα ἀνάγκη· ἀπολέσθαι δὲ οὐ πάντως ἀνάγκη. Ὥσπερ κἂν ἰατρὸς εἴποι (οὐδὲν γὰρ κωλύει τῷ αὐτῷ ὑποδείγματι χρήσασθαι πάλιν), ἀνάγκη τὴν νόσον τήνδε ἐπισιτῆναι, ἀλλ' οὐκ ἀνάγκη διαφθαρῆναι πάντως ὑπὸ τῆς νόσου τὸν προσέχοντα. Τοῦτο δὲ ἔλεγεν, ὅπερ ἔφην, μετὰ τῶν ἄλλων καὶ τοὺς μαθητὰς ἀφυπνίζων. Ἵνα γὰρ μὴ νυστάζωσιν, ὡς ἐπὶ εἰρήνην καὶ ἀτάραχον βίον πεμπόμενοι, πολλοὺς ἐφεστῶτας αὐτοῖς δείκνυσι πολέμους, ἔξωθεν, ἔσωθεν. Ὅπερ καὶ ὁ Παῦλος δηλῶν ἔλεγεν· «Ἔξωθεν μάχαι, ἔσωθεν φόβοι»· καί, «κινδύνοις ἐν ψευδαδέλφοις»· καὶ Μιλησίοις δὲ διαλεγόμενος ἔφη· «καὶ ἀναστήσονταί τινες ἐξ ὑμῶν λαλοῦντες διεστραμμένα». Καὶ αὐτὸς δὲ ἔλεγεν· «ἐχθροὶ τοῦ ἀνθρώπου οἱ οἰκιακοὶ αὐτοῦ». Ὅταν δὲ ἀνάγκην εἴπῃ, οὐ τὸ αὐθαίρετον τῆς ἐξουσίας ἀναιρῶν, οὐδὲ τὴν ἐλευθερίαν τῆς προαιρέσεως, οὐδὲ ἀνάγκῃ τινὶ πραγμάτων ὑποβάλλων τὸν βίον, φησὶ ταῦτα· ἀλλὰ τὸ πάντως ἐσόμενον προλέγει·

1. Β' Κορ. 7, 5.
2. Β' Κορ. 11, 26.
3. Πρ. 20, 30.
4. Ματθ. 10, 36.

φορὲς συμβουλευθέντες μὲν δὲν ὠφελήθησαν ὡς πρὸς τίποτε, θρηνηθέντες ὅμως συνῆλθον καὶ ἐσωφρονίσθησαν. Διὰ τοῦτο καὶ ἐπάνω ἀπὸ αὐτὸ ἔθεσε τὸ «ἀλλοίμονον», διεγείρων αὐτοὺς καὶ ἐμβάλλων εἰς ἀγωνίαν καὶ προετοιμάζων αὐτοὺς νὰ ἐπαγρυπνοῦν. Ἀλλὰ μαζὶ μὲ ὅλα αὐτὰ δείχνει καὶ τὴν εὔνοιάν του πρὸς αὐτοὺς τοὺς ἰδίους καὶ τὴν ἡμερότητά του, διότι θρηνεῖ αὐτοὺς ἂν καὶ εἶναι ἐχθροί του, καὶ ὄχι μόνον δυσανασχετεῖ διὰ τὸ κατάντημά των, ἀλλὰ καὶ θέλει νὰ τοὺς διορθώσῃ καὶ μὲ τὸν θρῆνον καὶ μὲ τὸ ὅτι προλέγει τὰ μέλλοντα νὰ συμβοῦν, ὥστε νὰ γίνουν καὶ πάλιν ἰδικοί του.

Καὶ πῶς εἶναι δυνατὸν αὐτό; θὰ εἰπῇ κάποιος. Διότι ἐὰν εἶναι ἀνάγκη νὰ ἔλθουν τὰ σκάνδαλα, πῶς ἠμπορεῖ κανεὶς νὰ τὰ ἀποφύγῃ; Τὸ νὰ ἔλθουν μὲν τὰ σκάνδαλα εἶναι ἀνάγκη, ἀλλ' ὁπωσδήποτε ὅμως δὲν εἶναι ἀνάγκη νὰ ὁδηγηθῇ κανεὶς εἰς τὴν ἀπώλειαν. Ὅπως ἀκριβῶς ἐὰν ἤθελεν εἰπεῖ ὁ ἰατρὸς (διότι τίποτε δὲν μᾶς ἐμποδίζει νὰ χρησιμοποιήσωμεν καὶ πάλιν τὸ ἴδιο τὸ παράδειγμα), ὅτι θὰ ἔλθῃ κατ' ἀνάγκην αὐτὴ ἡ ἀσθένεια, ἀλλ' ὅμως δὲν εἶναι ἀναγκασμένος ὁπωσδήποτε ν' ἀποθάνῃ ἐκεῖνος ποὺ προσέχει. Αὐτὸ δὲ τὸ ἔλεγεν, ὅπως ἀκριβῶς εἶπα, μὲ σκοπὸν ν' ἀφυπνίσῃ μαζὶ μὲ τοὺς ἄλλους καὶ τοὺς μαθητάς του. Διότι διὰ νὰ μὴ νυστάζουν, ὡσὰν τάχα ν' ἀποστέλλωνται πρὸς εἰρηνικὸν καὶ ἀτάραχον βίον, τοὺς ἀποκαλύπτει ὅτι θὰ συναντήσουν πολλοὺς πολέμους, ἐξωτερικοὺς καὶ ἐσωτερικούς. Πρᾶγμα ποὺ καὶ ὁ Παῦλος δηλώνων ἔλεγεν· «Ἀπὸ ἔξω ἀντιμετωπίζομεν πολέμους, ἀπὸ μέσα δὲ φόβους διὰ τοὺς ἀδελφούς»[1]· καὶ «ἀντεμετώπισα κινδύνους μεταξὺ τῶν ψευδαδελφῶν»[2]· καὶ συνομιλῶν μὲ τοὺς Μιλησίους ἔλεγε· «Θὰ παρουσιασθοῦν ἀνάμεσά σας ὡρισμένοι ποὺ θὰ διδάσκουν ψευδῆ καὶ διεστραμμένα πράγματα»[3]. Καὶ ὁ ἴδιος δὲ ὁ Κύριος ἔλεγεν· «Ἐχθροὶ τοῦ ἀνθρώπου θὰ εἶναι οἱ ἰδικοί του»[4]. Ὅταν λοιπὸν ὁμιλῇ περὶ ἀνάγκης, δὲν καταργεῖ τὴν ἐλευθερίαν τῶν πράξεων, οὔτε τὴν ἐλευθερίαν τῆς προαιρέσεως, οὔτε τὰ λέγει αὐτὰ διὰ νὰ περιορίσῃ τὸν βίον ἐντὸς ὡρισμένων

ὅπερ ὁ Λουκᾶς ἑτέρᾳ λέξει παρέστησεν, εἰπὼν οὕτως· «ἀνένδεκτόν ἐστι τοῦ μὴ ἐλθεῖν τὰ σκάνδαλα».

Τί δέ ἐστι, «τὰ σκάνδαλα»; Τὰ κωλύματα τῆς ὀρθῆς ὁδοῦ. Οὕτω καὶ οἱ ἐπὶ τῆς σκηνῆς τοὺς περὶ ταῦτα δεικνὺς καλοῦσι, τοὺς τὰ σώματα διασιρέφοντας. Οὐ τοίνυν ἡ πρόρρησις αὐτοῦ τὰ σκάνδαλα ἄγει· ἄπαγε· οὐδὲ ἐπειδὴ προεῖπε, διὰ τοῦτο γίνεται· ἀλλ' ἐπειδὴ πάντως ἔμελλεν ἔσεσθαι, διὰ τοῦτο προεῖπεν· ὡς εἴγε μὴ ἐβούλοντο οἱ φέροντες αὐτὰ πονηρεύεσθαι, οὐδ' ἂν ἦλθον· εἰ δὲ μὴ ἔμελλον ἔρχεσθαι, οὐδ' ἂν προερρήθη. Ἐπειδὴ δὲ ἐκακούργησαν ἐκεῖνοι, καὶ ἀνίατα ἐνόσησαν, ἦλθον· καὶ προλέγει τὸ μέλλον ἔσεσθαι. Καὶ εἰ διωρθώθησαν ἐκεῖνοι, φησί, καὶ μηδεὶς ἦν ὁ τὰ σκάνδαλα κομίζων, οὐκ ἔμελλεν ὁ λόγος οὗτος ψεύδους ἁλίσκεσθαι; Οὐδαμῶς· οὐδὲ γὰρ ἂν ἐλέχθη. Εἰ γὰρ ἔμελλον διορθοῦσθαι πάντες, οὐκ ἂν εἶπεν, ὅτι ἀνάγκη ἐλθεῖν· ἀλλ' ἐπειδὴ προῄδει ἀδιορθώτους ἐσομένους, διὰ τοῦτο εἶπεν, ὅτι πάντως ἥξουσι.

Καὶ τίνος ἕνεκεν αὐτοὺς οὐκ ἀνεῖλε; φησί. Τίνος γὰρ ἕνεκεν ἀναιρεθῆναι ἔδει; διὰ τοὺς βλαπτομένους; Ἀλλ' οὐκ ἐκεῖθεν οἱ βλαπτόμενοι ἀπόλλυνται, ἀλλ' ἐκ τῆς ἑαυτῶν ῥᾳθυμίας. Καὶ δηλοῦσιν οἱ ἐνάρετοι, οὐ μόνον οὐδὲν ἀδικούμενοι ἐντεῦθεν, ἀλλὰ καὶ τὰ μέγιστα κερδαίνοντες· οἷος ἦν ὁ Ἰώβ, οἷος ὁ Ἰωσήφ, οἷοι πάντες οἱ δίκαιοι καὶ οἱ ἀπόστολοι. Εἰ δὲ ἀπόλλυνται πολλοί, παρὰ τὸν ἑαυτῶν ὕπνον. Εἰ δὲ μὴ οὕτως εἶχεν, ἀλλὰ παρὰ τὰ σκάνδαλα ἡ ἀπώλεια,

5. Λουκᾶ 17, 1.

πραγμάτων ποὺ συμβαίνουν κατ' ἀνάγκην, ἀλλὰ προλέγει αὐτὸ ποὺ ὁπωσδήποτε θὰ συμβῇ, πρᾶγμα ποὺ καὶ ὁ Λουκᾶς παρουσίασε μὲ ἄλλας λέξεις, λέγων τὰ ἑξῆς· «Εἶναι ἀδύνατον νὰ μὴ ἔλθουν τὰ σκάνδαλα»[5].

Ἀλλ' ὅμως τί εἶναι «τὰ σκάνδαλα»; Εἶναι τὰ ἐμπόδια τοῦ ὀρθοῦ δρόμου τῆς ζωῆς. Ἔτσι καὶ οἱ ἄνθρωποι τοῦ θεάτρου ὀνομάζουν αὐτοὺς ποὺ εἶναι ἐπιτήδειοι εἰς αὐτὰ τὰ πράγματα, αὐτοὺς ποὺ διαφθείρουν τὰ σώματα. Ἐπομένως δὲν δημιουργεῖ ἡ πρόρρησις αὐτοῦ τὰ σκάνδαλα· μὴ γένοιτο· οὔτε ἐπειδὴ προεῖπε, διὰ τοῦτο συμβαίνουν αὐτά, ἀλλ' ἐπειδὴ ἐπρόκειτο ὁπωσδήποτε νὰ συμβοῦν διὰ τοῦτο τὰ προεῖπε· διότι, ἐὰν βέβαια δὲν ἤθελον, αὐτοὶ ποὺ τὰ προκαλοῦν, νὰ εἶναι καὶ νὰ διαπράττουν κακά, δὲν θὰ ἦτο δυνατὸν νὰ ἔλθουν αὐτά· ἐὰν δὲ δὲν ἐπρόκειτο νὰ συμβοῦν, οὔτε καὶ θὰ προελέγοντο. Ἐπειδὴ ὅμως ἐκεῖνοι διέπραξαν κακουργήματα καὶ ἠσθένησαν κατὰ τρόπον ἀθεράπευτον, διὰ τοῦτο ἦλθον· ὁ ἴδιος δὲ προλέγει αὐτὸ ποὺ πρόκειται νὰ συμβῇ. Καὶ θὰ εἰπῇ κάποιος· ἐὰν ἐκεῖνοι διωρθώνοντο καὶ δὲν ὑπῆρχε κανεὶς ποὺ νὰ ἐδημιούργει τὰ σκάνδαλα, δὲν θὰ συνέβαινεν ὁ λόγος αὐτὸς ν' ἀποδειχθῇ ψευδής; Ἀσφαλῶς ὄχι· διότι δὲν θὰ ἐλέγετο· καθ' ὅσον ἐὰν ἐπρόκειτο ὅλοι νὰ διορθωθοῦν, δὲν θὰ ἔλεγεν, ὅτι εἶναι ἀνάγκη νὰ ἔλθουν, ἐπειδὴ ὅμως προεγνώριζεν ὅτι θὰ γίνουν ἀδιόρθωτοι μὲ τὴν θέλησίν των, διὰ τοῦτο εἶπεν, ὅτι ὁπωσδήποτε θὰ ἔλθουν.

Καὶ διὰ ποῖον λόγον, θὰ εἰπῇ κάποιος, δὲν τοὺς ἐξηφάνισεν αὐτούς; Καὶ διὰ ποῖον λόγον ἔπρεπε νὰ τοὺς ἐξαφανίσῃ; ἐξ αἰτίας αὐτῶν ποὺ βλάπτονται; Ἀλλ' αὐτοὶ ποὺ βλάπτονται δὲν ὁδηγοῦνται εἰς τὴν ἀπώλειαν ἐξ αἰτίας αὐτῶν, ἀλλὰ λόγῳ τῆς ἰδικῆς των ἀδιαφορίας. Καὶ αὐτὸ γίνεται φανερὸν ἀπὸ τοὺς ἐναρέτους, οἱ ὁποῖοι ὄχι μόνον δὲν ζημιώνονται ὡς πρὸς τίποτε ἀπὸ αὐτούς, ἀλλὰ καὶ ἔχουν ἀντιθέτως μεγάλην ὠφέλειαν· διότι τέτοιος ἦτο ὁ Ἰώβ, ὁ Ἰωσὴφ καὶ ὅλοι οἱ δίκαιοι καὶ οἱ ἀπόστολοι. Ἐὰν ὅμως ἐχάθησαν πολλοὶ αὐτὸ συνέβη ἐξ αἰτίας τοῦ ἰδικοῦ των ὕπνου. Ἐὰν

πάντας ἀπολέσθαι ἔδει. Εἰ δέ εἰσιν οἱ διαφεύγοντες, ὁ μὴ διαφεύγων ἑαυτῷ λογιζέσθω. Τὰ γὰρ σκάνδαλα, ὅπερ ἔφην, καὶ διεγείρει καὶ ὀξυτέρους ποιεῖ καὶ ἀκονᾷ, οὐ μόνον τὸν φυλαττόμενον, ἀλλὰ καὶ τὸν περιπεσόντα ταχέως ἀνασιάντα· ἀσφαλέστερον γὰρ αὐτὸν ἐργάζεται, καὶ δυσάλωτον μᾶλλον ποιεῖ.

Ὥστε ἂν νήφωμεν, οὐ μικρὸν ἐντεῦθεν καρπούμεθα κέρδος, τὸ διηνεκῶς ἐγρηγορέναι. Εἰ γὰρ πολεμίων ὄντων καὶ τοσούτων πειρασμῶν ἐπικειμένων καθεύδομεν, τίνες ἂν εἴημεν ἐν ἀδείᾳ ζῶντες; Καὶ εἰ βούλει, τὸν πρῶτον ἄνθρωπον σκόπει. Εἰ γὰρ ὀλίγον χρόνον, τάχα δὲ οὐδὲ ἡμέραν ὅλην ἐν τῷ παραδείσῳ ζήσας, καὶ τρυφῆς ἀπολαύσας, εἰς τοσοῦτον ἦλασε κακίας, ὡς καὶ ἰσοθεΐαν φαντασθῆναι καὶ τὸν ἀπατεῶνα εὐεργέτην νομίσαι, καὶ μιᾶς μὴ κατασχεῖν ἐντολῆς, εἰ καὶ τὸν ἐφεξῆς βίον ἀταλαίπωρον ἔζη, τί οὐκ ἂν εἰργάσατο;

2. Ἀλλ' ὅταν ταῦτα εἴπωμεν, πάλιν ἕτερα ἀντιλέγουσιν, ἐρωτῶντες· Καὶ διατί αὐτὸν τοιοῦτον ἐποίησεν ὁ Θεός;. Οὐχὶ ὁ Θεὸς τοιοῦτον αὐτὸν ἐποίησεν· ἄπαγε· ἐπεὶ οὐδ' ἂν ἐκόλασεν. Εἰ γὰρ ἡμεῖς, ἐν οἷς ἂν ὦμεν αἴτιοι, οὐκ ἐγκαλοῦμεν τοῖς οἰκέταις, πολλῷ μᾶλλον ὁ τῶν ὅλων Θεός. Ἀλλὰ πόθεν τοῦτο ἐγένετο; φησί. Παρ' ἑαυτοῦ καὶ τῆς ἑαυτοῦ ῥᾳθυμίας. Τί ἐστι, παρ' ἑαυτοῦ; Ἐρώτησον σεαυτόν. Εἰ γὰρ μὴ παρ' ἑαυτῶν εἰσι κακοὶ οἱ κακοί, μὴ κόλαζε τὸν οἰκέτην, μηδὲ ἐπιτίμα τῇ γυναικὶ ἐν οἷς ἂν ἁμαρτάνῃ, μηδὲ

δὲ δὲν εἶχον ἔτσι τὰ πράγματα, ἀλλ' ἡ ἀπώλεια προήρχετο ἀπὸ τὰ σκάνδαλα, ἔπρεπεν ὅλοι νὰ χαθοῦν. Ἐφ' ὅσον ὅμως ὑπάρχουν αὐτοὶ ποὺ τὰ ἀποφεύγουν αὐτά, ἂς τὸ σκεφθῇ αὐτὸ ἐκεῖνος ποὺ δὲν τὰ ἀποφεύγει. Διότι τὰ σκάνδαλα, ὅπως ἀκριβῶς εἶπα, καὶ διεγείρουν καὶ κάνουν τὸν ἄνθρωπον περισσότερον ἐνεργητικὸν καὶ τὸν κεντρίζουν ὄχι μόνον αὐτὸν ποὺ προφυλάσσεται, ἀλλὰ καὶ αὐτὸν ποὺ παρασύρεται πολὺ γρήγορα τὸν ἐπανορθώνουν· διότι τὸν καθιστοῦν περισσότερον ἀσφαλῆ καὶ τὸν κάνουν περισσότερον δυσκολοκατανίκητον.

Ὥστε λοιπὸν ἐὰν ἐπαγρυπνοῦμεν δὲν εἶναι μικρὸν τὸ κέρδος ποὺ θὰ ἔχωμεν ἀπὸ αὐτό, θὰ εἴμεθα δηλαδὴ εἰς διαρκῆ ἑτοιμότητα. Διότι, ἐάν, ἐνῷ ὑπάρχουν τόσοι ἐχθροὶ καὶ εὑρίσκονται ἔμπροσθέν μας τόσοι πειρασμοί, ἡμεῖς κοιμώμεθα, ποῖοι θὰ ἔπρεπε νὰ εἴμεθα διὰ νὰ ζῶμεν μὲ ἀσφάλειαν; Καὶ ἐὰν θέλῃς ἐξέτασε τὸν πρῶτον ἄνθρωπον. Διότι, ἐάν, μολονότι ἔζησε τόσον ὀλίγον χρόνον μέσα εἰς τὸν παράδεισον καὶ ἐνδεχομένως οὔτε κἂν μίαν ὁλόκληρον ἡμέραν καὶ ἀπήλαυσε τὴν τρυφὴν αὐτοῦ, ἔφθασεν εἰς τόσον μεγάλην κακίαν, ὥστε καὶ ἰσοθεΐαν ἀκόμη νὰ φαντασθῇ καὶ νὰ θεωρήσῃ εὐεργέτην τὸν ἀπατεῶνα καὶ νὰ μὴ φυλάξῃ τὴν μίαν ἐντολὴν ποὺ τοῦ ἐδόθη, τί δὲν θὰ ἦτο δυνατὸν νὰ διαπράξῃ ἐὰν ἔζη καὶ τὸν ὑπόλοιπον βίον του τελείως ἄκοπον;

2. Ἀλλὰ ὅταν τὰ εἴποῦμεν αὐτά, μᾶς προβάλλουν πάλιν ἄλλας ἀντιρρήσεις καὶ μᾶς ἐρωτοῦν· Καὶ διατὶ ὁ Θεὸς τὸν ἔκανε τὸν ἄνθρωπον τέτοιον; Δὲν τὸν ἔκανεν ὁ Θεὸς τέτοιον· μὴ γένοιτο· διότι τότε δὲν θὰ τὸν ἐτιμωροῦσε. Διότι ἐὰν ἡμεῖς, δι' ὅσα πράγματα συμβαίνει νὰ εἴμεθα ὑπεύθυνοι, δὲν ἐπιπλήττωμεν τοὺς ὑπηρέτας μας, πολὺ περισσότερον δὲν τὸ κάνει αὐτὸ ὁ Θεὸς τῶν ὅλων. Ἀλλά, λέγει, ἀπὸ ποῦ συνέβη αὐτό; Ἀπὸ τὸν ἑαυτόν του καὶ τὴν ἰδικήν του ἀδιαφορίαν. Τί σημαίνει, ἀπὸ τὸν ἑαυτόν του; Ἐρώτησε τὸν ἑαυτόν σου. Διότι ἐὰν οἱ κακοὶ δὲν εἶναι κακοὶ ἀπὸ τὸν ἑαυτόν των, τότε μὴ τιμωρῇς τὸν ὑπηρέτην σου, οὔτε νὰ

τύπτε τὸν υἱόν, μηδὲ ἐγκάλει τῷ φίλῳ, μηδὲ μίσει τὸν ἐπηρεάζοντά σε ἐχθρόν· πάντες γὰρ οὗτοι ἐλεεῖσθαι, οὐ κολάζεσθαι ἄξιοι, εἰ μὴ οἴκοθεν πλημμελοῦσιν.

Ἀλλ' οὐ δύναμαι φιλοσοφεῖν, φησί. Καίτοιγε ὅταν συνίδῃς οὐκ ἐκείνων τὴν αἰτίαν οὖσαν, ἀλλ' ἀνάγκης ἑτέρας, δύνασαι φιλοσοφεῖν. Ὅταν γοῦν ὑπὸ νόσου κατεχόμενος οἰκέτης μὴ ποιήσῃ τὰ ἐπιταχθέντα, οὐ μόνον οὐκ ἐγκαλεῖς, ἀλλὰ καὶ συγγινώσκεις. Οὕτω σὺ μάρτυς, ὅτι τὸ μὲν αὐτοῦ, τὸ δὲ οὐκ αὐτοῦ. Ὥστε κἀνταῦθα, εἰ ἤδεις ὅτι παρὰ τὸ γενέσθαι τοιοῦτος πονηρός ἦν, οὐ μόνον οὐκ ἂν ἐνεκάλεσας, ἀλλὰ καὶ συγγνώμην ἔδωκας ἄν. Οὐ γὰρ δήπου διὰ μὲν τὴν νόσον συγγινώσκεις, διὰ Θεοῦ δὲ δημιουργίαν οὐκ ἂν συνέγνως, εἴγε τοιοῦτος ἐξ ἀρχῆς γέγονε.

Καὶ ἑτέρωθεν δὲ τοὺς τοιούτους ἐπισιτμίσαι ῥᾴδιον· πολλὴ γὰρ τῆς ἀληθείας ἡ περιουσία. Διατί γὰρ μηδέποτε ἐνεκάλεσε οἰκέτῃ, ὅτι οὐκ ἔστι καλὸς τὴν ὄψιν, ὅτι οὐκ ἔστιν εὐμήκης τὸ σῶμα, ὅτι οὐκ ἔστι πιηνός; Ὅτι τῆς φύσεως ταῦτα. Οὐκοῦν τῶν τῆς φύσεως ἐγκλημάτων ἀπήλλακται καὶ οὐδεὶς ἀντερεῖ. Ὅταν οὖν ἐγκαλῇς, δεικνύεις ὅτι οὐ τῆς φύσεως τὸ ἁμάρτημα, ἀλλὰ τῆς προαιρέσεως. Εἰ γὰρ ἐν οἷς οὐκ ἐγκαλοῦμεν, μαρτυροῦμεν τῆς φύσεως εἶναι τὸ πᾶν, δῆλον ὅτι ἐν οἷς ἐπιτιμῶμεν, δηλοῦμεν ὅτι προαιρέσεώς ἐστι τὸ πλημμέλημα.

Μὴ τοίνυν μοι λογισμοὺς εἰς μέσον ἄγε διεσιραμμένους, μηδὲ σοφίσματα καὶ πλοκὰς ἀραχνῶν εὐτελεστέρας, ἀλλ' ἐ-

ἐπιτιμᾷς τὴν γυναῖκα σου δι' ὅσα ἁμαρτήματα ἤθελε διαπράξει, οὔτε νὰ κτυπᾷς τὸν υἱόν σου, οὔτε νὰ κατηγορῇς τὸν φίλον σου, οὔτε νὰ μισῇς τὸν ἐχθρόν σου ποὺ σὲ βλάπτει· διότι ὅλοι αὐτοὶ εἶναι ἄξιοι ἐλέους καὶ ὄχι τιμωρίας, ἐὰν δὲν ἁμαρτάνουν μὲ τὴν θέλησίν των.

Ἀλλά, λέγει, δὲν ἠμπορῶ νὰ φιλοσοφῶ. Καὶ ὅμως, ὅταν διαπιστώσῃς ὅτι ἐκεῖνοι δὲν εἶναι ὑπεύθυνοι, ἀλλὰ τὰ κάνουν ἀπὸ κάποιαν ἀνάγκην, ἠμπορεῖς τότε νὰ φιλοσοφῇς. Ὅταν δηλαδὴ κάποιος ὑπηρέτης σου λόγῳ ἀσθενείας δὲν ἐκτελέσῃ τὰ παραγγέλματά σου, ὄχι μόνον δὲν τὸν κατηγορεῖς, ἀλλὰ καὶ τὸν συγχωρεῖς. Ἔτσι σὺ ἐπιβεβαιώνεις, ὅτι διὰ τὸ μὲν ἕνα εἶναι ὑπεύθυνος αὐτὸς ὁ ἴδιος, διὰ τὸ ἄλλο δὲ δὲν εἶναι. Ὥστε καὶ εἰς τὴν περίπτωσιν αὐτήν, ἐὰν ἐγνώριζες ὅτι ἀπὸ τὴν γέννησίν του ἦτο κακός, ὄχι μόνον δὲν θὰ τὸν ἐκατηγοροῦσες, ἀλλὰ καὶ θὰ τὸν ἐσυγχωροῦσες. Ὁπωσδήποτε λοιπὸν δὲν θὰ ἦτο δυνατόν, ἐὰν ἦτο ἐκ φύσεως τέτοιος, διὰ μὲν τὴν ἀσθένειαν νὰ τὸν συγχωρῇς, διὰ τὴν δημιουργίαν δὲ τοῦ Θεοῦ νὰ μὴ ἠμπορῇς νὰ τὸν συγχωρήσῃς.

Ἀλλὰ καὶ μὲ ἄλλον τρόπον εἶναι εὔκολον κανεὶς νὰ ἀποστομώσῃ τοὺς ἀνθρώπους αὐτούς· διότι εἶναι πολὺ μεγάλη ἡ ἀφθονία τῆς ἀληθείας. Διατί δηλαδὴ ποτὲ δὲν ἐκατηγόρησες τὸν ὑπηρέτην, ἐπειδὴ δὲν εἶναι ὄμορφος, ἐπειδὴ δὲν εἶναι ὑψηλόσωμος, ἐπειδὴ δὲν εἶναι πτερωτός; Διότι αὐτὰ τὰ ἔχει ἐκ φύσεως. Ὥστε λοιπὸν ὁ δοῦλος σου εἶναι ἀπηλλαγμένος διὰ τὰ ἐκ φύσεως ἐλαττώματά του καὶ κανεὶς δὲν τὸ ἀρνεῖται. Ὅταν δηλαδὴ κατηγορῇς, δείχνεις ὅτι τὸ ἁμάρτημα δὲν ὀφείλεται εἰς τὴν φύσιν, ἀλλ' εἶναι ἀποτέλεσμα τῆς προαιρέσεως. Ἑπομένως, ἐὰν αὐτὰ ποὺ δὲν τὰ κατηγοροῦμεν, ἀποδεικνύομεν ὅτι ἡ εὐθύνη δι' ὅλα αὐτὰ εὑρίσκεται ἐξ ὁλοκλήρου εἰς τὴν φύσιν, εἶναι ὁλοφάνερον ὅτι καὶ ἐκεῖνα ποὺ τὰ κατηγοροῦμεν, ἐπιβεβαιώνομεν ὅτι τὸ ἁμάρτημα εἶναι ἀποτέλεσμα τῆς προαιρέσεως.

Μὴ λοιπὸν μοῦ προβάλλεις διεστραμμένας σκέψεις, οὔτε σοφίσματα καὶ περιπλέγματα πιὸ εὐτελῆ καὶ ἀπὸ τῶν ἀ-

κεῖνο πάλιν ἀπόκριναί μοι· πάντας ἀνθρώπους ὁ Θεὸς εἰργάσατο; Παντίπου δῆλον. Πῶς οὖν οὐ πάντες ἴσοι κατὰ τὸν τῆς ἀρετῆς λόγον καὶ τὸν τῆς κακίας; πόθεν οἱ ἀγαθοὶ καὶ χρηστοὶ καὶ ἐπιεικεῖς; πόθεν οἱ φαῦλοι καὶ πονηροί. Εἰ γὰρ μὴ γνώμης ταῦτα δεῖται, ἀλλὰ φύσεώς ἐστι, πῶς οἱ μὲν τοῦτό εἰσιν, οἱ δὲ ἐκεῖνο; Εἰ μὲν γὰρ φύσει πάντες κακοί, οὐδένα οἷόν τε ἦν ἀγαθὸν εἶναι· εἰ δὲ ἀγαθὰ φύσει, οὐδένα κακόν. Εἰ γὰρ μία φύσις ἀνθρώπων ἁπάντων, ἔδει κατὰ τοῦτο πάντας ἓν εἶναι, εἴτε τοῦτο, εἴτε ἐκεῖνο ἔμελλον εἶναι. Εἰ δὲ λέγομεν, ὅτι φύσει οἱ μὲν ἀγαθοί, οἱ δὲ κακοί, ὅπερ οὐκ ἂν ἔχοι λόγον, ὥσπερ ἀπεδείξαμεν, ἐχρῆν ἀκίνητα ταῦτα εἶναι· τὰ γὰρ τῆς φύσεως ἀκίνητα.

Σκόπει δέ. Θνητοὶ πάντες καὶ παθητοί, καὶ οὐδεὶς ἀπαθής, κἂν μυρία φιλονεικῇ. Νῦν δὲ ὁρῶμεν ἀπὸ χρηστῶν φαύλους πολλούς, καὶ ἀπὸ φαύλων χρηστοὺς γενομένους, τοὺς μὲν ῥᾳθυμίᾳ, τοὺς δὲ σπουδῇ· ὅπερ μάλιστα δείκνυσιν οὐκ ὄντα φύσεως ταῦτα. Οὔτε γὰρ μεταβάλλεται, οὔτε ἵνα προσγένηται σπουδῆς δεῖται τὰ φυσικά. Ὥσπερ γὰρ εἰς τὸ βλέπειν καὶ ἀκούειν οὐ δεόμεθα πόνου, οὕτως οὐδὲ ἐν τῇ ἀρετῇ ἱδρώτων ἡμῖν ἔδει, εἰ τῇ φύσει αὐτῇ ἦν συγκεκληρωμένη. Τίνος δὲ ἕνεκεν καὶ φαύλους ἐποίει, δυνάμενος ἀγαθοὺς ποιῆσαι πάντας;

Πόθεν οὖν τὰ κακά; φησίν. Ἐρώτησον σεαυτόν· ἐμὲ γὰρ δεῖξαι, ὅτι οὐχὶ φύσεως, οὐδὲ ἀπὸ Θεοῦ. Οὐκοῦν αὐτόματα;

ραχνῶν, ἀλλ᾽ ἀπάντησέ μου καὶ πάλιν εἰς αὐτὸ τὸ ἐρώτημα· Ὁ Θεὸς τοὺς ἔκανεν ὅλους τοὺς ἀνθρώπους; Εἶναι ὁλοφάνερον αὐτό. Πῶς λοιπὸν δὲν εἶναι ὅλοι ἴσοι ὡς πρὸς τὴν ἀρετὴν καὶ τὴν κακίαν; ἀπὸ ποίαν αἰτίαν ὑπάρχουν οἱ ἀγαθοί, οἱ ἐνάρετοι καὶ οἱ ἐπιεικεῖς; ἀπὸ ποίαν αἰτίαν οἱ διεφθαρμένοι καὶ οἱ κακοί; Διότι ἐὰν αὐτὰ δὲν εἶναι ἀποτέλεσμα τῆς προθέσεώς των, ἀλλ᾽ εἶναι τῆς φύσεώς των, πῶς τότε ἄλλοι μὲν εἶναι τέτοιοι καὶ ἄλλοι διαφορετικοί; Διότι ἐὰν ὅλοι ἦσαν ἐκ φύσεως κακοί, κατὰ φυσικὸν λόγον κανεὶς δὲν θὰ ἦτο καλός, ἐὰν δὲ ἦσαν ἐκ φύσεως καλοί, κανεὶς δὲν θὰ ἦτο κακός. Ἐὰν δηλαδὴ μία ἦτο ἡ φύσις ὅλων τῶν ἀνθρώπων, ἔπρεπε τότε ὅλοι νὰ εἶναι ἕνα, εἴτε αὐτὸ ἐπρόκειτο νὰ εἶναι εἴτε ἐκεῖνο. Ἐὰν ὅμως θὰ ἠμπορούσαμεν νὰ εἰποῦμεν, ὅτι ἐκ φύσεως οἱ μὲν εἶναι καλοί, οἱ δὲ κακοί, πρᾶγμα ποὺ δὲν ἰσχύει, ὅπως ἀκριβῶς ἀπεδείξαμεν, ἔπρεπεν αὐτὰ νὰ εἶναι ἀμετάβλητα, καθ᾽ ὅσον τὰ πράγματα τῆς φύσεως εἶναι ἀμετάβλητα.

Πρόσεχε δέ. Ὅλοι εἴμεθα θνητοὶ καὶ παθητοὶ καὶ κανεὶς δὲν εἶναι ἀπαθής, καὶ ἂν ἀκόμη προβάλλῃς μυρίας ἀντιρρήσεις. Σήμερα ὅμως βλέπομεν πολλοὺς ἀπὸ καλοὶ ποὺ εἶναι νὰ γίνωνται κακοὶ καὶ ἀπὸ κακοὶ ποὺ εἶναι νὰ γίνωνται καλοί, οἱ μὲν πρῶτοι ἀπὸ ἀδιαφορίαν, οἱ δὲ δεύτεροι ἀπὸ φροντίδα, πρᾶγμα ποὺ ἀποτελεῖ πολὺ μεγάλην ἀπόδειξιν ὅτι αὐτὰ δὲν εἶναι τέτοια ἐκ φύσεως. Διότι τὰ φυσικὰ πράγματα οὔτε μεταβάλλονται, οὔτε χρειάζονται φροντίδα διὰ νὰ γίνουν καλύτερα. Ὅπως ἀκριβῶς δηλαδὴ δὲν καταβάλλομεν κόπον διὰ νὰ βλέπωμεν καὶ νὰ ἀκούωμεν, ἔτσι καὶ δὲν θὰ ἐχρειαζώμεθα ἱδρῶτας διὰ τὴν ἀρετήν, ἐὰν αὐτὴ συνέβαινε νὰ εἶναι ἡνωμένη μὲ τὴν φύσιν. Διὰ ποῖον λόγον δὲ θὰ ἔκομνε κακούς, ἀφοῦ θὰ ἠμποροῦσεν ὅλους νὰ τοὺς κάνῃ καλούς;

Ἀπὸ ποῦ λοιπόν, λέγει, ἦλθαν τὰ κακά; Ἐρώτησε τὸν ἑαυτόν σου· διότι ἰδικόν μου ἔργον εἶναι νὰ δείξω, ὅτι δὲν προέρχονται ἀπὸ τὴν φύσιν, οὔτε ἀπὸ τὸν Θεόν. Ἑπομένως,

φησίν. Οὐδαμῶς. Ἀλλὰ ἀγέννητα; Εὐφήμει, ἄνθρωπε, καὶ ἀποπήδησον τῆς μανίας ταύτης, μιᾷ τιμῇ τὸν Θεὸν τιμῶν καὶ τὰ κακά, καὶ τιμῇ τῇ ἀνωτάτω. Εἰ γὰρ ἀγέννητα, καὶ ἰσχυρὰ ἔσται, καὶ οὐδὲ ἀνασπασθῆναι δυνήσεται, οὐδὲ εἰς τὸ μὴ εἶναι χωρῆσαι. Ὅτι γὰρ τὸ ἀγέννητον ἀνώλεθρον, παντί που δῆλον.

3. Πόθεν δὲ καὶ ἀγαθοὶ τοσοῦτοι, τοσαύτην τοῦ κακοῦ τὴν δύναμιν ἔχοντος; πῶς οἱ γεννητοὶ τοῦ ἀγεννήτου ἰσχυρότεροι; Ἀλλ' ὁ Θεὸς αὐτὰ ἀναιρεῖ, φησί. Πότε; Πῶς δὲ καὶ ἀναιρήσει τὰ ὁμότιμα καὶ ὁμοσθενῆ καὶ ὁμήλικα, ὡς ἄν τις εἴποι; Ὦ τῆς τοῦ διαβόλου κακίας· πόσον ἐξεῦρε κακόν· οἵᾳ τὸν Θεὸν περιβαλεῖν ἔπεισε βλασφημίᾳ· οἵῳ προσχήματι εὐσεβείας ἕτερον δύσφημον ἐπενόησε λόγον. Βουλόμενοι γὰρ δεῖξαι, ὅτι οὐκ ἐξ αὐτοῦ τὸ κακόν, πονηρὸν ἄλλο δόγμα εἰσήγαγον, ἀγέννητα αὐτὰ φήσαντες εἶναι.

Πόθεν οὖν τὰ κακά; φησίν. Ἐκ τοῦ θέλειν καὶ μὴ θέλειν. Αὐτὸ δὲ τὸ θέλειν καὶ μὴ θέλειν πόθεν; Παρ' ἡμῶν αὐτῶν. Σὺ δὲ ταὐτὸν ποιεῖς ἐρωτῶν, ὡς ἂν εἰ ἐρομένου σου, 'Πόθεν τὸ βλέπειν καὶ μὴ βλέπειν;' εἶτα εἰπόντος μου, ἐκ τοῦ μύειν καὶ μὴ μύειν· πάλιν ἔροιο, αὐτὸ δὲ τὸ μύειν καὶ μὴ μύειν πόθεν; εἶτα ἀκούσας ὅτι ἐξ ἡμῶν αὐτῶν καὶ τοῦ θέλειν, αἰτίαν πάλιν ἑτέραν ζητοίης. Τὸ γὰρ κακὸν οὐδὲν ἕτερόν ἐστιν, ἀλλ' ἢ τὸ παρακοῦσαι Θεοῦ. Πόθεν οὖν τοῦτο, φησίν, εὗρεν ὁ ἄνθρωπος; Ἔργον γὰρ ἦν τοῦτο εὑρεῖν; εἰπέ μοι. Οὐδὲ γὰρ ἐγὼ τοῦτό φημι, ὅτι δύσκολον

λέγει, ἐδημιουργήθησαν ἀπὸ μόνα των; Ἀσφαλῶς ὄχι. Μήπως εἶναι ἀγέννητα; Παῦσε ἄνθρωπέ μου, καὶ ἄφησε αὐτὴν τὴν μανίαν, τὸ νὰ τιμᾷς δηλαδὴ μὲ τὴν ἰδίαν τιμὴν τὸν Θεὸν καὶ τὰ κακά, καὶ μάλιστα μὲ τὴν μεγαλυτέραν τιμήν. Διότι ἐὰν εἶναι ἀγέννητα, θὰ εἶναι καὶ ἰσχυρά, καὶ δὲν θὰ ἠμπορέσῃ τίποτε νὰ τὰ διασαλεύσῃ, οὔτε νὰ ὁδηγηθοῦν εἰς τὴν ἀνυπαρξίαν. Τὸ ὅτι βέβαια τὸ ἀγέννητον εἶναι καὶ αἰώνιον, εἶναι ὁλοφάνερον εἰς τὸν καθένα.

3. Ἀπὸ ποῦ δὲ ὑπάρχουν τόσοι πολλοὶ καλοί, ἀφοῦ τὸ κακὸν ἔχει τόσον μεγάλην δύναμιν; πῶς οἱ γεννητοὶ εἶναι ἰσχυρότεροι ἀπὸ τὸ ἀγέννητον κακόν; Ἀλλά, λέγει, ὁ Θεὸς θὰ τὰ ἐξολοθρεύσῃ αὐτά. Πότε; Πῶς δὲ θὰ ἐξολοθρεύσῃ τὰ ἰσότιμα, ἰσοδύναμα καὶ συνομήλικα μὲ αὐτόν, ὅπως θὰ ἠμποροῦσε νὰ εἰπῇ κάποιος; Ὢ μέγεθος τῆς κακίας τοῦ διαβόλου· πόσον κακὸν ἐπενόησεν· μὲ ποίαν βλασφημίαν ἔπεισεν αὐτοὺς νὰ περιβάλουν τὸν Θεόν· μὲ ποῖον πρόσχημα εὐσεβείας ἐπενόησεν ἄλλον βλάσφημον λόγον. Διότι εἰς τὴν προσπάθειάν των ν' ἀποδείξουν, ὅτι τὸ κακὸν δὲν προέρχεται ἀπὸ αὐτόν, ἐπενόησαν ἄλλην πονηρὰν διδασκαλίαν, λέγοντες ὅτι τὰ κακὰ εἶναι ἀγέννητα.

Ἀπὸ ποῦ λοιπόν, λέγει, προέρχονται τὰ κακά; Ἀπὸ τὴν ἰδικήν μας θέλησιν καὶ τὴν ἄρνησίν μας. Ἀπὸ ποῦ δὲ προέρχεται αὐτὴ ἡ θέλησίς μας καὶ ἄρνησίς μας; Ἀπὸ ἡμᾶς τοὺς ἰδίους. Σὺ δὲ κάνων αὐτὴν τὴν ἐρώτησιν κάνεις τὸ ἴδιο πρᾶγμα, ὡσὰν νὰ εἶχες ἐρωτήσει, "Ἀπὸ ποῦ προέρχεται αὐτὴ ἡ δυνατότης τὸ νὰ βλέπωμεν καὶ νὰ μὴ βλέπωμεν;' ἔπειτα, ἀπαντῶν ἐγώ, "Ἀπὸ τὸ νὰ κλείωμεν καὶ νὰ μὴ κλείωμεν τὰ μάτια μας', ἤθελες πάλιν ἐρωτήσει, "Ἀπὸ ποῦ δὲ αὐτὸ τὸ νὰ κλείωμεν καὶ νὰ μὴ κλείωμεν τὰ μάτια;' ἔπειτα ἀκούων ὅτι αὐτὸ προέρχεται ἀπὸ ἡμᾶς τοὺς ἰδίους καὶ τὴν θέλησίν μας, ἤθελες πάλιν ἀναζητήσει ἄλλην αἰτίαν. Διότι τὸ κακὸν δὲν εἶναι τίποτε ἄλλο, παρὰ παρακοὴ εἰς τὸ θέλημα τοῦ Θεοῦ. Καὶ ἀπὸ ποῦ, λέγει, εὗρεν αὐτὸ ὁ ἄνθρωπος; Εἰπέ μου. Ἦτο δηλαδὴ δύσκολον νὰ τὰ εὕρῃ ὁ ἄνθρω-

τοῦτο· ἀλλὰ πόθεν ἠθέλησε παρακοῦσαι; Ἀπὸ ῥᾳθυμίας. Κύριος γὰρ ὢν ἑκατέρων, πρὸς τοῦτο μᾶλλον ἀπέκλινεν.

Εἰ δὲ ἀπορεῖς ἔτι καὶ ἰλιγγιᾷς ταῦτα ἀκούων, ἐγώ σε ἐρήσομαι οὐδὲν δυσχερές, οὐδὲ ποικίλον, ἀλλὰ ἁπλοῦν τινα καὶ σαφῆ λόγον. Γέγονάς ποτε κακός, γέγονας δέ ποτε καὶ ἀγαθός; Ὃ δὲ λέγω, τοιοῦτόν ἐστιν. Ἐκράτησάς ποτε πάθους, καὶ ἑάλως πάλιν ὑπὸ πάθους; περιέπεσες μέθῃ, καὶ ἐκράτησας μέθης; ὠργίσθης ποτέ, καὶ οὐκ ὠργίσθης; παρεῖδες πένητα, καὶ οὐ παρεῖδες; ἐπόρνευσάς ποτε, καὶ ἐσωφρόνησας πάλιν; Πόθεν οὖν ταῦτα πάντα; εἰπέ μοι· πόθεν; Κἂν γὰρ αὐτὸς μὴ λέγῃς, ἐγὼ ἐρῶ. Ὅτι τὸ μὲν ἐσπούδασας συντείνας σαυτόν· μετὰ δὲ ταῦτα ἐξελύθης καὶ ἐρραθύμησας. Τοῖς μὲν γὰρ ἀπεγνωσμένοις καὶ διόλου οὖσιν ἐν κακίᾳ, καὶ ἀναισθήτως ἔχουσι καὶ μαινομένοις, καὶ οὐκ ἐθέλουσιν οὐδὲ ἀκούειν τὰ διορθοῦντα αὐτούς, οὐδὲ διαλέξομαι περὶ φιλοσοφίας· τοῖς δὲ ποτὲ μὲν ἐν τούτῳ, ποτὲ δὲ ἐν ἐκείνῳ γενομένοις ἡδέως ἐρῶ.

Ἥρπασάς ποτε μὲν τὰ μὴ προσήκοντα· μετὰ δὲ ταῦτα κατακλασθεὶς ὑπὸ ἐλέου, καὶ τῶν σαυτοῦ μετέδωκας τῷ δεομένῳ; Πόθεν οὖν αὕτη ἡ μεταβολή; οὐκ εὔδηλον ὅτι ἀπὸ γνώμης καὶ προαιρέσεως; Εὔδηλον καὶ οὐκ ἔστιν ὅστις οὐκ ἂν εἴποι τοῦτο. Διὸ παρακαλῶ σπουδάζειν καὶ ἀρετῆς ἔχεσθαι, καὶ οὐδὲν δεήσεσθε τῶν ζητημάτων πούτων. Τὰ γὰρ κακά, ὀνόματά ἐστι μόνον, ἐὰν θέλωμεν. Μὴ τοίνυν ζήτει,

πος; Οὔτε ἐγὼ λέγω, ὅτι ἦτο δύσκολον αὐτό· ἀλλὰ διὰ ποῖον λόγον ἠθέλησε νὰ παρακούσῃ; Ἀπὸ ἀδιαφορίαν. Διότι ἂν καὶ ἦτο κύριος καὶ τῶν δύο, ἀπέκλινε μᾶλλον πρὸς αὐτό.

Ἐὰν λοιπὸν ἀπορῇς ἀκόμη καὶ μένῃς κατάπληκτος ἀκούων αὐτά, ἐγὼ δὲν θὰ σὲ ἐρωτήσω κάτι ποὺ εἶναι δύσκολον, οὔτε περίπλοκον, ἀλλὰ θὰ σοῦ κάνω μίαν ἁπλῆν καὶ σαφῆ ἐρώτησιν. Ἔγινες ποτὲ κακός, ἔγινες ποτὲ καὶ καλός; Αὐτὸ ποὺ σοῦ λέγω σημαίνει τὸ ἑξῆς. Ἔγινες ποτὲ κυρίαρχος κάποιου πάθους καὶ ἐκυριεύθης πάλιν ἀπὸ τὸ πάθος; περιέπεσες εἰς τὴν μέθην καὶ ὑπερίσχυσες τῆς μέθης; ὠργίσθης ποτὲ καὶ δὲν ὠργίσθης; παρέβλεψες πτωχὸν καὶ δὲν παρέβλεψες; ἐπόρνευσες ποτὲ καὶ ἐπέδειξες πάλιν σωφροσύνην; Ἀπὸ ποῦ λοιπὸν ὅλα αὐτά; εἰπέ μου· ἀπὸ ποῦ; Ἐὰν βέβαια σὺ δὲν θέλῃς νὰ ἀπαντήσῃς, θὰ σοῦ δώσω ἐγὼ τὴν ἀπάντησιν. Ὅτι κάποτε μὲν ἐπέδειξες φροντίδα καὶ ἐβοήθησες τὸν ἑαυτόν σου, εἰς τὴν συνέχειαν ὅμως κατήργησες τὴν φροντίδα καὶ ἠδιαφόρησες. Πρὸς αὐτοὺς μὲν ποὺ διέκοψαν κάθε ἐλπίδα διορθώσεώς των καὶ εἶναι βυθισμένοι ἐξ ὁλοκλήρου μέσα εἰς τὴν κακίαν καὶ εἶναι ἀναίσθητοι καὶ μανιακοὶ καὶ δὲν θέλουν οὔτε κἂν ν' ἀκούουν αὐτὰ μὲ τὰ ὁποῖα ἠμποροῦν νὰ διορθωθοῦν, δὲν θὰ ὁμιλήσω καὶ ἐγὼ περὶ εὐσεβείας, πρὸς αὐτοὺς ὅμως ποὺ ἄλλοτε μὲν εὑρίσκονται εἰς αὐτὴν τὴν κατάστασιν, ἄλλοτε δὲ εἰς τὴν ἄλλην, εὐχαρίστως θὰ ὁμιλήσω.

Συνέβη κάποτε ν' ἁρπάσῃς αὐτὰ ποὺ δὲν ἔπρεπεν; εἰς τὴν συνέχειαν δὲ καταληφθεὶς ἀπὸ εὐσπλαγχνίαν ἔδωσες εἰς αὐτὸν ποὺ εἶχεν ἀνάγκην καὶ ἀπὸ τὰ ἰδικά σου; Ἀπὸ ποῦ λοιπὸν αὐτὴ ἡ μεταβολή; δὲν εἶναι ὁλοφάνερον ὅτι εἶναι ἀποτέλεσμα τῆς ἰδικῆς σου ἀποφάσεως καὶ προαιρέσεως; Ὁλοφάνερον εἶναι· καὶ κανεὶς δὲν ὑπάρχει ποὺ νὰ μὴ τὸ παραδέχεται αὐτό. Διὰ τοῦτο παρακαλῶ νὰ φροντίζετε καὶ ν' ἀκολουθῆτε τὴν ἀρετὴν καὶ δὲν θὰ ἔχετε καμμίαν ἀνάγκην ἀπὸ παρόμοια ζητήματα. Διότι τὰ κακά, ἐὰν θέλωμεν, εἶναι μόνον ὀνόματα. Μὴ λοιπὸν ζητῇς νὰ εὕρῃς ἀπὸ

πόθεν τὰ κακά, μηδὲ διαπόρει· ἀλλ' εὑρὼν ὅτι ἀπὸ ῥᾳθυμίας μόνης, φεῦγε τὰ κακά. Κἂν εἴπῃ τις, ὅτι οὐ παρ' ἡμῶν ταῦτα· ὅταν ἴδῃς ὀργιζόμενον οἰκέτῃ, καὶ παροξυνόμενον γυναικί, καὶ ἐγκαλοῦντα παιδί, καὶ καταγινώσκοντα τῶν ἀδικούντων, εἰπὲ πρὸς αὐτόν· πῶς οὖν ἔλεγες, ὅτι οὐ παρ' ἡμῶν τὰ κακά; Εἰ γὰρ οὐ παρ' ἡμῶν, τίνος ἕνεκεν ἐγκαλεῖς;

Εἰπὲ πάλιν· ἀπὸ σαυτοῦ λοιδορεῖς καὶ ὑβρίζεις; Εἰ μὲν γὰρ οὐκ ἀπὸ σαυτοῦ, μηδείς σοι ὀργιζέσθω· εἰ δὲ ἀπὸ σαυτοῦ, ἀπὸ σοῦ καὶ ἀπὸ τῆς σῆς ῥᾳθυμίας τὰ κακά. Τί δέ; νομίζεις εἶναί τινας ἀγαθούς; Εἰ μὲν γὰρ μηδεὶς ἀγαθός, πόθεν σοι τὸ ὄνομα τοῦτο; πόθεν οἱ ἔπαινοι; Εἰ δὲ εἰσὶν ἀγαθοί, εὔδηλον ὅτι καὶ τοῖς πονηροῖς ἐπιτιμήσουσιν. Ἀλλ' εἰ μή τίς ἐστιν ἑκὼν πονηρός, μηδὲ παρ' ἑαυτοῦ, ἀδίκως εὑρεθήσονται ἐπιτιμῶντες οἱ ἀγαθοὶ τοῖς κακοῖς καὶ ἔσονται καὶ αὐτοὶ ταύτῃ κακοὶ πάλιν. Τί γὰρ ἂν κάκιον γένοιτ' ἂν τοῦ τὸν ἀνεύθυνον ὑποβάλλειν ἐγκλήμασιν; Εἰ δὲ μένουσιν ἡμῖν ἀγαθοὶ καὶ ἐπιτιμῶντες, καὶ τοῦτο μάλιστα τῆς ἀγαθότητος αὐτῶν δεῖγμα, καὶ τοῖς σφόδρα ἀνοήτοις κἀντεῦθεν δῆλον, ὅτι οὐδεὶς οὐδέποτε ἀνάγκῃ κακός. Εἰ δὲ καὶ μετὰ ταῦτα πάντα ζητοίης, πόθεν τὰ κακά; ἀπὸ ῥᾳθυμίας εἴποιμ' ἄν, ἀπὸ ἀργίας, ἀπὸ τοῦ πονηροῖς συγγίνεσθαι, ἀπὸ τοῦ καταφρονεῖν ἀρετῆς· ἐντεῦθεν καὶ τὰ κακά, καὶ τὸ ζητεῖν τινας, πόθεν τὰ κακά. Ὡς τῶν γε κατορθούντων οὐ-

ποῦ προέρχονται τὰ κακά, οὔτε καὶ ν' ἀπορῇς, ἀλλ' ἀφοῦ διεπίστωσες ὅτι εἶναι ἀποκλειστικὰ καὶ μόνον ἀποτέλεσμα τῆς ἀδιαφορίας, ἀπόφευγε τὰ κακά. Καὶ ἂν κάποιος εἰπῇ, ὅτι αὐτὰ δὲν ἐξαρτῶνται ἀπὸ ἡμᾶς, εἰπὲ πρὸς αὐτὸν ὅταν τὸν ἰδῇς νὰ ὀργίζεται ἐναντίον τοῦ δούλου του καὶ νὰ διαπληκτίζεται μὲ τὴν γυναῖκα του καὶ νὰ ἐπιπλήσσῃ τὸν υἱόν του καὶ νὰ κατηγορῇ αὐτοὺς ποὺ ἀδικοῦν. Πῶς λοιπὸν ἔλεγες, ὅτι δὲν ἐξαρτῶνται τὰ κακὰ ἀπὸ ἡμᾶς; Ἐὰν δὲν ἐξαρτῶνται ἀπὸ ἡμᾶς, διατί τότε κατηγορεῖς;

Εἰπὲ πάλιν πρὸς αὐτόν· Μὲ τὴν θέλησίν σου κατηγορεῖς καὶ ὑβρίζεις; Διότι ἐὰν μὲν δὲν τὸ κάνῃς αὐτὸ μὲ τὴν θέλησίν σου, κανεὶς δὲν πρέπει νὰ ὀργίζεται ἐναντίον σου, ἐὰν ὅμως τὸ κάνῃς μὲ τὴν θέλησίν σου, τότε τὰ κακὰ εἶναι ἀποτέλεσμα τῆς θελήσεώς σου καὶ τῆς ἀδιαφορίας σου. Τί δέ; πιστεύεις ὅτι ὑπάρχουν ὡρισμένοι καλοί; Διότι ἐὰν μὲν δὲν ὑπάρχῃ κανεὶς καλός, ἀπὸ ποῦ ὑπάρχει εἰς ἐσένα αὐτὸ τὸ ὄνομα, ἀπὸ ποῦ οἱ ἔπαινοι; Ἐὰν ὅμως ὑπάρχουν καλοί, εἶναι ὁλοφάνερον ὅτι καὶ τοὺς κακοὺς θὰ τοὺς κατηγορήσουν. Ἐὰν ὅμως κάποιος δὲν εἶναι μὲ τὴν θέλησίν του κακός, οὔτε ἀπὸ τὸν ἑαυτόν του, ἄδικα θὰ συμβῇ νὰ κατηγοροῦν οἱ καλοὶ τοὺς κακοὺς καὶ ἐξ αἰτίας αὐτοῦ θὰ γίνουν καὶ αὐτοὶ πάλιν κακοί. Διότι τί θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ χειρότερον πρᾶγμα ἀπὸ τὸ ν' ἀποδίδῃ κανεὶς κατηγορίας εἰς τὸν μὴ ἔνοχον; Ἐὰν ὅμως ὑπάρχουν μεταξύ μας καλοὶ καὶ ἐλέγχουν, καὶ αὐτὸ πρὸ πάντων εἶναι δεῖγμα τῆς ἀγαθότητός των, γίνεται φανερὸν ἀπὸ αὐτὸ καὶ εἰς τοὺς πάρα πολὺ ἀνοήτους, ὅτι κανεὶς ποτὲ δὲν γίνεται κακὸς κατ' ἀνάγκην. Ἐὰν δὲ καὶ μετὰ ἀπὸ ὅλα αὐτὰ ἐξακολουθῇς νὰ ζητῇς διὰ νὰ εὕρῃς, ἀπὸ ποῦ προέρχονται τὰ κακά, θὰ ἠμποροῦσα νὰ σοῦ εἰπῶ, ὅτι εἶναι ἀποτέλεσμα τῆς ἀδιαφορίας, τῆς ὀκνηρίας, τῆς συναναστροφῆς μὲ τοὺς κακούς, τῆς περιφρονήσεως τῆς ἀρετῆς. Ἀπὸ ἐδῶ προέρχονται καὶ τὰ κακὰ καὶ αὐτὴ εἶναι ἡ ἀπάντησις πρὸς αὐτοὺς ποὺ ἐρωτοῦν, ἀπὸ ποῦ προέρχονται τὰ κακά. Διότι κανεὶς βέβαια ἀπὸ αὐτοὺς ποὺ ἀσκοῦν τὴν

δεὶς ταῦτα ἐπιζητεῖ, τῶν ἐπιεικῶς καὶ σωφρόνως ζῆν προαιρουμένων, ἀλλ' οἱ πονηρὰ τολμῶντες, καὶ παραμυθίαν τινὰ ἄνόητον διὰ τούτων βουλόμενοι τῶν λόγων ἐπινοεῖν, ἀραχνῶν ὑφάσματα πλέκουσιν. Ἀλλ' ἡμεῖς ταῦτα μὴ διὰ λόγων μόνον, ἀλλὰ καὶ διὰ τῶν ἔργων διαρρήξωμεν.

Οὐδὲ γὰρ ἀνάγκης ἐστὶ ταῦτα. Εἰ γὰρ ἀνάγκης ἦν, οὐκ ἂν εἶπεν· «Οὐαὶ τῷ ἀνθρώπῳ, δι' οὗ τὸ σκάνδαλον ἔρχεται». Ἐκείνους γὰρ μόνους ταλανίζει τοὺς ἐκ προαιρέσεως πονηρούς. Εἰ δέ, «δι' οὗ», λέγει, μὴ θαυμάσῃς. Οὐ γὰρ ὡς ἑτέρου δι' αὐτοῦ εἰσάγοντος τοῦτό φησιν, ἀλλ' ὡς αὐτοῦ τὸ πᾶν κατασκευάζοντος. Οἶδε γὰρ τὸ δι' οὗ, τὸ ὑφ' οὗ λέγειν ἡ Γραφή· ὡς ὅταν λέγῃ· «Ἐκτησάμην ἄνθρωπον διὰ τοῦ Θεοῦ»· οὐ τὸ δεύτερον αἴτιον, ἀλλὰ τὸ πρῶτον τιθεῖσα. Καὶ πάλιν· «Οὐχὶ διὰ τοῦ Θεοῦ ἡ διασάφησις αὐτῶν ἐστι;»· καί, «Πιστὸς ὁ Θεός, δι' οὗ ἐκλήθητε εἰς κοινωνίαν τοῦ Υἱοῦ αὐτοῦ».

4. Καὶ ἵνα μάθῃς, ὅτι οὐκ ἔστιν ἀνάγκης, ἄκουσον καὶ τῶν ἑξῆς. Μετὰ γὰρ τὸ ταλανίσαι, φησίν· «Εἰ ἡ χείρ σου ἢ ὁ πούς σου σκανδαλίζει σε, ἔκκοψον αὐτά, καὶ βάλε ἀπὸ σοῦ. Καλὸν γάρ σοί ἐστιν εἰσελθεῖν εἰς τὴν ζωὴν χωλὸν ἢ κυλλόν, ἢ δύο χεῖρας καὶ πόδας ἔχοντα βληθῆναι εἰς τὸ πῦρ. Καὶ εἰ ὁ ὀφθαλμός σου ὁ δεξιὸς σκανδαλίζει σε, ἔξελε αὐτὸν καὶ βάλε ἀπὸ σοῦ. Καλόν σοί ἐστι μονόφθαλμον εἰσελθεῖν εἰς τὴν ζωήν, ἢ δύο ὀφθαλμοὺς ἔχοντα βληθῆναι εἰς τὴν κάμινον τοῦ πυρός»· οὐ περὶ μελῶν ταῦτα λέγων· ἄπαγε· ἀλλὰ περὶ φίλων, περὶ τῶν προσηκόντων, οὓς ἐν τάξει μελῶν ἔχομεν ἀναγκαίων. Τοῦτο καὶ ἀνωτέρω εἴρηκε, καὶ

---

6. Ἀντὶ τῆς γραφῆς 'ἀνόητον' προτιμῶμεν τὴν γραφὴν 'ἀνόνητον', ποὺ ὑπάρχει εἰς ἄλλους κώδικας, πρὸς καλυτέραν ἀπόδοσιν τοῦ νοήματος.
7. Γεν. 4, 1.
8. Γεν. 40, 8.
9. Α΄ Κορ. 1, 9.
10. Α΄ Κορ. 18, 10.

ἀρετὴν καὶ ἐπιθυμοῦν νὰ ζοῦν μὲ ἐπιείκειαν καὶ σωφροσύνην δὲν τὰ ἐπιζητεῖ αὐτά, ἀλλ' αὐτοὶ ποὺ διαπράττουν τὰ κακά, αὐτοὶ πλέκουν αὐτὰ τὰ ὑφάσματα τῶν ἀραχνῶν, θέλοντας μὲ ὅλα αὐτὰ τὰ λόγια νὰ εὕρουν κάποιαν ἀνώφελον[6] παρηγορίαν. Ἀλλ' ἡμεῖς ἂς τὰ ξεσχίσωμεν αὐτὰ τὰ ὑφάσματα ὄχι μόνον μὲ τὰ λόγια, ἀλλὰ καὶ μὲ τὰ ἔργα.

Ἄρα λοιπὸν δὲν εἶναι τὰ κακὰ ἀποτελέσματα τῆς ἀνάγκης. Διότι ἐὰν ἦσαν ἀποτελέσματα τῆς ἀνάγκης δὲν θὰ ἦτο δυνατὸν νὰ εἰπῇ· «Ἀλλοίμονον εἰς τὸν ἄνθρωπον ἐκεῖνον, διὰ τοῦ ὁποίου ἔρχεται τὸ σκάνδαλον». Ταλανίζει δηλαδὴ μόνον ἐκείνους ποὺ εἶναι ἀπὸ ἰδικήν των προαίρεσιν κακοί. Ἐὰν δὲ λέγῃ, «διὰ τοῦ ὁποίου», μὴ θαυμάσῃς. Καθ' ὅσον δὲν τὸ λέγει αὐτό, ὡσὰν νὰ ἀναφέρεται μὲ αὐτὸ εἰς κάποιον ἄλλον, ἀλλὰ διὰ νὰ δείξῃ, ὅτι ἀπὸ αὐτὸν ἐξαρτᾶται τὸ πᾶν. Διότι συνηθίζει ἡ Γραφὴ μὲ τὸ 'δι' οὗ' νὰ δηλώνῃ τὸ 'ὑφ' οὗ', ὅπως ὅταν λέγῃ· «Ἀπέκτησα ἄνθρωπον διὰ τοῦ Θεοῦ»[7]· μ' αὐτὸ δὲν ἀναφέρεται εἰς τὸ δεύτερον αἴτιον, ἀλλ' εἰς τὸ πρῶτον. Καὶ ἀλλοῦ πάλιν· «Μήπως ὁ Θεὸς δὲν εἶναι αὐτὸς ποὺ ἑρμηνεύει αὐτά;»[8]· καί, «Εἶναι ἀξιόπιστος ὁ Θεός, διὰ τοῦ ὁποίου ἐκλήθητε νὰ γίνετε μέτοχοι τῆς ζωῆς τοῦ Υἱοῦ του»[9].

4. Καὶ διὰ νὰ μάθῃς, ὅτι δὲν συμβαίνουν τὰ σκάνδαλα κατ' ἀνάγκην, ἄκουσε καὶ τὰ ἑξῆς. Διότι μετὰ τὸν ταλανισμόν, λέγει· «Ἐὰν τὸ χέρι σου ἢ τὸ πόδι σου σὲ σκανδαλίζῃ, κόψε τα καὶ πέταξέ τα μακρυά. Σοῦ συμφέρει νὰ εἰσέλθῃς εἰς τὴν αἰώνιον ζωὴν μὲ ἕνα πόδι ἢ μὲ ἕνα χέρι, παρὰ μὲ δύο χέρια καὶ πόδια νὰ ριφθῇς εἰς τὸ αἰώνιον τὸ πῦρ. Καὶ ἐὰν ὁ ὀφθαλμός σου ὁ δεξιὸς σὲ σκανδαλίζει, βγάλε τον καὶ πέταξέ τον μακρυά. Εἶναι προτιμώτερον νὰ εἰσέλθῃς εἰς τὴν αἰώνιον ζωὴν μὲ ἕνα ὀφθαλμόν, παρὰ ἔχων δύο ὀφθαλμοὺς νὰ ριφθῇς εἰς τὴν κάμινον τοῦ πυρός». Αὐτὰ δὲν τὰ λέγει διὰ τὰ μέλη τοῦ σώματος· μὴ γένοιτο· ἀλλὰ τὰ λέγει διὰ τοὺς φίλους, διὰ τοὺς συγγενεῖς, τοὺς ὁποίους χρειαζόμεθα ὅπως ἀκριβῶς τὰ μέλη τοῦ σώματός μας. Αὐτὸ

νῦν λέγει. Οὐδὲν γὰρ οὕτω βλαβερόν, ὡς συνουσία πονηρά. Ὅσα γὰρ ἀνάγκη μὴ δύναται, δύναται φιλία πολλάκις καὶ εἰς βλάβην καὶ εἰς ὠφέλειαν. Διὸ μετὰ πολλῆς τῆς σφοδρότητος τοὺς βλάπτοντας ἐκκόπτειν κελεύει, τούτους αἰνιττόμενος τοὺς τὰ σκάνδαλα φέροντας.

Εἶδες πῶς τὴν ἐσομένην ἐκ τῶν σκανδάλων ἀνεκρούσατο βλάβην; Τῷ προειπεῖν, ὅτι πάντως ἔσται, ὥστε μηδένα ἐν ῥᾳθυμίᾳ εὑρεῖν, ἀλλὰ προσδοκῶντος αὐτὰ νήφειν· τῷ δεῖξαι μεγάλα ὄντα κακά· (οὐ γὰρ ἂν ἁπλῶς εἶπεν, «οὐαὶ τῷ κόσμῳ ἀπὸ τῶν σκανδάλων», ἀλλὰ δεικνὺς μεγάλην τὴν ἐξ αὐτῶν λύμην)· τῷ ταλανίσαι πάλιν τὸν εἰσάγοντα αὐτὰ μειζόνως. Τὸ γὰρ εἰπεῖν, «πλὴν οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ», πολλὴν δεικνύντος ἦν τὴν τιμωρίαν· οὐ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ τῇ τοῦ παραδείγματος προσθήκῃ ηὔξησε τὸν φόβον.

Εἶτα οὐκ ἀρκεῖται τούτοις, ἀλλὰ καὶ δείκνυσι τὴν ὁδόν, δι' ἧς ἄν τις διαφύγοι τὰ σκάνδαλα. Τίς δέ ἐστιν αὕτη; Τοὺς πονηρούς, φησί, κἂν σφόδρα σοι φίλοι ὦσιν, ἀπότεμνε τῆς φιλίας. Καὶ λέγει λογισμὸν ἀναντίῤῥητον. Ἂν μὲν γὰρ μένωσι φίλοι, οὔτε αὐτοὺς κερδανεῖς, καὶ σαυτὸν προσαπολεῖς· ἂν δὲ ἀποτέμνῃς, τὴν γοῦν σαυτοῦ σωτηρίαν καρπώσῃ. Ὥστε εἴ τινός σε φιλία βλάπτει, ἔκκοπτε ἀπὸ σοῦ. Εἰ γὰρ τῶν ἡμετέρων μελῶν πολλὰ πολλάκις ἀποτέμνομεν, ὅταν αὐτά τε ἀνιάτως ἔχῃ καὶ τοῖς λοιποῖς λυμαίνηται, πολλῷ μᾶλλον ἐπὶ φίλων τοῦτο ποιεῖν χρή. Εἰ δὲ φύσει ἦν τὰ κα-

καὶ προηγουμένως τὸ εἶπε καὶ τώρα τὸ ἐπαναλαμβάνει. Καθ' ὅσον τίποτε δὲν εἶναι τόσον βλαβερόν, ὅσον εἶναι ἡ κακὴ συναναστροφή. Διότι ὅσα δὲν ἠμπορεῖ νὰ τὰ κάνῃ ἡ ἀνάγκη, ἠμπορεῖ νὰ τὰ κάνῃ πολλὲς φορὲς ἡ φιλία καὶ πρὸς ζημίαν καὶ πρὸς ὠφέλειαν. Διὰ τοῦτο μᾶς προστάσσει μὲ πολλὴν δύναμιν ν' ἀποκόπτωμεν αὐτοὺς ποὺ μᾶς βλάπτουν, ὑπονοῶν αὐτοὺς ποὺ δημιουργοῦν τὰ σκάνδαλα.

Εἶδες πῶς ἀπέκρουσε τὴν βλάβην ποὺ εἶναι δυνατὸν νὰ προέλξῃ ἀπὸ τὰ σκάνδαλα; Μὲ τὸ ὅτι προεῖπεν, ὅτι ὁπωσδήποτε θὰ συμβοῦν αὐτά, ὥστε νὰ μὴ εὕρουν κανένα ἀδιάφορον, ἀλλὰ νὰ τὰ περιμένουν ἄγρυπνοι· μὲ τὸ ὅτι ἔδειξεν, ὅτι εἶναι μεγάλα κακὰ (διότι δὲν εἶπεν ἁπλῶς, «Ἀλλοίμονον εἰς τὸν κόσμον ἀπὸ τὰ σκάνδαλα», ἀλλ' ἔδειξεν ὅτι εἶναι μεγάλη ἡ ζημία ποὺ προέρχεται ἀπὸ αὐτά)· μὲ τὸ ὅτι πάλιν ἐταλάνισεν εἰς μεγάλον βαθμὸν αὐτὸν ποὺ τὰ προκαλεῖ. Διότι οἱ λόγοι του αὐτοί, «πλὴν ἀλλοίμονον εἰς τὸν ἄνθρωπον ἐκεῖνον», ἐφανέρωνον τὴν μεγάλην τιμωρίαν· καὶ ὄχι μόνον μὲ αὐτό, ἀλλὰ καὶ μὲ τὸ ὅτι ἀνέφερε καὶ τὸ παράδειγμα ηὔξησε τὸν φόβον.

Εἰς τὴν συνέχειαν δὲν ἀρκεῖται εἰς αὐτά, ἀλλὰ καὶ δείχνει τὴν ὁδόν, διὰ τῆς ὁποίας εἶναι δυνατὸν νὰ ἀποφύγῃ κανεὶς τὰ σκάνδαλα. Ποία δὲ εἶναι αὐτή; Τοὺς κακούς, λέγει, καὶ ἂν ἀκόμῃ εἶναι πάρα πολὺ φίλοι σου, ἀπόκοψε τὴν φιλίαν σου μὲ αὐτούς. Καὶ διατυπώνει συλλογισμὸν ποὺ δὲν ἐπιδέχεται ἀντιρρήσεις. Διότι, ἐὰν μὲν ἐξακολουθοῦν νὰ εἶναι φίλοι σου, οὔτε αὐτοὺς θὰ τοὺς ὠφελήσῃς καὶ τὸν ἑαυτόν σου θὰ ὁδηγήσῃς εἰς τὴν ἀπώλειαν, ἂν ὅμως διακόψῃς τὴν σχέσιν σου μ' αὐτούς, θὰ ἐπιτύχῃς τότε τὴν ἰδικήν σου τουλάχιστον σωτηρίαν. Ὥστε λοιπόν, ἐὰν ἡ φιλία κάποιου σὲ βλάπτει, ἀπομάκρυνέ τον ἀπὸ κοντά σου. Διότι, ἐὰν πολλὲς φορὲς ἀποκόπτωμεν πολλὰ ἀπὸ τὰ μέλη μας, ὅταν αὐτὰ εἶναι ἀθεράπευτα καὶ βλάπτουν καὶ τὰ ὑπόλοιπα μέλη μας, πολὺ περισσότερον πρέπει αὐτὸ νὰ τὸ κάνωμεν εἰς τὴν περίπτωσιν τῶν φίλων μας. Ἐὰν ὅμως τὰ κακὰ ὑπῆρ-

κά, περιττὴ πᾶσα αὕτη ἡ παραίνεσις καὶ ἡ συμβουλή, περιττὴ ἡ διὰ τῶν εἰρημένων φυλακή. Εἰ δὲ οὐ περιττή, ὥσπερ οὖν οὐδὲ περιττή, εὔδηλον ὅτι γνώμης ἡ πονηρία.

«Ὁρᾶτε μὴ καταφρονήσητε ἑνὸς τῶν μικρῶν τούτων. Λέγω γὰρ ὑμῖν, ὅτι οἱ ἄγγελοι αὐτῶν διαπαντὸς βλέπουσι τὸ πρόσωπον τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς». Μικροὺς οὐ τοὺς ἀληθῶς μικροὺς καλεῖ, ἀλλὰ τοὺς νομιζομένους παρὰ τοῖς πολλοῖς, τοὺς πτωχούς, τοὺς εὐκαταφρονήτους, τοὺς ἀγνῶτας (πῶς γὰρ ἂν εἴη μικρὸς ὁ τοῦ κόσμου παντὸς ἀντάξιος; πῶς ἂν εἴη μικρὸς ὁ τῷ Θεῷ φίλος;), ἀλλὰ τοὺς παρὰ τῇ τῶν πολλῶν ὑπονοίᾳ τοιούτους νομιζομένους. Καὶ οὐ λέγει περὶ πολλῶν μόνον, ἀλλὰ καὶ περὶ ἑνός, κἀντεῦθεν πάλιν ἀποτειχίζων τὴν τῶν πολλῶν σκανδάλων βλάβην. Ὥσπερ γὰρ τὸ φεύγειν τοὺς πονηρούς, οὕτω τὸ τιμᾶν τοὺς χρηστοὺς κέρδος ἔχει μέγιστον, καὶ διπλῆ γένοιτ' ἂν ἀσφάλεια τῷ προσέχοντι· μία μὲν ἐκ τοῦ τῶν σκανδαλιζόντων τὰς φιλίας ἐκτεμεῖν· ἑτέρα δὲ ἐκ τοῦ τοὺς ἁγίους τούτους ἔχειν ἐν θεραπείᾳ καὶ τιμῇ.

Εἶτα καὶ ἑτέρωθεν αὐτοὺς αἰδεσίμους ποιεῖ, λέγων· «Ὅτι οἱ ἄγγελοι αὐτῶν διαπαντὸς βλέπουσι τὸ πρόσωπον τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς». Ἐντεῦθεν δῆλον, ὅτι ἀγγέλους ἔχουσιν οἱ ἅγιοι, ἢ καὶ πάντες. Καὶ γὰρ ὁ ἀπόστολός φησι περὶ τῆς γυναικός, ὅτι «Ὀφείλει ἐξουσίαν ἔχειν ἐπὶ τῆς κεφαλῆς διὰ τοὺς ἀγγέλους». Καὶ ὁ Μωϋσῆς· «Ἔστησεν ὅρια ἐθνῶν κατὰ ἀριθμὸν ἀγγέλων Θεοῦ». Ἐνταῦ-

χον ἐκ φύσεως, ἦτο περιττὴ ὅλη αὐτὴ ἡ παραίνεσις καὶ συμβουλή, περιττὴ ἦτο ἡ προφύλαξις διὰ τῶν ὅσων προελέχθησαν. Ἐὰν ὅμως δὲν εἶναι περιττή, ὅπως ἀκριβῶς καὶ δὲν εἶναι περιττή, εἶναι ὁλοφάνερον ὅτι ἡ κακία εἶναι ἀποτέλεσμα τῆς ἰδικῆς μας ἀποφάσεως.

Σὺ δέ μοι σκόπει, πῶς πανταχοῦ τὸν τελώνην εἰς ὑπόδειγμα τῆς μεγίστης τίθησι κακίας. Καὶ γὰρ ἀνωτέρω φησίν· «Οὐχὶ καὶ οἱ τελῶναι τὸ αὐτὸ ποιοῦσιν;», καὶ προϊὼν πάλιν· «Καὶ τελῶναι καὶ πόρναι προάξουσιν ὑμᾶς εἰς τὴν βασιλείαν τῶν οὐρανῶν»· τουτέστιν, οἱ σφόδρα κατεγνωσμένοι καὶ καταδεδικασμένοι. Ἀκουέτωσαν οἱ κέρδεσιν ἐπιπηδῶντες ἀδίκοις, οἱ τοὺς τόκους ἐπὶ τόκοις ἀριθμοῦντες. Διατί δὲ αὐτὸν μετ' ἐκείνων ἔταξε; Παραμυθούμενος τὸν ἠδικημένον καὶ φοβῶν αὐτόν. Τοῦτο οὖν ἡ κόλασις μόνον; Οὐχί· ἀλλ' ἄκουε καὶ τῶν ἐξῆς. «Ὃ ἐὰν δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένον ἐν τοῖς οὐρανοῖς». Καὶ οὐκ εἶπε τῷ προέδρῳ τῆς ἐκκλησίας, δῆσον τὸν τοιοῦτον, ἀλλά, «ἐὰν δήσῃς», αὐτῷ τῷ λελυπημένῳ τὸ πᾶν ἐπιτρέπων· καὶ ἄλυτα μένει

7. Ματθ. 5, 46.
8. Ματθ. 21, 31.

ἠμποροῦσεν ἀπὸ τὴν ἀρχὴν νὰ δώσῃ αὐτὴν τὴν ἐντολήν, διὰ ν' ἀποφύγῃ ὅμως τὴν κοινοποίησιν τῶν ἁμαρτημάτων, δὲν ἔδωσεν αὐτὴν τὴν ἐντολήν, ἀλλὰ προχωρεῖ εἰς αὐτὴν τὴν νομοθεσίαν μετὰ ἀπὸ τὴν πρώτην καὶ δευτέραν συμβουλήν. Τί σημαίνει ὅμως, «διὰ νὰ στηριχθῇ ἡ ἀλήθεια κάθε λόγου ἐπάνω εἰς τὴν ἐπιβεβαίωσιν δύο ἢ καὶ τριῶν μαρτύρων»; Ἔχεις, λέγει, ἱκανοποιητικὴν μαρτυρίαν, ὅτι ἔπραξες ὅ,τι ἐξηρτᾶτο ἀπὸ ἐσένα, ὅτι τίποτε δὲν παρέλειψες ἀπὸ αὐτὰ ποὺ ὤφειλες νὰ πράξῃς. «Ἐὰν ὅμως δὲν τοὺς ἀκούσῃ καὶ αὐτούς, ἀνάφερέ το εἰς τὴν ἐκκλησίαν», δηλαδὴ εἰς τοὺς προϊσταμένους αὐτῆς. «Ἐὰν ὅμως δὲν ἀκούσῃ καὶ τοὺς προϊσταμένους τῆς ἐκκλησίας, τότε νὰ τὸν θεωρῇς ὡσὰν ἐθνικὸν καὶ ὡσὰν τελώνην». Διότι ἡ ἀσθένεια αὐτοῦ πλέον εἶναι ἀθεράπευτος.

Σὺ ὅμως, σὲ παρακαλῶ, πρόσεχε, πῶς εἰς κάθε περίπτωσιν προβάλλει ὡς παράδειγμα τῆς μεγίστης κακίας τὸν τελώνην. Καθ' ὅσον καὶ προηγουμένως λέγει· «Μήπως καὶ οἱ τελῶναι δὲν κάνουν τὸ ἴδιο;»[7], καὶ εἰς τὴν συνέχειαν πάλιν· «Καὶ οἱ τελῶναι καὶ αἱ πόρναι θὰ εἰσέλθουν πρὶν ἀπὸ ἐσᾶς εἰς τὴν βασιλείαν τῶν οὐρανῶν»[8], δηλαδὴ οἱ πάρα πολὺ ἀξιοκατάκριτοι καὶ καταδικασμένοι. Ἂς τὸ ἀκούουν αὐτοὶ ποὺ τρέχουν ὡσὰν τρελλοὶ εἰς τὰ ἄδικα κέρδη, αὐτοὶ ποὺ ἐπάνω εἰς τοὺς τόκους προσθέτουν ἄλλους τόκους. Διατί ὅμως κατέταξεν αὐτὸν μαζὶ μὲ ἐκείνους; Διὰ νὰ παρηγορήσῃ τὸν ἠδικημένον καὶ διὰ νὰ φοβήσῃ αὐτὸν ποὺ τὸν ἠδίκησεν. Αὐτὴ λοιπὸν εἶναι μόνον ἡ τιμωρία; Ὄχι, ἀλλὰ ἄκουε καὶ τὰ εἰς τὴν συνέχειαν. «Αὐτὸ ποὺ θ' ἀφήσετε ἀσυγχώρητον ἐδῶ εἰς τὴν γῆν, θὰ εἶναι ἀσυγχώρητον καὶ εἰς τοὺς οὐρανούς». Καὶ δὲν εἶπεν εἰς τὸν προϊστάμενον τῆς ἐκκλησίας, μὴ συγχωρήσῃς αὐτὸν τὸν ἄνθρωπον, ἀλλ', «ἐὰν δὲν τὸν συγχωρήσῃς», ἀναθέτων εἰς τὸν ἴδιον τὸν ἀδικηθέντα τὸ πᾶν· καὶ παραμένουν ἀσυγχώρητα τὰ ἁμαρτήματά του. Κατὰ συνέπειαν θὰ ὑποστῇ τὴν πιὸ φοβερὰν τιμωρίαν· δὲν

τὰ δεσμά. Οὐκοῦν τὰ ἔσχατα πείσεται δεινά· ἀλλ' οὐχὶ ὁ ἀγαγὼν αἴτιος, ἀλλ' ὁ μὴ θελήσας πεισθῆναι.

Εἶδες πῶς αὐτὸν διπλαῖς κατέδησεν ἀνάγκαις, καὶ τῇ ἐντεῦθεν τιμωρίᾳ καὶ τῇ ἐκεῖ κολάσει; Ταῦτα δὲ ἠπείλησεν, ἵνα μὴ ταῦτα συμβαίνῃ· ἀλλὰ φοβούμενος καὶ τὴν ἀπὸ τῆς ἐκκλησίας ἐκβολήν, καὶ τὸν ἀπὸ τοῦ δεσμοῦ κίνδυνον, καὶ τὸ ἐν οὐρανοῖς δεδέσθαι, ἡμερώτερος γένηται. Καὶ ταῦτα εἰδώς, εἰ καὶ μὴ προοιμίων, ἐν γοῦν τῷ πλήθει τῶν δικασηρίων ἐκλύσει τὴν ὀργήν. Διά τοι τοῦτο καὶ πρῶτον καὶ δεύτερον καὶ τρίτον ἐπέσησε κριτήριον, καὶ οὐκ εὐθέως ἐξέκοψεν, ἵνα κἂν τοῦ πρώτου παρακούσῃ, τῷ δευτέρῳ εἴξῃ· κἂν ἐκεῖνο διαπτύσῃ, τὸ τρίτον φοβηθῇ· κἂν τούτου μηδένα ποιῆται λόγον, τὴν μέλλουσαν καταπλαγῇ τιμωρίαν καὶ τὴν παρὰ τοῦ Θεοῦ ψῆφόν τε καὶ δίκην.

«Πάλιν δὲ λέγω ὑμῖν, ὅτι ἐὰν δύο συμφωνήσωσιν ἐξ ὑμῶν ἐπὶ τῆς γῆς, περὶ παντὸς πράγματος οὗ ἐὰν αἰτήσωνται, γενήσεται αὐτοῖς παρὰ τοῦ Πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς. Οὗ γάρ ἐὰν ὦσι δύο ἢ τρεῖς συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν». Ὁρᾷς πῶς καὶ ἑτέρωθεν παραλύει τὰς ἔχθρας, καὶ τὰς μικροψυχίας ἀναιρεῖ, καὶ πρὸς ἀλλήλους συνάγει, καὶ οὐκ ἀπὸ τῆς κολάσεως μόνης τῆς εἰρημένης, ἀλλὰ καὶ ἀπὸ τῶν ἀγαθῶν τῶν ἐκ τῆς ἀγάπης; Καὶ γὰρ ἀπειλήσας ἐκεῖνα τῇ φιλονεικίᾳ, τὰ μεγάλα ἐνταῦθα τῆς συμφωνίας τίθησιν ἔπαθλα, εἶγε καὶ τὸν Πατέρα πείθουσιν οἱ συμφωνοῦντες, ὑπὲρ ὧν αἰτοῦσι, καὶ τὸν Χριστὸν ἔχουσιν εἰς τὸ μέσον.

Ἆρ' οὖν οὐδαμοῦ εἰσι δύο συμφωνοῦντες; Καὶ πολλαχοῦ μέν οὖν, τάχα δὲ καὶ πανταχοῦ. Πῶς οὖν οὐ πάντα

θὰ εἶναι ὅμως αἴτιος ἐκεῖνος ποὺ τὸν ὡδήγησεν εἰς τὴν ἐκκλησίαν, ἀλλ' αὐτὸς ποὺ δὲν ἠθέλησε νὰ ζητήσῃ συγγνώμην.

Εἶδες πῶς τὸν συνεκράτησε μὲ δύο τρόπους, καὶ μὲ τὴν ἐδῶ τιμωρίαν καὶ μὲ τὴν τιμωρίαν εἰς τὴν ἄλλην ζωήν; Ὥρισεν αὐτὰς τὰς ἀπειλάς, διὰ νὰ μὴ συμβαίνουν αὐτά, ἀλλά, φοβούμενος καὶ τὴν ἀπομάκρυνσιν ἀπὸ τὴν ἐκκλησίαν καὶ τὸν κίνδυνον ἀπὸ τὸ νὰ μείνῃ ἀσυγχώρητον τὸ ἁμάρτημά του καὶ τὸ νὰ μείνῃ ἀσυγχώρητον καὶ εἰς τὴν ἄλλην ζωήν, νὰ γίνῃ ἡμερώτερος. Καὶ ἔχων ὑπ' ὄψιν ὅλα αὐτά, ν' ἀπαλλαγῇ ἀπὸ τὴν ὀργήν του, ἂν ὄχι ἀπὸ τὴν ἀρχήν, τουλάχιστον ὕστερα ἀπὸ πολλὰ δικαστήρια. Διὰ τοῦτο λοιπὸν ὥρισε καὶ πρῶτον καὶ δεύτερον καὶ τρίτον δικαστήριον καὶ δὲν τὸν ἀπέκοψεν ἀπὸ τὴν πρώτην στιγμήν, ὥστε, καὶ ἂν ἀκόμη δὲν ὑπακούσῃ εἰς τὸ πρῶτον, νὰ ὑποχωρήσῃ εἰς τὸ δεύτερον· καὶ ἂν ἀδιαφορήσῃ τελείως καὶ δι' αὐτό, νὰ κατακυριευθῇ ἀπὸ φόβον διὰ τὴν μέλλουσαν τιμωρίαν καὶ τὴν ἐκ μέρους τοῦ Θεοῦ ἀπόφασιν καὶ καταδίκην.

«Πάλιν σᾶς διαβεβαιώνω, ὅτι, ἐὰν δύο ἀπὸ σᾶς συμφωνήσουν ἐπάνω εἰς τὴν γῆν διὰ κάθε πρᾶγμα ποὺ θὰ ζητήσουν, θὰ τὸ λάβουν ἀπὸ τὸν Πατέρα μου τὸν οὐράνιον. Διότι ὅπου εἶναι συγκεντρωμένοι εἰς τὸ ὄνομά μου δύο ἢ τρεῖς, ἐκεῖ ἀνάμεσά των εὑρίσκομαι καὶ ἐγώ». Βλέπεις πῶς καὶ μὲ ἄλλον τρόπον διαλύει τὰς ἔχθρας καὶ καταργεῖ τὰς μικροψυχίας καὶ συμφιλιώνει τοὺς ἀνθρώπους, καὶ ὄχι μόνον ἀπὸ τὴν ἀναφερθεῖσαν τιμωρίαν, ἀλλὰ καὶ ἀπὸ τὰ ἀγαθὰ ποὺ πηγάζουν ἀπὸ τὴν ἀγάπην; Διότι πράγματι, ἀφοῦ ἠπείλησε μὲ ἐκεῖνα διὰ τὴν φιλονεικίαν, παρουσιάζει ἐδῶ τὰ μεγάλα ἔπαθλα τῆς συμφωνίας, καθ' ὅσον αὐτοὶ ποὺ συμφωνοῦν καὶ τὸν Πατέρα πείθουν δι' ὅσα ζητοῦν πὸ αὐτόν, καὶ ἔχουν ἀνάμεσά των τὸν Χριστόν.

Μήπως ὅμως εἰς καμμίαν περίπτωσιν δὲν ὑπάρχουν δύο ποὺ νὰ συμφωνοῦν; Καὶ βέβαια ὑπάρχουν εἰς πολλὰς περιπτώσεις, ἴσως δὲ καὶ εἰς ὅλας τὰς περιπτώσεις. Πῶς λοιπὸν δὲν κατορθώνουν πάντοτε νὰ συμφωνήσουν; Ἐπει-

ἐπιτυγχάνουσιν; Ὅτι πολλαὶ αἱ αἰτίαι τοῦ ἀποτυγχάνειν. Ἢ γὰρ ἀσύμφορα πολλάκις αἰτοῦσι. Καὶ τί θαυμάζεις, εἰ ἕτεροί τινες, ὅπου γε καὶ Παῦλος τοῦτο ἔπαθεν, ἡνίκα ἤκουσεν, «ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται»; Ἢ ἀνάξιοι τῶν ταῦτα ἀκηκοότων εἰσί, καὶ τὰ παρ' ἑαυτῶν οὐκ εἰσφέρουσιν· αὐτὸς δὲ τοὺς καὶ' ἐκείνους ἐπιζητεῖ· διὰ τοῦτό φησιν, «ἐξ ὑμῶν» τῶν ἐναρέτων, τῶν ἀγγελικὴν ἐπιδεικνυμένων πολιτείαν. Ἢ καὶ τῶν λελυπηκότων εὔχονται, ἐκδικίαν καὶ τιμωρίαν ἐπιζητοῦντες, ὅπερ ἐστὶ κεκωλυμένον· «Εὔχεσθε» γάρ, φησίν, «ὑπὲρ τῶν ἐχθρῶν ὑμῶν». Ἢ ἀμελανόητα ἁμαρτάνοντες αἰτοῦσιν ἔλεον, ὅπερ ἐστὶν ἀδύναιον λαβεῖν, οὐ μόνον ἂν αὐτοὶ αἰτῶσιν, ἀλλὰ κἂν ἕτεροι πολλὴν πρὸς τὸν Θεὸν παρρησίαν ἔχοντες ὑπὲρ αὐτῶν παρακαλῶσι· καθάπερ καὶ Ἰερεμίας εὐχόμενος ὑπὲρ Ἰουδαίων ἤκουσε· «Μὴ προσεύχου περὶ τοῦ λαοῦ τούτου, ὅτι οὐκ εἰσακούσομαί σου». Ἂν δὲ πάντα παρῇ καὶ τὰ συμφέροντα αὐτῆς καὶ τὰ παρ' ἑαυτοῦ πάντα εἰσφέρῃς καὶ βίον παρέχῃς ἀποστολικὸν καὶ ὁμόνοιαν καὶ ἀγάπην πρὸς τὸν πλησίον ἔχῃς, ἐπιτεύξῃ παρακαλῶν· φιλάνθρωπος γὰρ ὁ Δεσπότης.

3. Εἶτα ἐπειδὴ εἶπε, «παρὰ τοῦ Πατρός μου», ἵνα δείξῃ ἑαυτὸν ὄντα τὸν παρέχοντα, καὶ οὐ τὸν γεγεννηκότα μόνον, ἐπήγαγεν· «οὗ γὰρ ἐάν ὦσι δύο ἢ τρεῖς συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν». Τί οὖν; οὐκ εἰσὶ δύο ἢ τρεῖς συνηγμένοι εἰς τὸ ὄνομα αὐτοῦ; Εἰσὶ μέν, σπανίως δέ. Οὐ γὰρ ἁπλῶς τὴν σύνοδον λέγει, οὐδὲ τοῦτο ἐπιζητεῖ μόνον, ἀλλὰ μάλιστα μέν, ὅπερ καὶ ἔμπροσθεν εἶπον, καὶ τὴν

9. Ματθ. 5, 44.
10. Ἰερ. 11, 14.

δὴ εἶναι παλλαὶ αἱ αἰτίαι τῆς ἀποτυχίας. Ἢ ἐπειδὴ πολλὰς φορὰς ζητοῦν ἀσύμφορα πράγματα. Καὶ διατί ἀπορεῖς, ἂν αὐτὸ συμβαίνῃ εἰς ὡρισμένους, καθ' ἣν στιγμὴν καὶ ὁ Παῦλος τὸ ἔπαθεν αὐτό, ὅταν ἤκουσε, «Σοῦ ἀρκεῖ ἡ χάρις μου· διότι ἡ δύναμίς μου ἀποδεικνύεται τελεία, ἐκεῖ ὅπου ὑπάρχει ἀδυναμία»; Ἢ ἐπειδὴ εἶναι ἀνάξιοι αὐτῶν ποὺ ἤκουσαν αὐτά, καὶ δὲν προσφέρουν αὐτὰ ποὺ ἐξηρτῶνται ἀπὸ αὐτούς· ὁ Κύριος ὅμως θέλει αὐτοὺς ποὺ εἶναι ὡσὰν ἐκείνους, καὶ διὰ τοῦτο λέγει, «ἀπὸ σᾶς» τοὺς ἐναρέτους, ποὺ ἡ ζωή σας ὁμοιάζει μὲ τὴν ζωὴν τῶν ἀγγέλων. Ἢ διότι εὔχονται ἐναντίον ἐκείνων ποὺ τοὺς ἔβλαψαν, ἐπιδιώκοντες ἐκδίκησιν καὶ τιμωρίαν, πρᾶγμα ποὺ δὲν ἐπιτρέπεται νὰ γίνεται· διότι, λέγει, «εὔχεσθε ὑπὲρ τῶν ἐχθρῶν σας»[9]. Ἢ διότι, μολονότι ἡμάρτησαν, ζητοῦν ἔλεον χωρὶς νὰ μετανοήσουν, πρᾶγμα ποὺ εἶναι ἀδύνατον νὰ λάβουν, ὄχι μόνον ἂν αὐτοὶ οἱ ἴδιοι παρακαλοῦν, ἀλλὰ καὶ ἂν ἀκόμη παρακαλοῦν ὑπὲρ αὐτῶν ἄλλοι, ποὺ ἔχουν μεγαλυτέραν παρρησίαν πρὸς τὸν Θεόν, πρᾶγμα ποὺ συνέβη ν' ἀκούσῃ καὶ ὁ Ἱερεμίας ὅταν προσηύχετο ὑπὲρ τῶν Ἰουδαίων· «Μὴ προσεύχεσαι δι' αὐτὸν τὸν λαόν, διότι δὲν θὰ εἰσακούσω τὴν προσευχήν σου»[10]. Ἂν ὅμως ὑπάρχουν ὅλα μαζὶ καὶ ζητῇς αὐτὰ ποὺ σοῦ συμφέρουν καὶ κάνῃς ἀπὸ μέρους σου ὅσα ἐξαρτῶνται ἀπὸ σένα καὶ κάνῃς ζωὴν ἀποστολικὴν καὶ ἔχῃς ὁμόνοιαν καὶ ἀγάπην πρὸς τὸν πλησίον σου, θὰ εἰσακουσθοῦν αἱ παρακλήσεις σου· διότι ὁ Κύριος εἶναι φιλάνθρωπος.

3. Εἰς τὴν συνέχειαν, ἐπειδὴ εἶπεν, «ἀπὸ τὸν Πατέρα μου», διὰ νὰ δείξῃ ὅτι καὶ ὁ ἴδιος παρέχει τὰ ἀγαθὰ καὶ ὄχι μόνον ὁ Πατήρ του, προσέθεσεν· «διότι ὅπου εἶναι συγκεντρωμένοι δύο ἢ τρεῖς εἰς τὸ ὄνομά μου, ἐκεῖ ἀνάμεσά των εἶμαι καὶ ἐγώ». Τί λοιπόν; δὲν ὑπάρχουν δύο ἢ τρεῖς συγκεντρωμένοι εἰς τὸ ὄνομά του; Ὑπάρχουν μέν, ἀλλὰ σπανίως. Διότι δὲν ἐννοεῖ ἁπλῶς τὴν συγκέντρωσιν, οὔτε αὐτὸ μόνον ἐπιζητεῖ, ἀλλά, ὅπως καὶ προηγουμένως εἶπα, μαζὶ μὲ αὐτὸ θέλει κατ' ἐξοχὴν καὶ τὴν ἄλλην ἀρετήν· ἔπειτα

ἄλλην ἀρετὴν μετὰ τούτου· ἔπειτα δὲ καὶ τοῦτο αὐτὸ μετὰ πολλῆς ἀπαιτεῖ τῆς ἀκριβείας. Ὃ γὰρ λέγει, τοιοῦτόν ἐστιν· εἴ τις ἐμὲ τῆς πρὸς τὸν πλησίον φιλίας ὑπόθεσιν προηγουμένην ἔχει, μετ' αὐτοῦ ἔσομαι, ἂν καὶ τὰ ἄλλα ἐνάρετος ᾖ. Νυνὶ δὲ τοὺς πλείονας ὁρῶμεν ἑτέρας ἔχοντας φιλίας ἀφορμάς. Ὁ μὲν γὰρ ὅτι φιλεῖται, φιλεῖ· ὁ δέ, ὅτι ἐτιμήθη· ὁ δέ, ὅτι ἐν ἑτέρῳ τινὶ βιωτικῷ πράγματι γέγονεν αὐτῷ χρήσιμος ὁ δεῖνα· ὁ δέ, δι' ἕτερόν τι τοιοῦτον· διὰ δὲ τὸν Χριστὸν δύσκολόν ἐστιν εὑρεῖν τινα γνησίως καὶ ὡς ἐχρῆν φιλεῖν τὸν πλησίον φιλοῦντα. Οἱ γὰρ πλείους ἀπὸ τῶν βιωτικῶν εἰσι συνδεδεμένοι πραγμάτων ἀλλήλοις.

Ἀλλ' οὐχ ὁ Παῦλος οὕτως ἐφίλει, ἀλλὰ διὰ τὸν Χριστόν· διὸ καὶ μὴ φιλούμενος οὕτως ὥσπερ ἐφίλει, οὐ κατέλυσε τὴν ἀγάπην, ἐπειδὴ ῥίζαν ἰσχυρὰν κατεβάλετο τοῦ φίλτρου. Ἀλλ' οὐχὶ τὰ νῦν· ἀλλὰ πάντα ἐξετάζοντες εὑρήσομεν παρὰ τοῖς πολλοῖς φιλίας ποιητικὰ μᾶλλον ἢ τοῦτο. Καὶ εἴ τις μοι παρέσχεν ἐξουσίαν ἐν τοσούτῳ πλήθει τὴν ἐξέτασιν ποιήσασθαι ταύτην, ἔδειξα ἂν τοὺς πλείονας ἀπὸ τῶν βιωτικῶν προφάσεων ἀλλήλοις συνδεδεμένους. Καὶ δῆλον τοῦτο ἀπὸ τῶν αἰτιῶν τῶν τὴν ἔχθραν ἐργαζομένων. Ἐπειδὴ γὰρ ἀπὸ τῶν ἐπικήρων τούτων εἰσὶν ἀλλήλοις συνημμένοι, διὰ τοῦτο οὔτε θερμοὶ πρὸς ἀλλήλους εἰσίν, οὔτε διηνεκεῖς· ἀλλὰ καὶ ὕβρις, καὶ χρημάτων ζημία, καὶ φθόνος, καὶ κενοδοξίας ἔρως, καὶ πᾶν τοιοῦτον ἐπελθὸν διακόπτει τὸ φίλτρον· οὐ γὰρ εὑρίσκει τὴν ῥίζαν πνευματικήν. Ὡς εἶγε τοιαύτη ἦν, οὐδὲν ἂν τῶν βιωτικῶν τὰ πνευματικὰ διέλυσεν. Ἡ γὰρ διὰ τὸν Χριστὸν ἀγάπη βεβαία καὶ ἀραγὴς καὶ ἀνά-

δὲ καὶ αὐτὴν τὴν ἰδίαν τὴν συγκέντρωσιν ἀπαιτεῖ νὰ γίνεται μὲ κάθε προσοχήν. Διότι τὰ λόγια του αὐτὰ ἔχουν τὴν ἐξῆς σημασίαν. Ἐὰν κάποιος θέτῃ ἐμένα ὡς προϋπόθεσιν τῆς φιλίας του πρὸς τὸν πλησίον, θὰ εὑρίσκομαι μαζί του ἐὰν εἶναι ἐνάρετος καὶ πρὸς τὰ ἄλλα. Σήμερα ὅμως βλέπομεν τοὺς περισσοτέρους νὰ ἔχουν ἄλλας ἀφορμὰς φιλίας. Ὁ μὲν ἕνας ἀγαπᾷ, ἐπειδὴ ἀγαπᾶται· ὁ ἄλλος δὲ ἐπειδὴ ἐτιμήθη· ὁ ἄλλος, ἐπειδὴ κάποιος τὸν ἐβοήθησεν εἰς κάποιαν κοσμικὴν ὑπόθεσίν του· ὁ ἄλλος, διὰ κάποιαν ἄλλην παρομοίαν αἰτίαν· ἀλλὰ διὰ νὰ εὕρωμεν κάποιον νὰ ἀγαπᾷ τὸν πλησίον του ἀληθινὰ ἐξ ὀνόματος τοῦ Χριστοῦ καὶ ὅπως πρέπει, εἶναι δύσκολον. Διότι οἱ περισσότεροι συνάπτουν τὰς μεταξύ των φιλίας ἀπὸ κοσμικὰς ἀφορμάς.

Ὁ Παῦλος ὅμως δὲν ἀγαποῦσεν ἔτσι, ἀλλὰ διὰ τὸν Χριστόν· διὰ τοῦτο ἂν καὶ δὲν ἠγαπᾶτο τόσον ὅσον ἀγαποῦσε, δὲν διέλυσε τὴν ἀγάπην, ἐπειδὴ ἡ ἀγάπη του εἶχε πολὺ ἰσχυρὰν ρίζαν. Σήμερα ὅμως δὲν συμβαίνει τὸ ἴδιο, ἀλλ' ἐὰν ἐξετάσωμεν τὰ πράγματα, θὰ εὕρωμεν ὅτι τὰς περισσοτέρας φορὰς συνδέονται οἱ ἄνθρωποι μὲ ἀφορμὴν τὴν φιλίαν καὶ ὄχι αὐτὴν τὴν ἀγάπην. Καὶ ἐὰν κάποιος μοῦ παρεῖχεν αὐτὴν τὴν δυνατότητα νὰ κάνω αὐτὴν τὴν ἐξέτασιν εἰς ἕνα τόσον μεγάλο πλῆθος, θὰ ἦτο δυνατὸν ν' ἀποδείξω, ὅτι οἱ περισσότεροι εἶναι συνδεδεμένοι μεταξύ των ἐξ ἀφορμῆς κοσμικῶν ὑποθέσεων. Καὶ αὐτὸ ἀποδεικνύεται ἀπὸ τὰς αἰτίας ποὺ δημιουργοῦν τὴν ἔχθραν. Ἐπειδὴ δηλαδὴ εἶναι συνδεδεμένοι μεταξύ των ἐξ αἰτίας αὐτῶν τῶν ἀσημάντων ἀφορμῶν, διὰ τοῦτο ἡ σύνδεσίς των αὐτὴ δὲν εἶναι θερμὴ οὔτε καὶ συνεχής, ἀλλὰ μόλις παρουσιασθῇ κάποια προσβολή, χρηματικὴ ζημία, φθόνος, ματαιόδοξος ἔρως, καὶ κάθε τι τὸ παρόμοιον, διακόπτει τὴν ἀγάπην· διότι δὲν εὑρίσκει πνευματικὴν ρίζαν. Καθ' ὅσον, ἐὰν ὑπῆρχεν αὐτῇ ἡ πνευματικὴ ρίζα, δὲν θὰ ἦτο δυνατὸν κανένα ἀπὸ τὰ κοσμικὰ πράγματα νὰ διαλύσῃ τὰ πνευματικά. Διότι ἡ ἀγάπη ποὺ ἔχει ὡς αἰτίαν τὸν Χριστὸν εἶναι σταθερά, ἀδιάσπαστος καὶ

λωτος, καὶ οὐδὲν αὐτὴν διασπάσαι δυνήσεται· οὐ διαβολαί, οὐ κίνδυνοι, οὐ θάνατος, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν. Κἂν γὰρ μυρία πάθῃ ὁ οὕτω φιλῶν, πρὸς τὴν ὑπόθεσιν τῆς ἀγάπης ὁρῶν οὐκ ἀποστήσεται. Ὁ μὲν γὰρ διὰ τὸ φιλεῖσθαι φιλῶν, κἂν ἀηδές τι πάθῃ, διαλύει τὴν ἀγάπην· ὁ δὲ ἐκεῖθεν συνδεδεμένος οὐδέποτε ἀποστήσεται. Διὸ καὶ Παῦλος ἔλεγεν· «ἡ ἀγάπη οὐδέποτε ἐκπίπτει».

Τί γὰρ ἔχεις εἰπεῖν; ὅτι τιμώμενος ὑβρίζει; ὅτι εὐεργετούμενος σφάξαι ἠβουλήθη; Ἀλλὰ καὶ τοῦτό σε μᾶλλον φιλεῖν παρασκευάζει, ἂν διὰ τὸν Χριστὸν φιλῇς. Ἃ γάρ ἐστιν ἐπὶ τῶν ἄλλων ἀναιρετικὰ ἀγάπης, ταῦτα ἐνταῦθα κατασκευαστικὰ γίνεται. Πῶς; Πρῶτον μέν, ὅτι σοι μισθῶν αἴτιος ὁ τοιοῦτός ἐστι· δεύτερον, ὅτι πλείονος δεῖται βοηθείας ὁ διακείμενος οὕτω, καὶ θεραπείας πολλῆς. Διά τοι τοῦτο ὁ οὕτω φιλῶν οὐ γένος ἐξειάζει, οὐ πατρίδα, οὐ πλοῦτον, οὐ τὴν πρὸς αὐτὸν ἀγάπην, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν· ἀλλὰ κἂν μισῆται, κἂν ὑβρίζηται, κἂν ἀναιρῆται, μένει φιλῶν, ἱκανὴν ἔχων ὑπόθεσιν τοῦ φιλεῖν, τὸν Χριστόν· ὅθεν καὶ ἵσταται πεπηγώς, βέβαιος, ἀπερίτρεπτος, πρὸς ἐκεῖνον ὁρῶν.

Καὶ γὰρ ὁ Χριστὸς οὕτως ἐφίλησε τοὺς ἐχθρούς, τοὺς ἀγνώμονας, τοὺς ὑβριστάς, τοὺς βλασφήμους, τοὺς μισοῦντας, τοὺς οὐδὲ ἰδεῖν αὐτὸν θέλοντας, τοὺς ξύλα καὶ λίθους

11. Α' Κορ. 13, 8.

ἄφθαρτος, καὶ τίποτε δὲν θὰ ἠμπορέσῃ νὰ τὴν καταλύσῃ· οὔτε συκοφαντίαι, οὔτε κίνδυνοι, οὔτε θνατος, οὔτε τίποτε ἄλλο παρόμοιον. Ἀλλὰ καὶ ἂν ἀκόμη, αὐτὸς ποὺ ἀγαπᾷ ἔτσι, πάθῃ ἀμέτρητα κακά, δὲν θὰ διαλύσῃ τὴν σύνδεσίν του αὐτήν, ἐπειδὴ στηρίζεται εἰς αὐτὴν τὴν βασικὴν προϋπόθεσιν τῆς ἀγάπης. Διότι ἐκεῖνος ποὺ ἀγαπᾷ ἐπειδὴ ἀγαπᾶται, καὶ ἂν ἀκόμη τοῦ συμβῇ κάτι τὸ δυσάρεστον, διαλύει τὴν ἀγάπην, ἐνῷ ἐκεῖνος ποὺ εἶναι συνδεδεμένος ἐξ αἰτίας ἐκείνης τῆς ἀγάπης τοῦ Χριστοῦ, ποτὲ δὲν θὰ διακόψῃ τὴν σύνδεσίν του. Διὰ τοῦτο καὶ ὁ Παῦλος ἔλεγεν· «Ἡ ἀγάπη οὐδέποτε καταλύεται»[11].

Τί ἔχεις νὰ εἰπῇς; ὅτι σὲ ὑβρίζει μολονότι σὺ τὸν τιμᾷς; τὸ ὅτι ἠθέλησε νὰ σὲ σφάξῃ, ἐνῷ σὺ τὸν εὐεργετεῖς; Ἀλλὰ καὶ αὐτὸ σοῦ γίνεται ἀφορμὴ νὰ τὸν ἀγαπᾷς περισσότερον, ἂν τὸν ἀγαπᾷς ἐν ὀνόματι τοῦ Χριστοῦ. Διότι ἐκεῖνα ποὺ γίνονται αἰτία διαλύσεως τῆς ἀγάπης διὰ τοὺς ἄλλους, αὐτὰ διὰ τοὺς χριστιανοὺς γίνονται αἰτία ἀγάπης. Πῶς; Πρῶτον μέν, ὅτι ὁ ἄνθρωπος αὐτὸς σοῦ γίνεται αἰτία μισθῶν· δεύτερον, ὅτι αὐτὸς ποὺ δείχνει τέτοιαν συμπεριφοράν, ἔχει ἀνάγκην ἀπὸ μεγαλυτέραν βοήθειαν καὶ περισσοτέραν εἰδικὴν φροντίδα. Διὰ τοῦτο λοιπὸν αὐτὸς ποὺ ἀγαπᾷ κατ' αὐτὸν τὸν τρόπον, δὲν ἐξετάζει γένος, οὔτε πατρίδα, οὔτε πλοῦτον, οὔτε τὴν ἀγάπην πρὸς αὐτόν, οὔτε τίποτε ἄλλο παρόμοιον, ἀλλὰ καὶ ἂν ἀκόμη μισῆται, καὶ ἂν ἀκόμη ὑβρίζεται, καὶ ἂν ἀκόμη φονεύεται, ἐξακολουθεῖ ν' ἀγαπᾷ, ἔχων ὡς ἰσχυρὸν στήριγμα τῆς ἀγάπης του τὸν Χριστόν· διὰ τοῦτο καὶ μένει ἀκλόνητος, σταθερός, ἀμετακίνητος, ἔχων ἐστραμμένην τὴν προσοχήν του πρὸς τὸν Χριστόν.

Διότι πράγματι ὁ Χριστὸς ἔτσι ἠγάπησε τοὺς ἐχθρούς του, τοὺς ἀγνώμονας, τοὺς ὑβριστάς, τοὺς βλασφήμους, αὐτοὺς ποὺ τὸν ἐμισοῦσαν, αὐτοὺς ποὺ δὲν ἤθελον οὔτε νὰ

προτιμῶντας αὐτοῦ ἀγαπήσας, καὶ ἀγάπην τὴν ἀνωτάτω, καὶ μεθ' ἣν ἑτέραν οὐκ ἔστιν εὑρεῖν. «Μείζονα γὰρ ταύτης ἀγάπην οὐδεὶς ἔχει», φησίν, «ἵνα τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ». Καὶ τοὺς σταυρώσαντας δὲ αὐτόν, καὶ τοσαῦτα εἰς αὐτὸν ἐμπαροινήσαντας, ὅρα πῶς μένει θεραπεύων. Καὶ γὰρ τῷ Πατρὶ περὶ αὐτῶν διαλέγεται λέγων· «ἄφες αὐτοῖς· οὐ γὰρ οἴδασι τί ποιοῦσι. Καὶ τοὺς μαθητὰς δὲ μετὰ ταῦτα πρὸς αὐτοὺς ἀπέστειλε.

Ταύτην τοίνυν καὶ ἡμεῖς τὴν ἀγάπην ζηλώσωμεν, πρὸς ταύτην ἀπίδωμεν, ἵνα μιμηταὶ γενόμενοι τοῦ Χριστοῦ, καὶ τῶν ἐνταῦθα καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

12. Ἰω. 15, 13.
13. Λουκᾶ 23, 34.

τὸν ἰδοῦν, αὐτοὺς ποὺ ἀντὶ αὐτοῦ ἐπροτιμοῦσαν τὰ ξύλα καὶ τοὺς λίθους· αὐτοὺς ὅλους τοὺς ἠγάπησε καὶ μάλιστα μὲ τὸν ὑψηλότερον τρόπον τῆς ἀγάπης, ὥστε νὰ μὴ εἶναι δυνατὸν νὰ εὑρεθῇ ἄλλη ἀγάπη μετὰ ἀπὸ αὐτήν. Διότι, λέγει, «Κανεὶς δὲν ἔχει μεγαλυτέραν ἀγάπην ἀπὸ αὐτήν, ὥστε νὰ θυσιάσῃ τὴν ψυχήν του ὑπὲρ τῶν φίλων του»[12]. Καὶ αὐτοὺς δὲ ποὺ τὸν ἐσταύρωσαν καὶ διέπραξαν τόσα παράλογα εἰς βάρος του, πρόσεχε πῶς ἐξακολουθεῖ νὰ ἐπιδεικνύῃ τὴν φροντίδα του. Καθ' ὅσον συνομιλεῖ μὲ τὸν Πατέρα του ὑπὲρ αὐτῶν, λέγων· «Συγχώρησέ τους· διότι δὲν γνωρίζουν τί κάνουν»[13]. Εἰς τὴν συνέχειαν δὲ καὶ τοὺς μαθητάς του ἀπέστειλε πρὸς αὐτούς.

Αὐτὴν λοιπὸν τὴν ἀγάπην ἂς ἐπιδιώξωμεν καὶ ἡμεῖς, πρὸς αὐτὴν ἂς στρέψωμεν τὰ βλέμματά μας, ὥστε γενόμενοι μιμηταὶ τοῦ Χριστοῦ, νὰ ἐπιτύχωμεν καὶ τὰ ἐπίγεια ἀγαθὰ καὶ τὰ μελλοντικά, μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει δόξα καὶ ἡ δύναμις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΞΑ΄

Ματθ. 18, 21 - 35

«Τότε προσελθὼν αὐτῷ ὁ Πέτρος εἶπε· Κύριε, ποσάκις ἁμαρτήσει εἰς ἐμὲ ὁ ἀδελφός μου, καὶ ἀφήσω αὐτῷ; ἕως ἑπτάκις; Λέγει αὐτῷ ὁ Ἰησοῦς, οὐ λέγω σοι ἕως ἑπτάκις, ἀλλ' ἕως ἑβδομηκοντάκις ἑπτά».

1. Ἐνόμισε μέγα τι λέγειν ὁ Πέτρος· διὸ καὶ ὡς φιλοτιμούμενος ἐπήγαγεν, «ἕως ἑπτάκις». Τοῦτο γάρ, φησίν, ὃ ἐκέλευσας ποιεῖν, ποσάκις ποιήσω; Ἂν γὰρ ἀεὶ μὲν ἁμαρτάνῃ, ἀεὶ δὲ ἐλεγχόμενος μετανοῇ, ποσάκις τούτου ἀνέχεσθαι κελεύεις ἡμᾶς; Ἐκείνῳ μὲν γὰρ τῷ μὴ μετανοοῦντι, μηδὲ καταγινώσκοντι ἑαυτοῦ, πέρας ἐπέθηκας εἰπών, «ἔστω σοι ὡς ὁ ἐθνικὸς καὶ ὁ τελώνης»· τούτῳ δὲ οὐκέτι, ἀλλ' ἐκέλευσας αὐτὸν προσίεσθαι. Ποσάκις οὖν αὐτὸν ὀφείλω φέρειν ἐλεγχόμενον καὶ μετανοοῦντα; ἀρκεῖ ἑπτάκις;

Τί οὖν ὁ Χριστός, ὁ φιλάνθρωπος καὶ ἀγαθὸς Θεός; «Οὐ λέγω σοι ἕως ἑπτάκις, ἀλλ' ἕως ἑβδομηκοντάκις ἑπτά»· οὐκ ἀριθμὸν τιθεὶς ἐνταῦθα, ἀλλὰ τὸ ἄπειρον καὶ διηνεκὲς καὶ ἀεί. Ὥσπερ γὰρ τὸ μυριάκις τὸ πολλάκις δηλοῖ, οὕτω καὶ ἐνταῦθα. Καὶ γάρ τό, «στεῖρα ἔτεκεν ἑπτά», τὸ πολλά φησιν ἡ Γραφή. Ὥστε οὐκ ἀριθμῷ συνέκλεισε τὴν ἄφεσιν, ἀλλὰ τὸ διηνεκὲς ἐδήλωσε καὶ ἀεί. Τοῦτο γοῦν καὶ διὰ τῆς παραβολῆς τῆς ἑφεξῆς κειμένης ἔδειξεν. Ἵνα γὰρ μὴ δόξῃ τισὶ μεγάλα καὶ φορτικὰ ἐπιτάττειν εἰπών, «ἑ-

---

1. Ματθ. 18, 17.
2. Α΄ Βασ. 2, 5.

ΟΜΙΛΙΑ ΞΑ΄
Ματθ. 18, 21 - 35

«Τότε τὸν ἐπλησίασεν ὁ Πέτρος καὶ τοῦ εἶπεν· Κύριε, πόσας φορὰς νὰ συγχωρήσω τὸν ἀδελφόν μου, ἐὰν ἐξακολουθῇ νὰ μὲ βλάπτῃ; μέχρι ἑπτὰ φοράς; Λέγει εἰς αὐτὸν ὁ Ἰησοῦς· Δὲν σοῦ λέγω μέχρι ἑπτὰ φοράς, ἀλλὰ μέχρι ἑβδομήντα φορὰς τὸ ἑπτά».

1. Ἐνόμισεν ὁ Πέτρος ὅτι λέγει κάτι τὸ σπουδαῖον, διὰ τοῦτο καὶ ὡσὰν μὲ κάποιαν γενναιοδωρίαν προσέθεσε, «μέχρι ἑπτὰ φοράς;». Αὐτὸ δηλαδή, λέγει, ποὺ ἐπρόσταξες νὰ πράττῃ κανείς, μέχρι πόσας φορὰς νὰ τὸ πράξω; Διότι ἐὰν πάντοτε ἁμαρτάνῃ, ἀλλὰ ἐλεγχόμενος μετανοῇ, μέχρι πόσας φορὰς μᾶς προστάσσεις νὰ τὸ ἀνεχώμεθα αὐτό; Διότι δι' ἐκεῖνον ποὺ δὲν μετανοεῖ, οὔτε ἀναγνωρίζει τὸ πταῖσμα του, ἔδωσες ὁριστικὴν προσταγὴν μὲ τοὺς λόγους, «Νὰ τὸν θεωρῇς ὡσὰν ἐθνικὸν καὶ τελώνην»[1]· δι' αὐτὸν ὅμως δὲν ἔδωσες ἀκόμη μίαν τέτοιαν ἐντολήν, ἀλλὰ ἐπρόσταξες νὰ τὸν πλησιάζωμεν. Πόσας φορὰς λοιπὸν ὀφείλω νὰ τὸν συγχωρῶ, ὅταν ἐλεγχόμενος μετανοῇ; Ἀρκοῦν ἑπτὰ φοραί;

Ποίαν ἀπάντησιν λοιπὸν δίδει ὁ Χριστός, ὁ φιλάνθρωπος καὶ ἀγαθὸς Θεός; «Δὲν σοῦ λέγω μέχρι ἑπτὰ φοράς, ἀλλὰ μέχρι ἑβδομήντα φορὰς τὸ ἑπτά»· εἰς τὴν περίπτωσιν αὐτὴν δὲν ὁρίζει κάποιον ἀριθμόν, ἀλλὰ ἐνοεῖ τὸ ἄπειρον, τὸ συνεχὲς καὶ τὸ παντοτινόν. Διότι ὅπως ἀκριβῶς τὸ μυριάκις σημαίνει πολλὰς φοράς, ἔτσι καὶ εἰς τὴν περίπτωσιν αὐτήν. Καθ' ὅσον καὶ μὲ τό, «ἡ στεῖρα ἐγέννησεν ἑπτὰ τέκνα»[2]. δηλώνει ἡ Γραφὴ τὸ πολλά. Ὥστε δὲν περιώρισε τὴν συγχώρησιν εἰς κάποιον ἀριθμόν, ἀλλὰ μὲ τὰ λόγια του αὐτὰ ἐδήλωσε τὸ διαρκὲς καὶ τὸ παντοτινόν. Αὐτὸ βέβαια τὸ ἀπέδειξε καὶ μὲ τὴν παραβολὴν ποὺ ἀνέφερεν εἰς τὴν συνέχειαν. Διὰ νὰ μὴ φανῇ δηλαδὴ εἰς ὡρισμένους ὅτι αἱ

ἑβδομηκοντάκις ἑπτά», προσέθηκε τὴν παραβολὴν ταύτην, ὑμοῦ τε ἐνάγων εἰς ὅπερ εἴρηκε, καὶ τὸν μέγα φρονοῦντα ἐπὶ τούτῳ κατατέλλων, καὶ δεικνὺς οὐ βαρὺ τὸ πρᾶγμα ὄν, ἀλλὰ καὶ σφόδρα εὔκολον.

Διά τοι τοῦτο τὴν αὐτοῦ φιλανθρωπίαν εἰς μέσον ἤγαγεν, ἵνα τῇ παραθέσει, φησί, μάθῃς, ὅτι κἂν ἑβδομηκοντάκις ἑπτὰ ἀφῇς, κἂν πάντα ἁπλῶς τὰ ἁμαρτήματα διηνεκῶς συγχωρῇς τῷ πλησίον, ὅσον σταγὼν ὕδατος πρὸς τὸ πέλαγος ἄπειρον, τοσοῦτον, μᾶλλον δὲ καὶ πολλῷ πλέον ἀποδέει σου ἡ φιλανθρωπία πρὸς τὴν ἄπειρον ἀγαθότητα τοῦ Θεοῦ, ἧς ἐν χρείᾳ καθέστηκας δικάζεσθαι μέλλων καὶ εὐθύνας παρέχειν. Διὸ καὶ ἐπήγαγε λέγων· «Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ βασιλεῖ, ὅστις ἠθέλησε συνᾶραι λόγον μετὰ τῶν δούλων αὐτοῦ. Ἀρξαμένου δὲ αὐτοῦ συναίρειν, προσηνέχθη αὐτῷ εἷς ὀφειλέτης μυρίων ταλάντων. Μὴ ἔχοντος δὲ αὐτοῦ ἀποδοῦναι, ἐκέλευσε πραθῆναι αὐτόν, καὶ τὴν γυναῖκα αὐτοῦ, καὶ τὰ τέκνα, καὶ πάντα ὅσα εἶχεν». Εἶτα ἐπειδὴ φιλανθρωπίας ἀπήλαυσεν οὗτος, ἐξελθὼν ὀφείλοντα αὐτῷ σύνδουλον ἑκατὸν δηνάρια ἔπνιγε· καὶ τούτοις κινήσας τὸν δεσπότην, παρεσκεύασεν εἰς δεσμωτήριον πάλιν αὐτὸν ἐμβαλεῖν, ἕως ἂν ἀποτίσῃ τὸ πᾶν.

Εἶδες ὅσον τὸ μέσον τῶν εἰς ἄνθρωπον καὶ εἰς Θεὸν ἁμαρτημάτων; Ὅσον τὸ μέσον μυρίων ταλάντων καὶ ἑκατὸν δηναρίων· μᾶλλον δὲ καὶ πολλῷ πλέον. Γίνεται δὲ τοῦ-

ἐντολαί του εἶναι δύσκολαι καὶ δυσβάστακται, ἀφοῦ εἶπεν, «ἑβδομήντα ἑπτὰ φορὰς τὸ ἑπτά», προσέθεσεν αὐτὴν τὴν παραβολήν, καὶ διὰ νὰ μᾶς προτρέψῃ πρὸς αὐτὸ ποὺ εἶπε προηγουμένως, καὶ διὰ νὰ ταπεινώσῃ τὸν μεγαλοφρονοῦντα δι' αὐτό, καὶ διὰ νὰ δείξῃ ὅτι ἡ ἐντολή του δὲν εἶναι βαρεῖα, ἀντιθέτως μάλιστα ὅτι εἶναι πολὺ εὔκολος.

Διὰ τοῦτο λοιπὸν παρουσίασε τὴν ἰδικήν του φιλανθρωπίαν, ὥστε, λέγει, μὲ τὴν ἀντιπαραβολὴν αὐτῆς νὰ μάθῃς, ὅτι καὶ ἂν ἀκόμη συγχωρήσῃς τὸν πλησίον σου ἑβδομήντα φορὰς τὸ ἑπτά, καὶ ἂν ἀκόμη συγχωρῇς πάντοτε ὅλα γενικῶς τὰ ἁμαρτήματά του, ὅσον ὑπολείπεται ἡ σταγὼν ὕδατος ἀπὸ τὸ ἄπειρον πέλαγος, τόσον πολύ, μᾶλλον δὲ καὶ κατὰ πολὺ περισσότερον ὑπολείπεται ἡ ἰδική σου φιλανθρωπία ἐν συγκρίσει πρὸς τὴν ἄπειρον ἀγαθότητα τοῦ Θεοῦ, τὴν ὁποίαν ἔχεις ἀνάγκην, καθ' ὅσον πρόκειται νὰ δικασθῇς καὶ ν' ἀπολογηθῇς δι' ὅσα ἔπραξες. Διὰ τοῦτο καὶ προσέθεσε τὰ ἑξῆς· «Ὡμοιάζει ἡ βασιλεία τῶν οὐρανῶν μὲ ἄνθρωπον βασιλέα, ὁ ὁποῖος ἠθέλησε νὰ ξεκαθαρίσῃ τοὺς λογαριασμούς του μὲ τοὺς δούλους του. Ὅταν δὲ ἤρχισε τὸ ξεκαθάρισμα τῶν λογαριασμῶν, ὠδηγήθη ἐνώπιόν του κάποιος ποὺ ἴσῃ ὤφειλε δέκα χιλιάδας τάλαντα. Ἐπειδὴ δὲ δὲν εἶχε νὰ τὰ πληρώσῃ, διέταξε ὁ βασιλεὺς νὰ πωληθῇ αὐτὸς ὁ ἴδιος, ἡ γυναῖκα του, τὰ παιδιά του καὶ ὅλα ὅσα εἶχεν». Εἰς τὴν συνέχειαν ἐπειδὴ ὁ δοῦλος αὐτὸς ἔτυχε φιλανθρωπίας, ἀφοῦ ἔφυγεν ἀπὸ τὸν βασιλέα, κατεπίεζε κάποιον σύνδουλόν του, ποὺ τοῦ ὤφειλεν ἑκατὸν δηνάρια. Ἡ ἐνέργειά του αὐτὴ παρώργισε τὸν κύριόν του καὶ τὸν ἔκανε νὰ τὸν κλείσῃ καὶ πάλιν εἰς τὴν φυλακήν, μέχρι ποὺ νὰ ἐξοφλίσῃ ὅλο τὸ χρέος του.

Εἶδες πόση διαφορὰ ὑπάρχει μεταξὺ τῶν ἁμαρτημάτων ποὺ γίνονται πρὸς τὸν ἄνθρωπον καὶ πρὸς τὸν Θεόν; Ὅση διαφορὰ ὑπάρχει μεταξὺ τῶν δέκα χιλιάδων ταλάντων καὶ τῶν ἑκατὸν δηναρίων· μᾶλλον δὲ καὶ κατὰ πολὺ μεγαλυτέρα. Συμβαίνει δὲ αὐτὸ καὶ ἐξ αἰτίας τῆς διαφορᾶς ποὺ ὑ-

το καὶ ἀπὸ τῆς διαφορᾶς τῶν προσώπων, καὶ ἀπὸ τῆς συνεχείας τῶν ἁμαρτημάτων. Ἀνθρώπου μὲν γὰρ ὁρῶντος, καὶ ἀφιστάμεθα, καὶ ὀκνοῦμεν ἁμαρτάνειν Θεοῦ δὲ καθ' ἑκάστην βλέποντος τὴν ἡμέραν, οὐκ ἀπεχόμεθα, ἀλλὰ καὶ πράττομεν ἀδεῶς ἅπαντα, καὶ φθεγγόμεθα. Οὐκ ἐντεῦθεν δὲ μόνον, ἀλλὰ καὶ ἀπὸ τῆς εὐεργεσίας, καὶ ἀπὸ τῆς τιμῆς ἧς ἀπηλαύσαμεν, χαλεπώτερα γίνεται τὰ ἁμαρτήματα.

«Καὶ εἰ βούλεσθε μαθεῖν, πῶς ἐστι μυρία τάλαντα, μᾶλλον δὲ καὶ πολλῷ πλείονα τὰ εἰς αὐτὸν ἁμαρτήματα, δεῖξαι πειράσομαι διὰ βραχέων. Ἀλλὰ φοβοῦμαι μὴ τοῖς πρὸς κακίαν ῥέπουσι καὶ διηνεκῶς ἁμαρτάνειν φιλοῦσι πλείονα παράσχω τὴν ἄδειαν, ἢ τοὺς ἐπιεικεστέρους εἰς ἀπόγνωσιν ἐμβάλω, καὶ τὸ τῶν μαθητῶν εἴπωσι· τίς δύναται σωθῆναι;». Πλὴν ἀλλὰ καὶ οὕτως ἐρῶ, ἵνα τοὺς προσέχοντας ἀσφαλεστέρους ἐργάσωμαι καὶ ἐπιεικεστέρους. Οἵ τε γὰρ ἀνίατα νοσοῦντες καὶ ἀνάλγητοι, καὶ τούτων χωρὶς τῶν λόγων, οὐκ ἀφίστανται τῆς οἰκείας ῥαθυμίας τε καὶ πονηρίας· εἰ δὲ καὶ ἐντεῦθεν πλείονα λαμβάνοιεν ἀφορμὴν ὀλιγωρίας, οὐ τῶν λεγομένων ἡ αἰτία, ἀλλὰ τῆς ἐκείνων ἀναισθησίας· ὡς τά γε λεγόμενα καὶ συστεῖλαι δυνήσεται καὶ κατανύξαι τοὺς προσέχοντας μᾶλλον· οἵ τε ἐπιεικέστεροι, ὅταν ἴδωσι μὲν τὸν ὄγκον τῶν ἁμαρτημάτων, μάθωσι δὲ καὶ τὴν δύναμιν τῆς μετανοίας, μᾶλλον αὐτῆς ἀνθέξονται· διόπερ ἀναγκαῖον εἰπεῖν. Ἐρῶ τοίνυν καὶ θήσω τὰ ἁμαρτήματα, ὅσα τε εἰς Θεὸν πλημμελοῦμεν καὶ ὅσα εἰς ἀνθρώπους· καὶ θήσω

3. Μάρκ. 10, 26.

πάρχει μεταξὺ τῶν προσώπων, ἀπέναντι τῶν ὁποίων ἁμαρτάνομεν, καὶ ἐξ αἰτίας τῆς συνεχείας τῶν ἁμαρτημάτων. Διότι ὅταν μᾶς βλέπῃ κάποιος ἄνθρωπος ἀποφεύγομεν καὶ διστάζομεν ν' ἁμαρτάνωμεν, μολονότι ὅμως ὁ Θεὸς μᾶς βλέπει καθημερινῶς, δὲν τὴν ἀποφεύγομεν τὴν ἁμαρτίαν, ἀντιθέτως μάλιστα καὶ πράττομεν καὶ λέγομεν τὰ πάντα χωρὶς κανένα φόβον. Καὶ ὄχι μόνον ἐξ αἰτίας αὐτοῦ γίνονται φοβερώτερα τὰ ἁμαρτήματά μας πρὸς τὸν Θεόν, ἀλλὰ καὶ ἐξ αἰτίας τῆς εὐεργεσίας καὶ τῆς τιμῆς ποὺ ἀπηλαύσαμεν ἐκ μέρους αὐτοῦ.

Καὶ ἐὰν θέλετε νὰ μάθετε πῶς ἰσοδυναμοῦν τὰ πρὸς τὸν Θεὸν ἁμαρτήματα μὲ δέκα χιλιάδας τάλαντα, μᾶλλον δὲ καὶ μὲ πολὺ περισσότερα, θὰ προσπαθήσω ἐν συντομίᾳ νὰ σᾶς τὸ ἀποδείξω. Φοβοῦμαι ὅμως μήπως αὐξήσω τὴν ἀφοβίαν ἐκείνων ποὺ ρέπουν πρὸς τὴν κακίαν καὶ ἀγαποῦν ν' ἁμαρτάνουν συνεχῶς, ἢ μήπως ὁδηγήσω εἰς ἀπελπισίαν τοὺς ἀγαθοτέρους καὶ εἰποῦν τὰ λόγια τῶν μαθητῶν· «Ποῖος ἠμπορεῖ νὰ σωθῇ;»[3]. Παρ' ὅλα ταῦτα ὅμως θὰ ὁμιλήσω, διὰ νὰ κάνω αὐτοὺς ποὺ προσέχουν περισσότερον ἀσφαλεῖς καὶ περισσότερον ἐναρέτους. Διότι αὐτοὶ ποὺ πάσχουν ἀπὸ ἀθεράπευτον ἀσθένειαν καὶ εἶναι ἀναίσθετοι, καὶ χωρὶς αὐτοὺς τοὺς λόγους δὲν ἀπομακρύνονται ἀπὸ τὴν ραθυμίαν των καὶ τὴν πονηρίαν των, ἐὰν δὲ συμβῇ ἐξ αἰτίας αὐτῶν τῶν λόγων νὰ λάβουν ἀφορμὴν πρὸς αὔξησιν τῆς ἀδιαφορίας των, δὲν εἶναι αἰτία οἱ λόγοι μου, ἀλλ' ἡ ἀναισθησία ἐκείνων· καθ' ὅσον βέβαια τὰ λόγια μου ἔχουν τὴν δύναμιν καὶ νὰ περιορίσουν τὸ κακὸν καὶ νὰ ὁδηγήσουν εἰς μεγαλυτέραν συντριβὴν καρδίας ἐκείνους ποὺ προσέχουν. Καὶ οἱ ἀγαθότεροι, ὅταν ἰδοῦν τὸν ὄγκον τῶν ἁμαρτημάτων καὶ μάθουν τὴν δύναμιν τῆς μετανοίας, θὰ δώσουν μεγαλυτέραν προσοχὴν εἰς αὐτήν. Διὰ τοῦτο λοιπὸν εἶναι ἀνάγκη νὰ τὰ εἰπῶ. Θὰ ὁμιλήσω λοιπὸν καὶ θὰ ἐκθέσω τὰ ἁμαρτήματα ποὺ διαπράττομεν πρὸς τὸν Θεὸν καὶ πρὸς τοὺς ἀνθρώπους· καὶ θὰ ἐκθέσω ὄχι τὰ ἰδιαίτερα ἁμαρτήματα, ἀλλὰ τὰ κοινά·

οὐ τὰ ἴδια, ἀλλὰ τὰ κοινά· τὰ δὲ ἴδια ἕκαστος συναπιέτω λοιπὸν ἀπὸ τοῦ συνειδότος. Ποιήσω δὲ τοῦτο, πρότερον τὰς εὐεργεσίας θεὶς τοῦ Θεοῦ.

Τίνες οὖν αἱ εὐεργεσίαι; Ἐποίησεν ἡμᾶς οὐκ ὄντας, καὶ πάντα δι' ἡμᾶς εἰργάσατο τὰ ὁρώμενα, οὐρανόν, θάλατταν, γῆν, ἀέρα, τὰ ἐν αὐτοῖς πάντα, ζῶα, φυτά, σπέρματα· δεῖ γὰρ ἐπιτεμεῖν διὰ τὸ πέλαγος τῶν ἔργων τὸ ἄπειρον. Ψυχὴν ζῶσαν ἡμῖν ἐνέπνευσε μόνοις τοιαύτην τῶν ἐπὶ γῆς, παράδεισον ἐφύτευσε, βοηθὸν ἔδωκε, πᾶσι τοῖς ἀλόγοις ἐπέστησε, δόξῃ καὶ τιμῇ ἐστεφάνωσε. Μετὰ ταῦτα γενόμενον ἀγνώμονα περὶ τὸν εὐεργέτην μείζονος ἠξίωσε δωρεᾶς.

2. Μὴ γὰρ τοῦτο ἴδῃς μόνον, ὅτι ἐξέβαλε παραδείσου, ἀλλὰ καὶ τὸ κέρδος σκόπει τὸ ἐκ τούτου γενόμενον. Μετὰ γὰρ τὸ ἐκβαλεῖν παραδείσου, καὶ τὰ μυρία ἐκεῖνα ἐργάσασθαι ἀγαθά, καὶ τὰς ποικίλας οἰκονομίας ἐπιτελέσαι, καὶ τὸν Υἱὸν ἔπεμψε τὸν ἑαυτοῦ ὑπὲρ τῶν εὐεργετηθέντων καὶ μισούντων, καὶ τὸν οὐρανὸν ἡμῖν ἀνέῳξε, καὶ τὸν παράδεισον αὐτὸν ἀνεπέτασε, καὶ υἱοὺς ἡμᾶς ἐποίησε, τοὺς ἐχθρούς, τοὺς ἀγνώμονας. Διὸ καὶ εὔκαιρον νῦν εἰπεῖν· «ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ». Ἔδωκε δὲ ἡμῖν καὶ βάπτισμα ἀφέσεως ἁμαρτημάτων, καὶ τιμωρίας ἀπαλλαγήν, καὶ βασιλείας κληρονομίαν, καὶ μυρία ἐπηγγείλατο κατορθοῦσιν ἀγαθά, καὶ χεῖρα ὤρεξε, καὶ Πνεῦμα ἐξέχεεν εἰς τὰς καρδίας ἡμῶν.

Τί οὖν; μετὰ τοσαῦτα καὶ τηλικαῦτα ἀγαθά, πῶς ἡμᾶς διακεῖσθαι ἐχρῆν; ἆρα εἰ καὶ καθ' ἑκάστην ἀπεθνήσκομεν τὴν ἡμέραν ὑπὲρ τοῦ οὕτως ἡμᾶς φιλοῦντος, ἐξειπεῖν ἂν

4. Ρωμ. 11, 33.

τὰ δὲ ἰδιαίτερα ἂς τὰ προσθέτῃ ὁ καθένας μόνος του ἐξετάζων τὴν συνείδησίν του. Θὰ τὸ κάνω δὲ αὐτό, ἀφοῦ πρῶτα ἐκθέσω τὰς εὐεργεσίας τοῦ Θεοῦ.

Ποῖαι λοιπὸν εἶναι αἱ εὐεργεσίαι τοῦ Θεοῦ; Μᾶς ἐδημιούργησεν ἀπὸ τὸ μηδέν, καὶ ἔκαμεν ὅλα ὅσα βλέπομεν δι' ἡμᾶς, τὸν οὐρανόν, τὴν θάλασσαν, τὴν γῆν, τὸν ἀέρα, τὰ ὅσα ὑπάρχουν μέσα εἰς αὐτά, τὰ ζῶα, τὰ φυτά, τὰ σπέρματα· ὅμως πρέπει νὰ συντομεύσω ἐξ αἰτίας τοῦ ἀπείρου ἀριθμοῦ τῶν ἔργων. Ἀπὸ ὅλα τὰ ὄντα τῆς γῆς μόνον εἰς ἡμᾶς ἐνέπνευσε τοιαύτην ζωντανὴν ψυχήν, ἐφύτευσε παράδεισον, μᾶς ἔδωσε βοηθόν, μᾶς ἔκανε κυριάρχους ὅλων τῶν ἀλόγων ὄντων, καὶ μᾶς ἐστεφάνωσε μὲ δόξαν καὶ τιμήν. Μετὰ ἀπὸ ὅλα αὐτά, ὅταν ὁ ἄνθρωπος ἐπέδειξεν ἀχαριστίαν πρὸς τὸν εὐεργέτην, τὸν ἠξίωσε μεγαλυτέρας δωρεᾶς.

2. Δὲν πρέπει βέβαια νὰ προσέξῃς μόνον τὸ ὅτι τὸν ἐξεδίωξεν ἀπὸ τὸν παράδεισον, ἀλλὰ πρόσεχε καὶ τὸ κέρδος ποὺ προῆλθεν ἀπὸ αὐτὴν τὴν ἐνέργειάν του. Διότι μετὰ τὴν ἐκδίωξιν ἀπὸ τὸν παράδεισον, καὶ ἀφοῦ μᾶς ἐχάρισε τὰ ἄπειρα ἐκεῖνα ἀγαθὰ καὶ ἔθεσεν εἰς ἐφαρμογὴν τὰ διάφορα σχέδια τῆς οἰκονομίας του, ἔστειλε καὶ τὸν Υἱόν του πρὸς ἐκείνους ποὺ ηὐεργέτησε καὶ ἐμισήθη, μᾶς ἤνοιξε τὸν οὐρανόν, καὶ τὸν παράδεισον τὸν ἴδιον ἥπλωσεν ἐμπρός μας, καὶ ἔκαμεν υἱούς του ἡμᾶς, τοὺς ἐχθρούς, τοὺς ἀχαρίστους. Διὰ τοῦτο καὶ τώρα εἶναι κατάλληλη στιγμὴ νὰ ἐκφωνήσωμεν· «Ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ»[4]. Μᾶς ἔδωσε δὲ καὶ τὸ βάπτισμα πρὸς ἄφεσιν τῶν ἁμαρτιῶν καὶ ἀπαλλαγὴν ἀπὸ τὴν τιμωρίαν καὶ τὴν κληρονομίαν τῆς βασιλείας, καὶ ὑπεσχέθη ἀμέτρητα ἀγαθὰ εἰς ὅσους θὰ ἔπραττον τὰς ἐντολάς του, καὶ ἥπλωσε χεῖρα βοηθείας, καὶ ἐχάρισε τὸ Πνεῦμα τὸ ἅγιον εἰς τὰς καρδίας μας.

Τί λοιπόν; ποία ἔπρεπε νὰ εἶναι ἡ διαγωγή μας μετὰ ἀπὸ τόσα πολλὰ καὶ τόσον μεγάλα ἀγαθά; Ἄρα γε ἐὰν καθημερινῶς ἀπεθνήσκομεν πρὸς χάριν ἐκείνου ποὺ τόσον πολὺ μᾶς ἀγαπᾷ, θὰ ἦτο δυνατὸν νὰ πληρώσωμεν τὴν ἀξίαν

τὴν ἀξίαν, μᾶλλον δὲ τὸ πολλοστὸν τῆς ὀφειλῆς κατετίθεμεν; Οὐδαμῶς· καὶ γὰρ καὶ τοῦτο πάλιν εἰς τὸ κέρδος τὸ ἡμέτερον περιΐσταιο. Πῶς οὖν διακείμεθα οἱ οὕτω διακεῖσθαι ὀφείλοντες; Καθ' ἑκάστην ἡμέραν εἰς τοὺς νόμους ἐνυβρίζομεν τοὺς αὐτοῦ. Ἀλλὰ μὴ ἀγανακτήσητε, ἂν ἐπαφῶ τὴν γλῶτταν τοῖς ἁμαρτάνουσιν· οὐ γὰρ ὑμῶν κατηγορήσω μόνον, ἀλλὰ καὶ ἐμαυτοῦ.

Πόθεν οὖν βούλεσθε ἄρξομαι; ἀπὸ τῶν δούλων; ἀπὸ τῶν ἐλευθέρων; ἀπὸ τῶν στρατευομένων; ἀπὸ τῶν ἰδιωτῶν; ἀπὸ τῶν ἀρχόντων; ἀπὸ τῶν ἀρχομένων; ἀπὸ τῶν γυναικῶν; ἀπὸ τῶν ἀνδρῶν; ἀπὸ τῶν γερόντων; ἀπὸ τῶν νέων; ἀπὸ ποίας ἡλικίας; ἀπὸ ποίου γένους; ἀπὸ ποίου ἀξιώματος; ἀπὸ ποίου ἐπιτηδεύματος; Βούλεσθε ἀπὸ τῶν στρατευομένων ποιήσομαι τὴν ἀρχήν; Τί τοίνυν οὐχ ἁμαρτάνουσιν οὗτοι, καθ' ἑκάστην ἡμέραν ὑβρίζοντες, λοιδορούμενοι, μαινόμενοι, τὰς ἀλλοτρίας πραγματευόμενοι συμφοράς, λύκοις ἐοικότες, πλημμελημάτων οὐδέποτε καθαρεύοντες, πλὴν εἰ μὴ καὶ τὴν θάλατταν εἴποι τις κυμάτων εἶναι ἐκτός; Ποῖον γὰρ αὐτοῖς πάθος οὐκ ἐνοχλεῖ; ποῖον δὲ νόσημα οὐ πολιορκεῖ αὐτῶν τὴν ψυχήν; Πρὸς μὲν γὰρ τοὺς ὁμοτίμους ζηλοτύπως διάκεινται, καὶ φθονοῦσι καὶ κενοδοξοῦσι· πρὸς δὲ τοὺς ὑποτεταγμένους, πλεονεκτικῶς· πρὸς δὲ τοὺς δίκας ἔχοντας, καὶ ὡς εἰς λιμένα καταιρέχοντας, πολεμίως καὶ ἐπιόρκως. Πόσαι παρ' αὐτοῖς ἁρπαγαί· πόσαι πλεονεξίαι· πόσαι συκοφαντίαι καὶ καπηλεῖαι· πόσαι κολακεῖαι δουλοπρεπεῖς. Φέρε οὖν, καθ' ἕκαστον ἁρμόσωμεν τὸν τοῦ Χριστοῦ νόμον.

«Ὁ εἰπὼν τῷ ἀδελφῷ αὐτοῦ, μωρέ, ἔνοχος ἔσται τῇ γεέννῃ τοῦ πυρός». «Ὁ ἐμβλέψας γυναικὶ πρὸς τὸ ἐπιθυ-

5. Ματθ. 5, 22.

αὐτῶν τῶν ἀγαθῶν, ἢ καλύτερα θὰ ἐξωφλούσαμεν ἔστω καὶ τὸ ἐλάχιστον τῆς ὀφειλῆς μας; Ἀσφαλῶς ὄχι, καθ' ὅσον καὶ αὐτὸ θὰ κατέληγεν εἰς τὴν ἰδικήν μας καὶ πάλιν ὠφέλειαν. Ποίαν διαγωγὴν λοιπὸν ἐπιδεικνύομεν ἡμεῖς, οἱ ὁποῖοι ὀφείλομεν νὰ συμπεριεφερόμεθα κατ' αὐτὸν τὸν τρόπον; Καθημερινῶς ἐπιδεικνύομεν ἀσέβειαν πρὸς τοὺς νόμους του. Μὴ ἀγανακτήσετε ὅμως, ἐὰν στρέψω τὴν γλῶσσαν μου πρὸς τοὺς ἁμαρτάνοντας· διότι δὲν θὰ κατηγορήσω μόνον ἐσᾶς ἀλλὰ καὶ τὸν ἑαυτόν μου.

Ἀπὸ ποῦ λοιπὸν θέλετε ν' ἀρχίσω; ἀπὸ τοὺς δούλους; ἀπὸ τοὺς ἐλευθέρους; ἀπὸ τοὺς στρατιωτικούς; ἀπὸ τοὺς ἰδιώτας; ἀπὸ τοὺς ἄρχοντας; ἀπὸ τοὺς ἀρχομένους; ἀπὸ τὰς γυναῖκας; ἀπὸ τοὺς ἄνδρας; ἀπὸ τοὺς γέροντας; ἀπὸ τοὺς νέους; ἀπὸ ποίαν ἡλικίαν; ἀπὸ ποῖον γένος; ἀπὸ ποῖον ἀξίωμα; ἀπὸ ποῖον ἐπάγγελμα; Θέλετε ν' ἀρχίσω ἀπὸ τοὺς στρατιωτικούς; Ποία ἁμαρτία ὑπάρχει ποὺ δὲν τὴν κάνουν αὐτοί, οἱ ὁποῖοι καθημερινῶς ὑβρίζουν, κοροϊδεύουν, φέρονται ὡσὰν μανιακοί, οἱ ὁποῖοι προξενοῦν τὰς συμφορὰς τῶν ἀλλων, ποὺ ὁμοιάζουν μὲ λύκους, ποὺ οὐδέποτε εἶναι καθαροὶ ἀπὸ ἁμαρτήματα, παρὰ μόνον ἐὰν ἦτο δυνατὸν νὰ εἰπῇ κανεὶς ὅτι καὶ ἡ θάλασσα εἶναι χωρὶς κύματα; Πράγματι ποῖον πάθος δὲν τοὺς ἐνοχλεῖ; ποῖον δὲ νόσημα δὲν πολιορκεῖ τὴν ψυχήν των; Διότι πρὸς μὲν τοὺς ἰσοτίμους των ἐπιδεικνύουν ζήλειαν, φθόνον καὶ κενοδοξίαν, πρὸς δὲ τοὺς κατωτέρους των συμπεριφέρονται κατὰ τρόπον ἀλαζονικόν· πρὸς ἐκείνους πάλιν ποὺ ἔχουν δικαστικὰς διαφορὰς καὶ προσφεύγουν πρὸς αὐτούς, ὡσὰν εἰς λιμένα, ἐπιδεικνύουν ἐχθρότητα καὶ παραβαίνουν τοὺς ὅρκους των. Πόσας ἁρπαγὰς δὲν διαπράττουν; πόσας πλεονεξίας; πόσας συκοφαντίας καὶ αἰσχροκερδείας; πόσας δουλοπρεπεῖς κολακείας; Ἐμπρὸς λοιπὸν ἂς ἐφαρμόσωμεν τὸν νόμον τοῦ Χριστοῦ εἰς τὸν καθένα.

«Ἐκεῖνος ποὺ θ' ἀποκαλέσῃ τὸν ἀδελφόν του, 'μωρέ', θὰ παραδοθῇ εἰς τὴν γέενναν τοῦ πυρός»[5]. «Αὐτὸς ποὺ βλέ-

μῆσαι, ἤδη ἐμοίχευσεν αὐτήν». «Ἐὰν μή τις ταπεινώσῃ ἑαυτὸν ὡς τὸ παιδίον, οὐ μὴ εἰσέλθῃ εἰς τὴν βασιλείαν τῶν οὐρανῶν». Οὗτοι δὲ καὶ ἐπιτηδεύουσι τῦφον, κατὰ τῶν ὑπηκόων καὶ παραδεδομένων καὶ τρεμόντων αὐτοὺς καὶ δεδοικότων, θηρίου γινόμενοι χαλεπώτεροι. Διὰ μὲν τὸν Χριστὸν οὐδὲν ποιοῦντες, πάντα δὲ διὰ τὴν γαστέρα, διὰ τὰ χρήματα, διὰ τὴν κενοδοξίαν. Ἆρα ἔνι ἀριθμῆσαι διὰ ρημάτων τὴν τῶν πραγμάτων πλημμέλειαν; Τί ἄν τις εἴποι τὰς χλευασίας αὐτῶν, τὸν γέλωτα, τὰς ἀκαίρους διαλέξεις, τὰς αἰσχρολογίας; Περὶ δὲ πλεονεξίας οὐδὲ εἰπεῖν ἔνι. Καθάπερ γὰρ οἱ ἐν τοῖς ὄρεσι μοναχοὶ οὐδὲ τί ποτέ ἐστιν ἡ πλεονεξία ἴσασιν, οὕτως οὐδὲ οὗτοι· ἀλλ' ἀπεναντίας ἐκείνοις. Ἐκεῖνοι μὲν γὰρ διὰ τὸ πόρρω τοῦ νοσήματος εἶναι ἀγνοοῦσι τὸ πάθος, οὗτοι δὲ διὰ τὸ σφόδρα ἐν αὐτῷ μεθύειν οὐδὲ αἰσθάνονται ὅσον ἐστὶ τὸ κακόν. Οὕτω γὰρ παρώσαιτο τὴν ἀρετὴν ἡ κακία αὕτη καὶ τυραννεῖ, ὡς μηδὲ ἔγκλημα βαρὺ εἶναι νομίζεσθαι αὐτὴν παρὰ τοῖς μαινομένοις ἐκείνοις.

Ἀλλὰ βούλεσθε τούτους ἀφέντες, ἐφ' ἑτέρους ἔλθωμεν ἐπιεικεστέρους; Φέρε οὖν, τὸ τῶν δημιουργῶν γένος καὶ χειροτεχνῶν ἐξετάσωμεν. Οὗτοι γὰρ μάλιστα δοκοῦσιν ἐκ δικαίων διαζῆν πόνων, καὶ τῶν ἱδρώτων τῶν ἑαυτῶν. Ἀλλὰ καὶ οὗτοι ὅταν μὴ προσέχωσιν ἑαυτοῖς, πολλὰ ἐντεῦθεν συνάγουσιν ἑαυτοῖς κακά. Τὴν γὰρ ἀπὸ τῆς πράσεως καὶ ἀγοραίας ἀδικίαν ἐπεισάγουσι τῇ τῶν δικαίων πόνων ἐρ-

6. Ματθ. 5, 28.
7. Πρβλ. Ματθ. 18, 3-4.

πει τὴν γυναῖκα μὲ πονηρὰν ἐπιθυμίαν, διέπραξεν ἤδη μοιχείαν μέσα εἰς τὴν καρδίαν του»[6]. «Ἐὰν κάποιος δὲν ταπεινώση τὸν ἑαυτόν του ὡσὰν αὐτὸ τὸ παιδί, δὲν θὰ εἰσέλθῃ εἰς τὴν βασιλείαν τῶν οὐρανῶν»[7]. Ἀντίθετα ὅμως αὐτοὶ ἀσκοῦν ὡς ἐπάγγελμά των τὴν ἀλαζονείαν των κατὰ τῶν ὑπηκόων των ποὺ εὑρίσκονται ὑπὸ τὴν ἐξουσίαν των καὶ τοὺς τρέμουν καὶ τοὺς φοβοῦνται, καὶ γίνονται ἔτσι φοβερώτεροι καὶ ἀπὸ τὸ θηρίον. Διὰ μὲν τὸν Χριστὸν δὲν κάνουν τίποτε, ἀλλ' ὅλα τὰ κάνουν διὰ τὴν κοιλίαν των, διὰ τὰ χρήματα, διὰ τὴν ματαιοδοξίαν των. Εἶναι δυνατὸν ἄρά γε ν' ἀπαριθμήσῃ κανεὶς μὲ λόγια τὰ πλημμελήματά των εἰς τὰ διάφορα ἔργα των; Τί θὰ ἠμποροῦσε κανεὶς νὰ εἰπῇ διὰ τοὺς χλευασμούς των, τὸν γέλωτά των, τὰς γεμάτας φλυαρίας συζητήσεις των, τὰς αἰσχρολογίας των; Διὰ δὲ τὴν πλεονεξίαν των δὲν ἠμπορεῖ κανεὶς οὔτε καὶ νὰ ὁμιλήσῃ. Διότι ὅπως ἀκριβῶς οἱ μοναχοί, ποὺ ζοῦν εἰς τὰ ὄρη, δὲν γνωρίζουν καθόλου τί τέλος πάντων εἶναι ἡ πλεονεξία, ἔτσι οὔτε καὶ αὐτοί, ἀλλὰ κατὰ τρόπον ἀντίθετον μὲ ἐκείνους. Διότι οἱ μὲν μοναχοὶ δὲν γνωρίζουν τὸ πάθος αὐτὸ ἐπειδὴ εὑρίσκονται μακρυὰ ἀπὸ αὐτὸ τὸ νόσημα, ἐνῷ αὐτοὶ ἐπειδὴ μεθύουν πάρα πολὺ ἀπὸ αὐτό, οὔτε καὶ αἰσθάνονται πόσον μεγάλο κακὸν εἶναι. Τόσον πολὺ δηλαδὴ ἀπεμάκρυνε τὴν ἀρετὴν αὐτὴ ἡ κακία καὶ τόσον μεγάλος τύραννος ἔγινεν, ὥστε οὔτε κἂν νὰ θεωρῆται ἔγκλημα βαρὺ ἀπὸ ἐκείνους τοὺς μανιακούς.

Ἀλλὰ θέλετε ν' ἀφήσωμεν αὐτοὺς καὶ νὰ ἔλθωμεν πρὸς ἄλλους ἐπιεικεστέρους; Ἔμπρὸς λοιπὸν ἂς ἐξετάσωμεν τὴν τάξιν τῶν διαφόρων βιοτεχνικῶν ἐπαγγελμάτων καὶ τῶν χειροτεχνῶν. Αὐτοὶ λοιπὸν θεωροῦνται περισσότερον ἀπὸ ὅλους ὅτι ζοῦν ἀπὸ τοὺς δικαίους κόπους των καὶ τοὺς ἱδρῶτας των. Ἀλλὰ καὶ αὐτοί· ὅταν δὲν προσέχουν τοὺς ἑαυτούς των, ἐπισωρεύουν διὰ τοὺς ἑαυτούς των ἀπὸ τὴν ἐργασίαν των πολλὰ κακά. Διότι εἰσάγουν εἰς τὴν ἐργασίαν τῶν δικαίων κόπων των τὴν ἀδικίαν ποὺ προέρχεται ἀπὸ

γασίᾳ, καὶ ὅρκους καὶ ἐπιορκίας καὶ ψευδολογίας προσιθέασι τῇ πλεονεξίᾳ πολλάκις, καὶ τῶν βιωτικῶν μόνων εἰσὶ πραγμάτων, καὶ τῇ γῇ προσηλωμένοι διατελοῦσι· καὶ ὅπως μὲν χρηματίσωνται, πάντα πράττουσιν· ὅπως δὲ μεταδοῖεν τοῖς δεομένοις, οὐ πολλὴν τίθενται τὴν σπουδήν, ἀεὶ τὰ ὄντα αὔξειν βουλόμενοι. Τί ἄν τις εἴποι τὰς λοιδορίας τὰς ὑπὲρ τῶν τοιούτων, τὰς ὕβρεις, τὰ δανείσματα, τοὺς τόκους, τὰ συναλλάγματα τὰ πολλῆς γέμοντα καπηλείας, τὰς ἐμπορίας τὰς ἀναισχύντους;

3. Ἀλλὰ βούλεσθε καὶ τούτους ἀφέντες, ἐφ' ἑτέρους ἔλθωμεν, τοὺς δὴ δοκοῦντας εἶναι δικαιοτέρους; Τίνες οὖν εἰσιν οὗτοι; Οἱ τοὺς ἀγροὺς κεκτημένοι, καὶ τὸν ἀπὸ τῆς γῆς δρεπόμενοι πλοῦτον. Καὶ τί τούτων γένοιτ' ἂν ἀδικώτερον; Εἰ γάρ τις ἐξετάσειε πῶς τοῖς ἀθλίοις καὶ ταλαιπώροις κέχρηνται γεωργοῖς, βαρβάρων αὐτοὺς ὠμοτέρους ὄψεται. Τοῖς γὰρ ἐν λιμῷ τηκομένοις, καὶ δι' ὅλης πονουμένοις τῆς ζωῆς, καὶ τελέσματα διηνεκῆ καὶ ἀφόρητα ἐπιτιθέασι, καὶ διακονίας ἐπιπόνους ἐπιτάττουσι, καὶ ὡς ὄνοις καὶ ἡμιόνοις, μᾶλλον δὲ ὡς λίθοις τοῖς ἐκείνων κέχρηνται σώμασιν, οὐδὲ μικρὸν ἀναπνεῦσαι συγχωροῦντες, καὶ παρεχούσης τῆς γῆς, καὶ μὴ παρεχούσης, ὁμοίως αὐτοὺς καταπονοῦσι, καὶ οὐδεμιᾶς αὐτοῖς συγγνώμης μεταδιδόασιν· οὗ τί γένοιτ' ἂν ἐλεεινότερον, ὅταν δι' ὁλοκλήρου τοῦ χειμῶνος πονέσαντες, καὶ κρυμῷ καὶ ὄμβρῳ καὶ ἀγρυπνίαις δαπανηθέντες, κεναῖς ἀναχωρήσωσι ταῖς χερσίν, ἔτι καὶ προσοφείλοντες, καὶ τοῦ λιμοῦ τούτου καὶ τοῦ ναυαγίου τὰς τῶν ἐπιτρόπων βασάνους καὶ τοὺς ἐλκυσμοὺς καὶ τὰς ἀπαιτήσεις

τὴν πώλησιν καὶ τὴν ἀγορὰν καὶ προσθέτουν πολλὰς φορὰς εἰς τὴν πλεονεξίαν των καὶ ὅρκους καὶ ἐπιορκίας καὶ ψευδολογίας, καὶ ἐνδιαφέρονται μόνον διὰ τὰ βιωτικὰ πράγματα καὶ εἶναι προσκολλημένοι εἰς τὴν γῆν. Καὶ ὅλα μὲν τὰ κάνουν μὲ σκοπὸν ν' ἀποκτήσουν χρήματα, δὲν ἐνδιαφέρονται ὅμως καὶ πολὺ διὰ νὰ δώσουν εἰς ἐκείνους ποὺ ἔχουν ἀνάγκην, διότι ἐπιθυμοῦν ν' αὐξάνεται συνεχῶς ἡ περιουσία των. Τί θὰ ἠμποροῦσε κανεὶς νὰ εἰπῇ διὰ τὰς λοιδορίας ὑπὲρ ὅλων αὐτῶν, τὰς ὕβρεις, τὰ δανείσματα, τοὺς τόκους, τὰς γεμάτας ἀπὸ αἰσχροκέρδειαν συναλλαγάς των, τὰς ἀναισχύντους ἀγοραπωλησίας των;

3. Ἀλλὰ θέλετε νὰ τοὺς ἀφήσωμεν καὶ αὐτοὺς καὶ νὰ ἔλθωμεν εἰς ἄλλους, εἰς ἐκείνους ποὺ θεωροῦνται δικαιότεροι; Ποῖοι λοιπὸν εἶναι αὐτοί; Εἶναι ἐκεῖνοι ποὺ ἔχουν τὰ κτήματα καὶ ἀποκομίζουν τὸν πλοῦτον ποὺ προέρχεται ἀπὸ τὴν γῆν. Καὶ τί θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ ἀδικώτερον ἀπὸ αὐτούς; Διότι ἐὰν ἤθελεν ἐξετάσει κανεὶς πῶς μεταχειρίζονται τοὺς ἀθλίους καὶ ταλαιπώρους γεωργούς, θὰ εὕρισκεν ὅτι εἶναι σκληρότεροι καὶ ἀπὸ τοὺς βαρβάρους. Καθ' ὅσον αὐτοὶ ἐπιβάλλουν συνεχεῖς καὶ ἀβαστάκτους φόρους εἰς ἐκείνους ποὺ λειώνουν ἀπὸ τὴν πεῖναν καὶ καταπονοῦνται εἰς ὅλην των τὴν ζωήν, τοὺς ἀναθέτουν κοπιαστικὰς ὑπηρεσίας, καὶ μεταχειρίζονται τὰ σώματά των ὡσὰν ὄνους καὶ ἡμιόνους, ἢ καλύτερα ὡσὰν λίθους, δὲν τοὺς ἀφήνουν οὔτε ἐλάχιστον νὰ ξεκουρασθοῦν, καί, εἴτε παρέχει ἀγαθὰ ἡ γῆ, εἴτε δὲν παρέχει, κατὰ τὸν ἴδιον τρόπον τοὺς βασανίζουν, καὶ δὲν ἐπιδεικνύουν ἀπέναντί των καμμίαν ἐπιείκειαν. Τί λοιπὸν θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ ἐλεεινότερον ἀπὸ αὐτό, ὅταν, μολονότι ἐκοπίασαν ὁλόκληρον τὸν χειμῶνα καὶ ἐπέρασαν τὴν ζωήν των μέσα εἰς τὸ κρύο καὶ τὴν βροχὴν καὶ τὰς ἀγρυπνίας, ἀναχωροῦν μὲ ἄδεια χέρια, καὶ μάλιστα καὶ ὀφείλοντες ἐπὶ πλέον, καὶ φοβούμενοι καὶ νοιώθοντες φρίκην περισσότερον διὰ τὰ βασανιστήρια τῶν ἐπιστατῶν καὶ τὰς συλλήψεις διὰ τῆς βίας καὶ τὰς ἀπαιτήσεις τῶν ὀφειλῶν

καὶ τὰς ἀπαγωγὰς καὶ τὰς ἀπαραιτήτους λειτουργίας μᾶλλον δεδοικότες καὶ φρίττοντες;

Τί ἂν τις εἴποι τὰς ἐμπορίας, ἃς αὐτοὺς ἐμπορεύονται, τὰς καπηλείας, ἃς αὐτοὺς καπηλεύουσιν, ἀπὸ μὲν τῶν πόνων αὐτῶν καὶ τῶν ἱδρώτων ληνοὺς καὶ ὑπολήνια πληροῦντες, αὐτοῖς δὲ οἴκαδε οὐδὲ ὀλίγον εἰσαγαγεῖν ἐπιτρέποντες μέτρον, ἀλλ' ὁλόκληρον τὸν καρπὸν εἰς τοὺς τῆς παρανομίας αὐτῶν ἀνιλοῦντες πίθους, καὶ ὀλίγον αὐτοῖς ὑπὲρ τούτου προσριπτοῦντες ἀργύριον; Καινὰ δὲ καὶ γένη τόκων ἐπινοοῦσι, καὶ οὐδὲ τοῖς Ἑλλήνων νόμοις νενομισμένα, καὶ δανειομάτων γραμματεῖα πολλῆς γέμοντα τῆς ἀρᾶς συντιθέασιν. Οὐδὲ γὰρ ἑκατοστὴν τοῦ παντός, ἀλλὰ τὸ ἥμισυ τοῦ παντὸς ἀπαιτεῖν διάζονται· καὶ ταῦτα τοῦ ἀπαιτουμένου καὶ γυναῖκα ἔχοντος, καὶ παιδία τρέφοντος, καὶ ἀνθρώπου ὄντος, καὶ τοῖς οἰκείοις πόνοις καὶ τὴν ἄλω καὶ τὴν ληνὸν πληροῦντος.

Ἀλλ' οὐδὲν τούτων ἐννοοῦσι. Διὸ δὴ τὸν προφήτην εἰκαιρον παραστησάμενον εἰπεῖν· «Ἔκστηθι, οὐρανέ, καὶ φρῖξον, γῆ»· εἰς ὅσην θηριωδίαν τὸ τῶν ἀνθρώπων γένος ἐξεβακχεύθη. Ταῦτα δὲ λέγω, οὐ τέχνας, οὐδὲ γεωργίαν, οὐδὲ στρατείαν, οὐδὲ ἀγροὺς διαβάλλων, ἀλλ' ἡμᾶς αὐτούς. Ἐπεὶ καὶ ὁ Κορνήλιος ἑκατοντάρχης ἦν, καὶ ὁ Παῦλος σκυτοτόμος, καὶ μετὰ τὸ κήρυγμα τῇ τέχνῃ ἐκέχρητο· καὶ ὁ Δαυὶδ βασιλεὺς ἦν· καὶ ὁ Ἰὼβ χωρίων ἀπήλαυσε καὶ πολλῶν προσόδων· καὶ οὐδὲν ἦν ἐντεῦθεν κώλυμα οὐδενὶ τούτων πρὸς ἀρετήν.

Ταῦτ' οὖν ἅπαντα ἐννοοῦντες, καὶ τὰ μυρία τάλαντα ἀναλογιζόμενοι, κἂν ἐντεῦθεν ἐπειχθῶμεν πρὸς τὸ ἀφιέναι τοῖς πλησίον τὰ ὀλίγα ἐκεῖνα καὶ εὐτελῆ. Καὶ γὰρ λόγος

8. Πρβλ. Ἰερ. 2, 12.

των καὶ τὰς ἀπαγωγὰς καὶ τὰς καταναγκαστικὰς ἐργασίας, παρὰ τὴν πεῖναν καὶ τὸ ναυάγιον;

Τί θὰ ἠμποροῦσε κανεὶς νὰ εἰπῇ διὰ τὰς ἐμπορικὰς συναλλαγάς, τὰς ὁποίας αὐτοὶ κάνουν, τὰς κερδοσκοπίας ποὺ διαπράττουν εἰς βάρος των, γεμίζοντες ἀπὸ μὲν τοὺς κόπους των καὶ τοὺς ἱδρῶτας των ἀποθήκας μεγάλας καὶ μικράς, ἐνῷ εἰς αὐτοὺς δὲν ἐπιτρέπουν νὰ φέρουν εἰς τὴν οἰκίαν των οὔτε κἂν τὴν ἐλαχίστην ποσότητα, ἀλλ' ὁλόκληρον τὸν καρπὸν τὸν συγκεντρώνουν εἰς τὰ παράνομα πιθάρια των, καὶ δίδουν ὀλίγα μόνον χρήματα εἰς αὐτοὺς δι' ὅλα αὐτά; Ἀκόμη ἐπινοοῦν καὶ νέας μεθόδους εἰσπράξεως τόκων, ποὺ δὲν ἐπιτρέπονται οὔτε καὶ ἀπὸ τοὺς νόμους τῶν Ἑλλήνων, καὶ συντάσσουν γραμμάτια δανειστικὰ γεμᾶτα ἀπὸ πολλὴν κατάραν. Διότι δὲν ἀπαιτοῦν κατὰ τρόπον ἐκβιαστικὸν τὸ ἑκατοστὸν τῶν χρημάτων ποὺ ἐδάνεισαν, ἀλλὰ τὸ ἥμισυ αὐτῶν, καὶ ὅλα αὐτὰ ἂν καὶ αὐτός, ἀπὸ τὸν ὁποῖον τὰ ἀπαιτοῦν, ἔχει γυναῖκα καὶ τρέφει παιδιὰ καὶ εἶναι ἄνθρωπος καὶ μὲ τοὺς κόπους του γεμίζει καὶ τὸ ἀλώνι καὶ τὸ πατητήρι των.

Ἀλλ' ὅμως τίποτε ἀπ' ὅλα αὐτὰ δὲν σκέπτονται. Διὰ τοῦτο λοιπὸν εἶναι ἐπίκαιρον νὰ ἐνθυμηθῶμεν τοὺς λόγους τοῦ προφήτου ποὺ λέγει· «Στάσου, οὐρανέ, κατάπληκτος καὶ φρῖξε γῆ»[8]· εἰς πόσην θηριωδίαν κατέπεσε μὲ μανίαν τὸ γένος τῶν ἀνθρώπων. Καὶ αὐτὰ δὲν τὰ λέγω διὰ νὰ κατηγορήσω τὰς τέχνας, οὔτε τὴν γεωργίαν, οὔτε τὸ στρατιωτικὸν ἐπάγγελμα, οὔτε τοὺς ἀγρούς, ἀλλ' ἡμᾶς τοὺς ἰδίους. Διότι καὶ ὁ Κορνήλιος ἦτο ἑκατόνταρχος καὶ ὁ Παῦλος βυρσοδέψης καὶ μετὰ ἀπὸ τὸ κήρυγμα ἤσκει τὴν τέχνην του, καὶ ὁ Δαυὶδ ἦτο βασιλεὺς καὶ ὁ Ἰὼβ εἶχε κτήματα καὶ εἶχε πολλὰ ἔσοδα, ἀλλ' ὅμως τίποτε ἀπὸ αὐτὰ δὲν ἔγινεν ἐμπόδιον εἰς κανένα ἀπὸ αὐτοὺς διὰ τὴν ἀρετήν των.

Ἔχοντες λοιπὸν αὐτὰ εἰς τὸν νοῦν μας καὶ ἀναλογιζόμενοι τὰ μύρια τάλαντα, ἃς ὁδηγηθῶμεν, ἔστω καὶ κατ' αὐτὸν ιὸν τρόπον, εἰς τὸ ν' ἀφήσωμεν εἰς τὸν πλησίον μας τὰ ὀλίγα ἐκεῖνα καὶ εὐτελῆ. Καθ' ὅσον θὰ μᾶς ζητηθῇ εὐθύνη

ἡμῖν γίνεται τῶν ἐμπιστευθεισῶν ἡμῖν ἐντολῶν, καὶ οὐκ ἔχομεν πάντα καταβαλεῖν, οὐδ' ἂν ὁτιοῦν ποιήσωμεν. Διὰ τοῦτο ἔδωκεν ἡμῖν ὁ Θεὸς πρὸς ἔκτισιν εὔκολόν τε καὶ ῥᾳδίαν ὁδόν, καὶ πάντα δυναμένην διαλύσασθαι ἐκεῖνα, τὸ μὴ μνησικακεῖν λέγω. Ἵν' οὖν τοῦτο μάθωμεν καλῶς, ἀκούσωμεν ὁδῷ προϊόντες τῆς παραβολῆς ἁπάσης.

«Προσηνέχθη γὰρ αὐτῷ, φησίν, εἷς ὀφειλέτης μυρίων ταλάντων. Οὐκ ἔχοντος δὲ αὐτοῦ ἀποτῖσαι, ἐκέλευσεν αὐτὸν πραθῆναι, καὶ τὴν γυναῖκα αὐτοῦ, καὶ τὰ παιδία». Τίνος ἕνεκεν; εἰπέ μοι. Οὐκ ἐξ ὠμότητος, οὐδὲ ἀπανθρωπίας· καὶ γὰρ εἰς αὐτὸν ἡ ζημία περιῆσταιο πάλιν· δούλη γὰρ ἦν κἀκείνη· ἀλλ' ἐξ ἀφάτου κηδεμονίας. Βούλεται γὰρ αὐτὸν πτοῆσαι διὰ τῆς ἀπειλῆς ταύτης, ἵνα εἰς ἱκετηρίαν ἀγάγῃ, οὐχ ἵνα πραθῇ. Εἰ γὰρ διὰ τοῦτο ἐποίει, οὐκ ἂν ἐπένευσεν αὐτοῦ τῇ αἰτήσει, οὐδ' ἂν τὴν χάριν ἔδωκε. Διαιί οὖν πρὸ τοῦ λογοθεσίου τοῦτο οὐκ ἐποίησεν, οὐδὲ ἀφῆκε τὸ ὄφλημα; Διδάξαι βουλόμενος πόσων αὐτὸν ὀφλημάτων ἐλευθεροῖ, ἵνα κἂν ταύτῃ ἡμερώτερος περὶ τὸν σύνδουλον γένηται. Εἰ γὰρ καὶ μαθὼν τοῦ ὀφλήματος τὸν ὄγκον, καὶ τῆς συγχωρήσεως τὸ μέγεθος, ἐπέμενεν ἄγχων τὸν σύνδουλον, εἰ μὴ τοσούτοις αὐτὸν προπαίδευσε φαρμάκοις, ποῦ οὐκ ἂν ἐξῆλθεν ὠμότητος; Τί οὖν ἐκεῖνος; «Μακροθύμησον ἐπ' ἐμοί, καὶ πάντα σοι ἀποδώσω», φησίν. «Ὁ δὲ κύριος αὐτοῦ σπλαγχνισθείς, ἀπέλυσεν αὐτόν, καὶ τὸ δάνειον ἀφῆκεν αὐτῷ».

Εἶδες πάλιν φιλανθρωπίας ὑπερβολήν; Ἀναβολὴν ἐζήτησε μόνον καιροῦ καὶ ὑπέρθεσιν ὁ οἰκέτης· ὁ δὲ μεῖζον

διὰ τὰς ἐντολὰς ποὺ μᾶς ἐνεπιστεύθησαν, καὶ δὲν ἠμποροῦμεν νὰ τὰ ξεπληρώσωμεν ὅλα αὐτά, οὔτε καὶ ἂν ἀκόμη πράξωμεν ὁ,τιδήποτε. Διὰ τοῦτο ὁ Θεὸς μᾶς ἔδωσε πρὸς ἐξόφλησιν αὐτῶν εὔκολον καὶ ἁπλῆν ὁδόν, ποὺ ἠμπορεῖ ὅλα ἐκεῖνα τὰ ἐμπόδια νὰ τὰ ὑπερνικήσῃ, τὸ ν' ἀποφεύγωμεν δηλαδὴ τὴν μνησικακίαν. Καὶ διὰ νὰ τὸ ἀντιληφθῶμεν αὐτὸ ἂς ἀκούσωμεν ἐν συνεχείᾳ ὁλόκληρον τὴν παραβολήν.

«Ὠδηγήθη λοιπόν», λέγει, «ἐνώπιόν του κάποιος ποὺ τοῦ ὠφειλε δέκα χιλιάδας τάλαντα. Ἐπειδὴ δὲ δὲν εἶχε νὰ τὰ πληρώσῃ, ἔδωσεν ἐντολὴν νὰ πωληθῇ ὁ ἴδιος καὶ ἡ γυναῖκα του καὶ τὰ παιδιά του». Διὰ ποῖον λόγον, εἰπέ μου, τὸ ἔκανεν αὐτό; Ὁπωσδήποτε δὲν τὸ ἔκανεν ἀπὸ σκληρότητα καὶ ἀπανθρωπίαν, καθ' ὅσον αὐτὸς καὶ πάλιν ἐζημιώνετο, διότι καὶ ἐκείνη ἦτο ἰδική του δούλη, ἀλλὰ ἀπὸ ἄπειρον ἐνδιαφέρον. Διότι ἐπιθυμεῖ νὰ τὸν φοβήσῃ μὲ τὴν ἀπειλήν του αὐτήν, ὥστε νὰ τὸν κάνῃ νὰ τὸν παρακαλέσῃ, καὶ ὄχι διὰ νὰ πωληθῇ. Ἐὰν βέβαια αὐτὸς ἦτο ὁ σκοπός του, δὲν θὰ εἰσήκουε τὴν παράκλησίν του οὔτε θὰ τοῦ ἔδιδε χάριν. Διατί λοιπὸν δὲν τὸ ἔκανεν αὐτὸ πρὶν τοῦ ζητήσῃ τὴν ὀφειλήν του, οὔτε τοῦ ἐχάρισε τὴν ὀφειλήν; Ἐπειδὴ ἤθελε νὰ τὸν κάνῃ νὰ γνωρίσῃ ἀπὸ πόσας ὀφειλὰς του τὸν ἀπαλλάσσει, ὥστε ἔστω καὶ ἔτσι νὰ τὸν κάνῃ νὰ γίνῃ πιὸ ἐπιεικὴς πρὸς τὸν σύνδουλόν του. Διότι, ἐάν, μολονότι ἐγνώρισε τὸν ὄγκον τῆς ὀφειλῆς του καὶ τὸ μέγεθος τῆς συγχωρήσεως, ἐπέμενε νὰ καταπιέζῃ τὸν σύνδουλόν του, εἰς ποῖον βαθμὸν σκληρότητος δὲν θὰ ἦτο δυνατὸν νὰ φθάσῃ, ἐὰν δὲν τὸν εἶχε προηγουμένως παιδεύσει μὲ τόσα πολλὰ φάρμακα; Καὶ τί κάνει ἐκεῖνος; «Δίξε μακροθυμία δι' ἐμένα», λέγει, «καὶ θὰ σοῦ τὰ πληρώσω ὅλα. Ἐπειδὴ ὁ κύριός του τὸν ἐλυπήθη τὸν ἄφησεν ἐλεύθερον καὶ τοῦ ἐχάρισε τὸ δάνειον».

Εἶδες καὶ πάλιν ὑπερβολικὸν μέγεθος φιλανθρωπίας; Ἁπλῶς καὶ μόνον ὁ δοῦλος ἐζήτησεν ἀναβολὴν καὶ μετάθεσιν τοῦ χρόνου ἐξοφλήσεως τῆς ὀφειλῆς του, ἐκεῖνος ὅμως τοῦ ἔδωσε πολὺ περισσότερα ἀπὸ αὐτὰ ποὺ ἐζήτησε,

ἢ ἤτησεν ἔδωκεν, ἄφεσιν ὁλοκλήρου τοῦ δανείσματος καὶ συγχώρησιν. Ἐβούλετο μὲν γὰρ καὶ ἐξ ἀρχῆς δοῦναι, ἀλλ' οὐκ ἐβούλετο αὐτοῦ εἶναι τὸ δῶρον μόνον, ἀλλὰ καὶ τῆς τούτου ἱκετηρίας, ἵνα μὴ ἀστεφάνωτος ἀπέλθῃ. Ὅτι γὰρ αὐτοῦ τὸ πᾶν ἦν, εἰ καὶ προσέπεσεν οὗτος καὶ ἐδεήθη, ἡ αἰτία τῆς συγχωρήσεως ἐδήλωσε· «σπλαγχνισθεὶς γὰρ ἀφῆκεν αὐτῷ». Ἀλλ' ὅμως καὶ οὕτως ἐβούλετο κἀκεῖνόν τι δοκεῖν συνεισφέρειν, ἵνα μὴ σφόδρα ᾖ κατηφυμμένος· καὶ ἵνα παιδευθεὶς ἐν ταῖς οἰκείαις συμφοραῖς συγγνωμονικὸς γένηται τῷ συνδούλῳ.

4. Μέχρι μὲν οὖν τούτου καλὸς οὗτος καὶ εὐάρεστος· καὶ γὰρ ὡμολόγησε, καὶ ἐπηγγείλατο ἀποδώσειν τὸ ὄφλημα, καὶ προσέπεσε, καὶ παρεκάλεσε, καὶ κατέγνω τῶν οἰκείων ἁμαρτημάτων, καὶ ἔγνω τὸ μέγεθος τοῦ ὀφλήματος. Ἀλλὰ σμὲν ὠμοί, ἀλλ' ἑαυτοῖς. Ὅταν οὖν βούλῃ μνησικακεῖν, ἐνθέως, οὐδὲ μετὰ χρόνον πολύν, ἀλλ' εὐθέως ἔναυλον ἔχων τὴν εὐεργεσίαν, εἰς κακίαν ἀπεχρήσατο τῇ δωρεᾷ, καὶ τῇ ἐλευθερίᾳ τῇ παρὰ τοῦ δεσπότου αὐτῷ παρασχεθείσῃ. «Εὑρὼν γὰρ ἕνα τῶν συνδούλων αὐτοῦ, ὀφείλοντα αὐτῷ ἑκατὸν δηνάρια, ἔπνιγεν αὐτὸν λέγων· ἀπόδος μοι εἴ τι ὀφείλεις». Εἶδες δεσπότου φιλανθρωπίαν; εἶδες δούλου ὠμότητα; Ἀκούσατε οἱ ὑπὲρ χρημάτων ταῦτα ποιοῦντες. Εἰ γὰρ ὑπὲρ ἁμαρτημάτων οὐ χρή, πολλῷ μᾶλλον ὑπὲρ χρημάτων.

Τί οὖν ἐκεῖνος; «Μακροθύμησον ἐπ' ἐμοί, καὶ πάντα σοι ἀποδώσω». Ὁ δὲ οὐδὲ τὰ ῥήματα ᾐδέσθη, δι' ὧν ἐσώθη (καὶ γὰρ αὐτὸς ταῦτα εἰπών, ἀπηλλάγη τῶν μυρίων ταλάν-

τὸν συνεχώρησε δηλαδὴ καὶ τοῦ ἐχάρισεν ὁλόκληρον τὸ δάνειον. Ἤθελε βέβαια καὶ ἀπὸ τὴν ἀρχὴν νὰ τοῦ τὸ χαρίσῃ, ὅμως δὲν ἤθελε νὰ εἶναι αὐτοῦ καὶ μόνον τὸ δῶρον, ἀλλὰ νὰ εἶναι ἀποτέλεσμα καὶ τῆς ἰδικῆς του παρακλήσεως, ὥστε νὰ μὴ φύγῃ χωρὶς στέφανον. Ἀλλὰ τὸ ὅτι τὸ πᾶν ἐξηριᾶτο ἀπὸ αὐτόν, ἔστω καὶ ἂν ὁ δοῦλος του ἔπεσεν εἰς τὰ πόδια του καὶ τὸν παρεκάλεσε, γίνεται φανερὸν ἀπὸ τὴν αἰτίαν τῆς συγχωρήσεως· διότι, λέγει, «τὸν ἐλυπήθη καὶ τοῦ ἐχάρισε τὴν ὀφειλήν του». Παρὰ ταῦτα ὅμως καὶ πάλιν ἤθελε νὰ νομίζῃ ἐκεῖνος ὅτι καὶ ὁ ἴδιος συνέβαλεν εἰς κάτι, διὰ νὰ μὴ νοιώθῃ πάρα πολὺ μεγάλην ἐντροπὴν καὶ συγχρόνως, διδαχθεὶς ἀπὸ τὰς ἰδικάς του συμφοράς, νὰ παρέχῃ εὐκολώτερον συγχώρησιν εἰς τὸν σύνδουλόν του.

4. Μέχρι ἐδῶ λοιπὸν ὁ ἄνθρωπος αὐτὸς ἐφάνη ὅτι εἶναι καλὸς καὶ εὐάρεστος, καθ' ὅσον καὶ ὡμολόγησε καὶ ὑπεσχέθη νὰ ἐξοφλήσῃ τὴν ὀφειλήν του, καὶ ἔπεσεν εἰς τὰ πόδια τοῦ κυρίου του καὶ τὸν παρεκάλεσε, καὶ κατενόησε τὰ ἁμαρτήματά του καὶ ἀνεγνώρισε τὸ μέγεθος τῆς ὀφειλῆς του. Τὰ ὅσα ὅμως συνέβησαν εἰς τὴν συνέχειαν εἶναι ἀνάξια τῶν προηγουμένων. Διότι μόλις ἐξῆλθεν ἀπὸ τὴν οἰκίαν τοῦ κυρίου του, οὔτε κἂν μετὰ ἀπὸ πολὺν χρόνον, ἀλλὰ τὴν ἰδίαν στιγμήν, ἐνῷ ἀκόμη ἠχοῦσεν εἰς τὰ αὐτιά του ἡ εὐεργεσία ποὺ τοῦ ἔγινεν, ἔκανε κακὴν χρῆσιν τῆς δωρεᾶς καὶ τῆς ἐλευθερίας ποὺ τοῦ ἐδόθη ἐκ μέρους τοῦ κυρίου του. Διότι, λέγει, «Εὗρε κάποιον ἀπὸ τοὺς συνδούλους του, ποὺ τοῦ ὤφειλεν ἑκατὸν δηνάρια, καὶ τὸν κατεπίεζε, λέγων· ἐπέστρεψέ μου αὐτὰ ποὺ μοῦ ὀφείλεις». Εἶδες τοῦ κυρίου τὴν φιλανθρωπίαν; εἶδες τοῦ δούλου τὴν σκληρότητα; Ἀκούσατε αὐτὰ ὅσοι κάμνετε αὐτὰ ὑπὲρ τῶν χρημάτων. Διότι ἐὰν δὲν πρέπει νὰ γίνωνται αὐτὰ χάριν τῶν ἁμαρτημάτων, πολὺ περισσότερον δὲν πρέπει νὰ γίνωνται χάριν τῶν χρημάτων.

Τί κάνει λοιπὸν ἐκεῖνος; «Δεῖξε μακροθυμίαν πρὸς χάριν μου καὶ θὰ σοῦ τὰ ἐξοφλήσω ὅλα». Αὐτὸς ὅμως οὔτε τὰ λόγια ἐσεβάσθη, μὲ τὰ ὁποῖα ἐσώθη (καθ' ὅσον καὶ αὐτὸς τὰ

των) καὶ οὐδὲ τὸν λιμένα ἐπέγνω, δι' οὗ τὸ ναυάγιον διέφυγεν, οὐ τὸ σχῆμα τῆς ἱκετηρίας ἀνέμνησεν αὐτὸν τῆς τοῦ δεσπότου φιλανθρωπίας, ἀλλὰ πάντα ἐκεῖνα ὑπὸ τῆς πλεονεξίας καὶ τῆς ὠμότητος καὶ τῆς μνησικακίας ἐκβαλών, θηρίου παντὸς χαλεπώτερος ἦν, ἄγχων τὸν σύνδουλον. Τί ποιεῖς, ἄνθρωπε; σεαυτὸν ἀπαιτῶν οὐκ αἰσθάνῃ, κατὰ σεαυτοῦ τὸ ξίφος ὠθῶν, καὶ τὴν ἀπόφασιν καὶ τὴν δωρεὰν ἀνακαλούμενος;

Ἀλλ' οὐδὲν τούτων ἐνενόησεν, οὐδὲ ἐμνήσθη τῶν αὐτοῦ, οὐδὲ ἐνέδωκε· καίτοιγε οὐχ ὑπὲρ τῶν ἴσων ἡ ἱκετηρία. Ὁ μὲν γὰρ ὑπὲρ μυρίων ταλάντων, ὁ δὲ ὑπὲρ ἑκατὸν δηναρίων παρεκάλει· καὶ ὁ μὲν τὸν σύνδουλον, ὁ δὲ τὸν δεσπότην· καὶ ὁ μὲν τελείαν συγχώρησιν ἔλαβεν, ὁ δὲ ἀναβολὴν ἤτει. Καὶ οὐδὲ ταύτην αὐτὸς ἐδίδου· «ἔβαλε γὰρ αὐτὸν εἰς φυλακήν. Ἰδόντες δὲ οἱ σύνδουλοι αὐτοῦ, κατηγόρησαν αὐτοῦ πρὸς τὸν δεσπότην». Οὐδὲ ἀνθρώποις τοῦτο ἀρεστὸν ἦν, μήτιγε Θεῷ. Συνήλγησαν οὖν οἱ μὴ ὀφείλοντες. Τί οὖν ὁ δεσπότης;

«Πονηρὲ δοῦλε, πᾶσαν τὴν ὀφειλὴν ἐκείνην ἀφῆκά σοι, ἐπεὶ παρεκάλεσάς με· οὐκ ἔδει καὶ σὲ ἐλεῆσαι τὸν σύνδουλόν σου, ὡς καὶ ἐγώ σε ἠλέησα;». Ὅρα πάλιν τὴν ἡμερότητα τοῦ δεσπότου. Κρίνεται πρὸς αὐτὸν καὶ ἀπολογεῖται, μέλλων ἀναιρεῖσθαι αὐτοῦ τὴν δωρεάν· μᾶλλον δὲ οὐκ αὐτὸς ἀνέιρεψεν, ἀλλ' ὁ λαβών. Διό φησι· «Πᾶσαν τὴν ὀφειλὴν ἐκεί-

ἴδια λόγια εἶπε καὶ ἀπηλλάγη ἀπὸ τὴν ὀφειλὴν τῶν δέκα χιλιάδων ταλάντων) καὶ οὔτε τὸ λιμάνι κατενόησε, διὰ τοῦ ὁποίου ἀπέφυγε τὸ ναυάγιον, οὔτε καὶ ὁ ὅμοιος τρόπος τῆς παρακλήσεως ὑπενθύμισεν εἰς αὐτὸν τὴν φιλανθρωπίαν τοῦ κυρίου του, ἀλλ' ὅλα ἐκεῖνα ἀφοῦ τὰ παραμέρισεν ἐξ αἰτίας τῆς πλεονεξίας του καὶ τῆς σκληρότητός του καὶ τῆς μνησικακίας του, ἔγινε φοβερώτερος ἀπὸ κάθε θηρίον καὶ κατεπίεζε τὸν σύνδουλόν του. Τί εἶναι αὐτὸ ποὺ κάνεις, ἄνθρωπέ μου; ἐνῷ ἀπαιτεῖς νὰ ἐξοφληθῇ αὐτὸ ποὺ σοῦ ὀφείλει δὲν ἀντιλαμβάνεσαι ὅτι σπρώχνεις τὸ ξίφος κατὰ τοῦ ἑαυτοῦ σου καὶ ὅτι μὲ τὴν ἐνέργειάν σου αὐτὴν ὅτι ἀνακαλεῖς τὴν ἀπόφασιν καὶ τὴν δωρεὰν ποὺ σοῦ ἔγινεν;

Ἀλλ' ὅμως τίποτε ἀπὸ ὅλα αὐτὰ δὲν ἐσκέφθη, οὔτε ἐνεθυμήθη τὴν ἰδικήν του κατάστασιν, οὔτε ὑπεχώρησεν, ἂν καὶ βέβαια ἡ παράκλησις ποὺ τοῦ ἐγίνετο δὲν ἀφοροῦσεν ἴσην ὀφειλήν. Διότι αὐτὸς μὲν παρεκάλει διὰ δέκα χιλιάδας τάλαντα, ὁ σύνδουλός του ὅμως διὰ ἑκατὸν δηνάρια· καὶ ὁ μὲν ἕνας παρεκάλει τὸν σύνδουλόν του, ὁ δὲ ἄλλος τὸν κύριόν του· καὶ ἐκεῖνος μὲν ἔλαβε πλήρη συγχώρησιν, ἐνῷ αὐτὸς ἐζήτει ἁπλῶς ἀναβολήν, ἀλλὰ καὶ οὔτε αὐτὴν τὴν ἔδωσε· διότι, λέγει, «τὸν ἔβαλεν εἰς τὴν φυλακήν. Ἰδόντες ὅμως οἱ σύνδουλοί του τὸν κατηγόρησαν εἰς τὸν κύριόν των». Αὐτὴ ἡ ἐνέργεια δὲν ἦτο ἀρεστὴ οὔτε εἰς τοὺς ἀνθρώπου καὶ ἀσφαλῶς οὔτε καὶ εἰς τὸν Θεόν. Ἐλυπήθησαν λοιπὸν μαζὶ μὲ ἐκεῖνον καὶ αὐτοὶ ποὺ δὲν ὤφειλον. Τί κάνει λοιπὸν ὁ κύριος;

«Πονηρὲ δοῦλε, ὅλην τὴν ὀφειλήν σου ἐκείνην σοῦ τὴν ἐχάρισα, ἐπειδὴ μὲ παρεκάλεσες· δὲν ἔπρεπε καὶ σὺ εὐσπλαγχνισθῇς τὸν σύνδουλόν σου, ὅπως ἐγὼ εὐσπλαγχνίσθην ἐσένα;». Πρόσεχε πάλιν τὴν ἡμερότητα τοῦ κυρίου. Κάνει σύγκρισιν τοῦ ἑαυτοῦ του πρὸς αὐτὸν καὶ ἀπολογεῖται, ἐπειδὴ πρόκειται ν' ἀνακαλέσῃ τὴν δωρεάν· μᾶλλον δὲ δὲν τὴν ἀνεκάλεσεν αὐτός, ἀλλ' ἐκεῖνος ποὺ τὴν ἔλαβε. Διὰ τοῦτο λέγει· «Ὅλην τὴν ὀφειλήν σου ἐκείνην σοῦ τὴν

νην ἀφῆκά σοι, ἐπεὶ παρεκάλεσάς με· οὐκ ἔδει καὶ σὲ ἐλεῆσαι τὸν σύνδουλόν σου;». Εἰ γὰρ καὶ βαρύ σοι τὸ πρᾶγμα εἶναι δοκεῖ, ἀλλ' ἔδει καὶ πρὸς τὸ κέρδος ἰδεῖν, τὸ γεγενημένον, τὸ ἐσόμενον. Εἰ καὶ ἐπαχθὲς τὸ ἐπίταγμα, τὸ ἔπαθλον ἐννοῆσαι ἔδει· μηδὲ ὅτι λελύπηκεν ἐκεῖνος, ἀλλ' ὅτι σὺ Θεὸν παρώξυνας, ὃν ἀπὸ ψιλῆς ἱκετηρίας κατῆλλαξας. Εἰ δὲ καὶ οὕτω σοι φορτικὸν τὸ φίλον γενέσθαι τῷ λελυπηκότι, πολλῷ βαρύτερον τὸ εἰς γέενναν ἐμπεσεῖν· καὶ εἰ τοῦτο ἀντέθηκας ἐκείνῳ, τότε ἂν ἔγνως, ὅτι πολλῷ τοῦτο κουφότερον. Καὶ ὅτε μὲν μυρία τάλαντα ὤφειλεν, οὐκ ἐκάλεσε πονηρόν, οὐδὲ ὤβρισεν, ἀλλ' ἠλέησεν, ὅτε δὲ περὶ τὸν σύνδουλον ἀγνώμων ἐγένετο, τότε λέγει, «πονηρὲ δοῦλε».

Ἀκούσωμεν, οἱ πλεονέκται· καὶ γὰρ πρὸς ἡμᾶς ὁ λόγος. Ἀκούσωμεν, καὶ οἱ ἀνηλεεῖς καὶ ὠμοί· ὅτι οὐχ ἑτέροις ἐσμὲν ὠμοί, ἀλλ' ἑαυτοῖς. Ὅταν οὖν βούλῃ μνησικακεῖν, ἐννόησον ὅτι σαυτῷ μνησικακεῖς, οὐχ ἑτέρῳ· ὅτι τὰ σαυτοῦ καταδεσμεῖς ἁμαρτήματα, οὐ τὰ τοῦ πλησίον. Σὺ μὲν γάρ, ὅπερ ἂν ἐργάσῃ τούτῳ, ὡς ἄνθρωπος ἐργάζῃ, καὶ ἐν τῷ παρόντι βίῳ· ὁ δὲ Θεὸς οὐχ οὕτως, ἀλλὰ μειζόνως σε τιμωρήσεται, καὶ τιμωρίαν τὴν ἐκεῖ. «Παρέδωκε γὰρ αὐτόν, ἕως οὗ ἀποδῷ τὸ ὀφειλόμενον»· τουτέστι, διηνεκῶς· οὔτε γὰρ ἀποδώσει ποτέ. Ἐπειδὴ γὰρ οὐκ ἐγένου τῇ εὐεργεσίᾳ βελτίων, λείπεται τῇ τιμωρίᾳ σε διορθοῦσθαι. Καίτοιγε ἀμεταμέλητα τὰ χαρίσματα καὶ αἱ δωρεαί, ἀλλὰ τοσοῦτον ἴσχυσεν ἡ κακία, ὡς καὶ τοῦτον λῦσαι τὸν νόμον.

Τί τοίνυν τοῦ μνησικακεῖν χαλεπώτερον, ὅταν δωρεὰν

9. Ρωμ. 11, 29.

ἐχάρισα, ἐπειδὴ μὲ παρεκάλεσες· δὲν ἔπρεπε καὶ σὺ νὰ εὐσπλαγχνισθῇς τὸν σύνδουλόν σου;». Διότι καὶ ἂν ἀκόμη σοῦ φαίνεται αὐτὸ βαρύ, ὅμως ἔπρεπε νὰ προσέξῃς καὶ τὸ κέρδος ποὺ σοῦ ἔγινε καὶ αὐτὸ ποὺ πρόκειται νὰ σοῦ γίνῃ. Καὶ ἂν ἀκόμη ἡ ἐντολὴ εἶναι δύσκολος, ἔπρεπε νὰ σκεφθῇς τὸ ἔπαθλον· οὔτε ὅτι σὲ ἐλύπησεν ἐκεῖνος, ἀλλ' ὅτι σὺ παρώργισες τὸν Θεόν, μὲ τὸν ὁποῖον συνεφιλιώθης μὲ μίαν ἁπλῆν παράκλησιν. Ἐὰν ὅμως σοῦ ἦτο δύσκολον νὰ συμφιλιωθῇς καὶ ἔτσι μὲ αὐτὸν ποὺ σὲ ἐλύπησε, πολὺ πιὸ φοβερὸν εἶναι νὰ ριφθῇς εἰς τὴν γέενναν· καὶ ἂν αὐτὸ τὸ ἐσύγκρινες μὲ ἐκεῖνο, τότε θὰ ἦτο δυνατὸν ν' ἀντιληφθῇς, ὅτι αὐτὸ ἦτο πολὺ πιὸ ἐλαφρόν. Καὶ ὅταν μὲν ὤφειλε δέκα χιλιάδας τάλαντα, δὲν τὸν ὠνόμασε πονηρὸν οὔτε τὸν ὕβρισεν, ἀλλὰ τὸν ἠλέησεν, ὅταν ὅμως ἐπέδειξεν ἀχαριστίαν πρὸς τὸν σύνδουλόν του, τότε τὸν ὀνομάζει «πονηρὲ δοῦλε».

Ἂς τὰ ἀκούσωμεν αὐτὰ ὅσοι εἴμεθα πλεονέκται· διότι καὶ πρὸς ἡμᾶς ἀπευθύνεται ὁ λόγος αὐτός. Ἂς τὰ ἀκούσωμεν καὶ ὅσοι εἴμεθα ἄσπλαχνοι καὶ σκληροί· διότι δὲν εἴμεθα σκληροὶ διὰ τοὺς ἄλλους, ἀλλὰ διὰ τοὺς ἑαυτούς μας. Ὅταν λοιπὸν θέλῃς νὰ μνησικακῇς, σκέψου ὅτι μνησικακεῖς εἰς βάρος σου καὶ ὄχι ἐναντίον τοῦ ἄλλου· διότι τὰ ἰδικά σου ἁμαρτήματα καθιστᾷς ἀσυγχώρητα καὶ ὄχι τοῦ πλησίον σου. Διότι σὺ μὲν ὅ,τι καὶ ἂν κάνῃς εἰς βάρος αὐτοῦ, τὸ κάνεις ὡς ἄνθρωπος καὶ ἰσχύει μόνον εἰς τὴν ἐδῶ ζωήν· ὁ Θεὸς ὅμως δὲν θὰ σὲ τιμωρήσῃ κατὰ τὸν ἴδιον τρόπον, ἀλλὰ μὲ μεγαλυτέραν τιμωρίαν, καὶ μάλιστα μὲ τιμωρίαν εἰς τὴν ἄλλην ζωήν. Διότι, λέγει, «τὸν παρέδωσεν εἰς τὰ βάσανα, ἕως ὅτου ἐξοφλήσῃ ὅλον τὸ χρέος του»· δηλαδὴ αἰωνίως· διότι οὐδέποτε θὰ τὸ ἐξοφλήσῃ. Ἐπειδὴ λοιπὸν δὲν ἔγινες καλύτερος μὲ τὴν εὐεργεσίαν, ἐναπομένει νὰ διορθωθῇς μὲ τὴν τιμωρίαν. Ἂν καὶ βέβαια τὰ χαρίσματα καὶ αἱ δωρεαὶ εἶναι ἀμετάκλητα»[9], ἀλλ' ὅμως τόση ἦτο ἡ δύναμις τῆς κακίας, ὥστε καὶ αὐτὸν τὸν νόμον νὰ τὸν καταργήσῃ.

Ἑπομένως τί εἶναι φοβερώτερον ἀπὸ τὴν μνησικακίαν,

θείαν τοσαύτην καὶ τηλικαύτην ἀναιρέπον φαίνηται; Καὶ οὐδὲ ἁπλῶς αὐτὸν παρέδωκεν, ἀλλὰ ὀργισθείς. Ὅτε μὲν γὰρ ἐκέλευσε πραθῆναι, οὐκ ἦν ὀργῆς τὰ ῥήματα - οὐκοῦν οὐδὲ ἐποίησεν -, ἀλλ' ἀφορμὴ φιλανθρωπίας μεγίστη· νυνὶ δὲ ἀγανακτήσεως πολλῆς ἡ ψῆφος, καὶ τιμωρίας, καὶ κολάσεως. Τί οὖν ἡ παραβολὴ βούλεται; «Οὕτω ποιήσει καὶ ὑμῖν», φησίν, «ὁ Πατήρ μου, ἐὰν μὴ ἀφῆτε ἕκαστος τῷ ἀδελφῷ αὐτοῦ ἀπὸ τῆς καρδίας ὑμῶν τὰ παραπτώματα αὐτῶν». Οὐ λέγει, ὁ Πατὴρ ὑμῶν, ἀλλ', «ὁ Πατήρ μου». Οὐ γὰρ ἄξιον τοῦ τοιούτου καλεῖσθαι Πατέρα τὸν Θεόν, τοῦ οὕτω πονηροῦ καὶ μισανθρώπου.

5. Δύο τοίνυν ἐνταῦθα ζητεῖ, καὶ καταγινώσκειν ἡμᾶς τῶν ἁμαρτημάτων, καὶ ἑτέροις ἀφιέναι· καὶ ἐκεῖνο διὰ τοῦτο, ἵνα εὐκολώτερον τοῦτο γένηται (ὁ γὰρ τὰ ἑαυτοῦ ἐννοῶν, συγγνωμονικώτερος ἔσται τῷ συνδούλῳ)· καὶ οὐχ ἁπλῶς ἀφιέναι ἀπὸ στόματος, ἀλλ' ἀπὸ καρδίας.

Μὴ δὴ καθ' ἑαυτῶν τὸ ξίφος ὠθῶμεν μνησικακοῦντες. Τί γάρ σε καὶ τοιοῦτον ἐλύπησεν ὁ λελυπηκώς, οἷον σὺ σαυτὸν ἐργάσῃ τῆς ὀργῆς μεμνημένος, καὶ ἐπισπώμενος κατὰ σαυτοῦ τὴν καταδικάζουσάν σε παρὰ Θεοῦ ψῆφον; Ἂν μὲν γὰρ νήφῃς καὶ φιλοσοφῇς, εἰς τὴν ἐκείνου κεφαλὴν περιστήσεται τὸ δεινόν, κἀκεῖνος ἔσται ὁ πάσχων κακῶς· ἂν δὲ μένῃς ἀγανακτῶν καὶ δυσχεραίνων, τότε αὐτὸς ὑποστήσῃ τὴν βλάβην, οὐ παρ' ἐκείνου, ἀλλὰ παρὰ σαυτοῦ. Μὴ

ὅταν αὐτὴ φαίνεται ν' ἀνατρέπῃ μίαν τόσον μεγάλην καὶ τέτοιου εἴδους θείαν δωρεάν; Καὶ δὲν τὸν παρέδωσεν ἁπλῶς εἰς τὰ βάσανα, ἀλλὰ ἐξοργισθείς. Διότι ὅταν ἔδωσεν ἐντολὴν νὰ πωληθῇ δὲν ἦσαν τὰ λόγια του ἀποτέλεσμα ὀργῆς — διὰ τοῦτο βέβαια καὶ δὲν τὸ ἔκανεν αὐτό —, ἀλλ' ἦτο πάρα πολὺ μεγάλη ἀφορμὴ φιλανθρωπίας, τώρα ὅμως ἡ ἀπόφασίς του εἶναι ἀποτέλεσμα μεγάλης ἀγανακτήσεως καὶ ἀποβλέπει πρὸς μεγάλην τιμωρίαν καὶ κόλασιν. Τί θέλει λοιπὸν νὰ μᾶς διδάξῃ ἡ παραβολή; «Τὸ ἴδιο», λέγει, «θὰ κάνῃ καὶ ὁ Πατήρ μου εἰς ἐσᾶς, ἐὰν δὲν συγχωρήσετε ὁ καθένας σας μέσα εἰς τὴν καρδίαν σας τὰ παραπτώματά των». Δὲν λέγει, ὁ Πατήρ σας, ἀλλ' «ὁ Πατήρ μου». Διότι δὲν ἦτο ἄξιος ὁ ἄνθρωπος αὐτὸς νὰ ὀνομάζεται ὁ Θεὸς Πατήρ του, αὐτὸς ποὺ ἦτο πονηρὸς καὶ μισάνθρωπος.

5. Δύο λοιπὸν πράγματα ζητεῖ ἐδῶ ὁ Κύριος· καὶ ν' ἀναγνωρίζωμεν τὰ ἁμαρτήματά μας καὶ νὰ συγχωρῶμεν τὰ ἁμαρτήματα τῶν ἄλλων. Καὶ πρέπει νὰ ἔχωμεν ἐπίγνωσιν τῶν ἁμαρτιῶν μας διὰ νὰ συγχωρῶμεν εὐκολώτερον τὰ ἁμαρτήματα τῶν ἄλλων (διότι αὐτὸς ποὺ ἔχει ἐπίγνωσιν τῶν ἰδικῶν του ἁμαρτιῶν, εὐκολώτερον συγχωρεῖ τὸν σύνδουλόν του)· καὶ ἡ συγχώρησις δὲν πρέπει νά γίνεται ἁπλῶς μὲ τὸ στόμα, ἀλλὰ ἀπὸ τὴν καρδίαν.

Ἂς μὴ σπρώχνωμεν λοιπὸν τὸ ξίφος εἰς τὸν ἑαυτόν μας ἐπιδεικνύοντες μνησικακίαν. Διότι τί εἶναι αὐτὸ ποὺ σοῦ ἔκανεν αὐτὸς ποὺ σὲ ἐλύπησε τόσον πολύ, ὥστε νὰ ἠμπορῇ νὰ ἐξισωθῇ μὲ τὸ κακὸν ποὺ θὰ προξενήσῃς σὺ εἰς τὸν ἑαυτόν σου μὲ τὸ νὰ διατηρῇς τὴν ὀργήν σου καὶ νὰ ἐπισύρῃς ἔτσι ἐναντίον τοῦ ἑαυτοῦ σου τὴν καταδικαστικὴν ἀπόφασιν τοῦ Θεοῦ; Ἂν λοιπὸν εἶσαι νηφάλιος καὶ ἀντιμετωπίζεις μὲ φιλόσοφον διάθεσιν τὰ πράγματα, τὸ κακὸν θὰ μετατεθῇ εἰς τὴν κεφαλὴν ἐκείνου καὶ ἐκεῖνος θὰ εἶναι αὐτὸς ποὺ θὰ κακοπαθῇ. Ἐνῷ ἂν ἐξακολουθῇς νὰ διατηρῇς τὴν ἀγανάκτησίν σου καὶ τὴν λύπην σου, τότε ὁ ἴδιος θά ζημιωθῇς ὄχι ἀπὸ μέρους ἐκείνου, ἀλλὰ ἀπὸ τὸν ἴδιον τὸν ἑαυτόν σου.

τοίνυν λέγε, ὅτι ὕβρισε καὶ διέβαλε καὶ μυρία εἰργάσατο κακά· ὅσα γὰρ ἂν εἴπῃς, τοσούτῳ μᾶλλον δεικνύεις αὐτὸν εὐεργέτην. Ἔδωκε γὰρ ἀφορμὴν ἀπολούσασθαι τὰ ἁμαρτήματα· ὥστε ὅσῳ ἂν μείζονα ἠδικηκὼς ᾖ, τοσούτῳ μείζονος ἁμαρτημάτων ἀφέσεως αἴτιός σοι καθίσταται. Ἂν γὰρ ἐθέλωμεν, οὐδεὶς ἡμᾶς ἀδικῆσαι δυνήσεται· ἀλλὰ καὶ οἱ ἐχθροὶ τὰ μέγιστα ὠφελήσουσιν ἡμᾶς.

Καὶ τί λέγω τοὺς ἀνθρώπους; Τοῦ γὰρ διαβόλου τί γένοιτ' ἂν πονηρότερον; ἀλλ' ὅμως καὶ ἐκεῖθεν πολλὴν ἀφορμὴν εὐδοκιμήσεως ἔχομεν, καὶ δείκνυσιν ὁ Ἰώβ. Εἰ δὲ ὁ διάβολος ἀφορμὴ γέγονε στεφάνων, τί δέδοικας ἄνθρωπον ἐχθρόν; Ὅρα οὖν ὅσα κερδαίνεις, πράως τὰς τῶν ἐχθρῶν φέρων ἐπηρείας. Πρῶτον μὲν καὶ μέγιστον, ἁμαρτημάτων ἀπαλλαγήν· δεύτερον, καρτερίαν καὶ ὑπομονήν· τρίτον, ἡμερότητα καὶ φιλανθρωπίαν. Ὁ γὰρ τοῖς λυποῦσιν οὐκ εἰδὼς ὀργίζεσθαι, πολλῷ μᾶλλον τοῖς φιλοῦσιν αὐτὸν ἐπιτήδειος ἔσται. Τέταρτον, τὸ καθαρεύειν ὀργῆς διηνεκῶς· ᾧ οὐδὲν γένοιτ' ἂν ἴσον. Ὁ γὰρ ὀργῆς καθαρεύων, εὔδηλον ὅτι καὶ τῆς ἐντεῦθεν ἀθυμίας ἀπήλλακται, καὶ οὐκ ἀνάλωσει τὸν βίον εἰς ματαιοπονίας καὶ ὀδύνας. Ὁ γὰρ οὐκ εἰδὼς ἀπεχθάνεσθαι, οὐδὲ λυπεῖσθαι οἶδεν, ἀλλὰ τρυφῆς ἀπολαύσεται καὶ μυρίων ἀγαθῶν. Ὥστε ἑαυτοὺς τιμωρούμεθα μισοῦντες ἑτέρους· ὥσπερ οὖν καὶ ἑαυτοὺς εὐεργετοῦμεν ἀγαπῶντες. Πρὸς τούτοις ἅπασιν αἰδέσιμος ἔσῃ καὶ αὐτοῖς τοῖς ἐχθροῖς, κἂν δαίμονες ὦσι· μᾶλλον δὲ οὐδὲ ξ-

Μὴ λέγῃς λοιπόν, ὅτι σὲ ὕβρισε καὶ σὲ ἐσυκοφάντησε καὶ σοῦ ἐπροξένησεν ἀμέτρητα κακά· διότι ὅσα περισσότερα εἰπῇς, τόσον μεγαλύτερον εὐεργέτην σου τὸν παρουσιάζεις, καθ' ὅσον σοῦ ἔδωσε τὴν ἀφορμὴν νὰ καθαρισθῇς ἀπὸ τὰ ἁμαρτήματά σου. Ἑπομένως ὅσον μεγαλύτεραι εἶναι αἱ ἀδικίαι ποὺ σοῦ ἔκανε, τόσον περισσότερον γίνεται αἴτιος διὰ νὰ συγχωρηθοῦν τὰ ἁμαρτήματά σου. Διότι ἐὰν θέλωμεν κανεὶς δὲν θὰ ἠμπορέσῃ νὰ μᾶς ἀδικήσῃ, ἀλλ' ἀντιθέτως καὶ οἱ ἐχθροί μας θὰ μᾶς ὠφελήσουν πάρα πολύ.

Καὶ διατί ἀναφέρω τοὺς ἀνθρώπους; Διότι τί θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ πονηρότερον ἀπὸ τὸν διάβολον; ἀλλ' ὅμως καὶ αὐτὸς μᾶς γίνεται μεγάλη ἀφορμὴ προκοπῆς μας εἰς τὴν ἀρετήν, ὅπως ἀποδεικνύεται ἀπὸ τὸν Ἰώβ. Ἐάν δὲ ὁ διάβολος ἔγινεν ἀφορμὴ στεφάνων, τί φοβεῖσαι τὸν ἐχθρὸν καὶ συνάνθρωπόν σου; Πρόσεχε λοιπὸν πόσα κερδίζεις, ὅταν ἀντιμετωπίζῃς μὲ ἐπιείκειαν τὰς ἐχθρότητας ἐκ μέρους τῶν ἐχθρῶν σου. Τὸ πρῶτον καὶ μέγιστον, ὅτι ἀπαλλάσσεσαι ἀπὸ τὰ ἁμαρτήματά σου. Δεύτερον ἀποκτᾷς καρτερίαν καὶ ὑπομονήν. Τρίτον γίνεσαι ἐπιεικὴς καὶ φιλάνθρωπος. Διότι αὐτὸς ποὺ γνωρίζει νὰ μὴ ὀργίζεται ἐναντίον ἐκείνων ποὺ τὸν λυποῦν, θὰ γίνῃ πιὸ ὠφέλιμος καὶ εὐνοϊκὸς πρὸς αὐτοὺς ποὺ τὸν ἀγαποῦν. Τέταρτον εἶναι πάντοτε καθαρὸς ἀπὸ ὀργήν, πρᾶγμα μὲ τὸ ὁποῖον τίποτε δὲν ἠμπορεῖ νὰ ἐξισωθῇ. Διότι αὐτὸς ποὺ εἶναι καθαρὸς ἀπὸ ὀργήν, εἶναι ὁλοφάνερον ὅτι ἔχει ἀπαλλαγῇ καὶ ἀπὸ τὴν λύπην ποὺ προέρχεται ἀπὸ αὐτὴν καὶ δὲν θὰ περάσῃ τὴν ζωήν του μὲ ἀσκόπους κόπους καὶ ὀδύνας. Πράγματι αὐτὸς ποὺ δὲν γνωρίζει νὰ μισῇ τοὺς ἄλλους, δὲν γνωρίζει οὔτε καὶ νὰ λυπῆται, ἀλλὰ θ' ἀπολαύσῃ τρυφὴν καὶ ἄπειρα ἀγαθά. Ὥστε τοὺς ἑαυτούς μας τιμωροῦμεν, ὅταν μισοῦμεν τοὺς ἄλλους, ὅπως ἀκριβῶς βέβαια τοὺς ἑαυτούς μας εὐεργετοῦμεν ὅταν ἀγαπῶμεν τοὺς συνανθρώπους μας. Ἐκτὸς ἀπὸ ὅλα αὐτὰ θὰ σὲ σέβωνται ὅλοι καὶ αὐτοὶ οἱ ἐχθροί σου ἀκόμη καὶ ἂν ἀκόμη εἶναι δαίμονες· μᾶλλον δὲ οὔτε κἂν θὰ ἔχῃς εἰς τὸ

ξεις λοιπὸν ἐχθρὸν διακείμενος οὕτω. Τὸ δὲ πάντων μεῖζον καὶ πρῶτον, τὴν τοῦ Θεοῦ κερδαίνεις φιλανθρωπίαν· κἂν ἡμαρτηκὼς ᾖς, τεύξῃ συγγνώμης· κἂν κατωρθωκὼς ᾖς, πλείονα προσλήψῃ παρρησίαν. Ἀνύοωμεν τοίνυν τὸ μηδένα μισεῖν, ἵνα καὶ ὁ Θεὸς ἡμᾶς φιλήσῃ· ἵνα κἂν μυρίων ταλάντων ὦμεν ὑπεύθυνοι, σπλαγχνισθῇ καὶ ἐλεήσῃ.

Ἀλλ' ἠδίκησαι παρ' αὐτοῦ; Οὐκοῦν ἐλέησον αὐτόν, μὴ μισήσῃς· δάκρυσον καὶ θρήνησον, μὴ ἀποστραφῇς. Οὐ γὰρ οὐ εἷ ὁ προσκεκρουκὼς τῷ Θεῷ, ἀλλ' ἐκεῖνος· σὺ δὲ καὶ εὐδοκίμησας, ἐὰν ἐνέγκῃς. Ἐννόησον, ὅτι σταυροῦσθαι μέλλων ὁ Χριστός, ὑπὲρ ἑαυτοῦ μὲν ἔχαιρεν, ὑπὲρ δὲ τῶν σταυρούντων ἐδάκρυεν. Οὕτω καὶ ἡμᾶς διακεῖσθαι χρή· καὶ ὅσῳ ἂν ἀδικώμεθα, τοσούτῳ μᾶλλον θρηνεῖν τοὺς ἀδικοῦντας. Ἡμῖν μὲν γὰρ πολλὰ ἐντεῦθεν τὰ ἀγαθά· ἐκείνοις δὲ τὰ ἐναντία. Ἀλλ' ἐπὶ πάντων ὕβρισε καὶ ἐτύπτησεν; Οὐκοῦν ἐπὶ πάντων ἑαυτὸν ἤσχυνε καὶ ἠτίμασε, καὶ μυρίων κατηγόρων ἤνοιξε στόματα, καὶ σοὶ πλείονας τοὺς στεφάνους ὕφηνε, καὶ πολλούς σοι τῆς μακροθυμίας συνήγαγε κήρυκας.

Ἀλλὰ πρὸς ἑτέρους διέβαλε; Καὶ τί τοῦτο, τοῦ Θεοῦ ὄντος τοῦ μέλλοντος ἀπαιτεῖν τὰς εὐθύνας, ἀλλ' οὐκ ἐκείνων τῶν ἀκουσάντων; Ἑαυτῷ γὰρ προσέθηκε κολάσεως ὑπόθεσιν, ἵνα μὴ μόνον ὑπὲρ τῶν οἰκείων, ἀλλὰ καὶ ὑπὲρ ὧν περὶ σοῦ διελέχθη, παράσχῃ λόγον. Καὶ σὲ μὲν πρὸς ἀνθρώπους διέβαλεν, αὐτὸς δὲ πρὸς Θεὸν διεβλήθη. Εἰ δὲ οὐκ ἀρκεῖ σοι ταῦτα, ἐννόησον ὅτι καὶ ὁ δεσπότης σου διεβλήθη, καὶ

ἐξῆς ἐχθρὸν ἐὰν ζῇς κατ' αὐτὸν τὸν τρόπον. Τὸ μεγαλύτερον ὁμως καὶ τὸ πρῶτον ἀπὸ ὅλα εἶναι ὅτι κερδίζεις τὴν φιλανθρωπίαν τοῦ Θεοῦ, καὶ ἂν ἔχῃς ἁμαρτήσει, θὰ λάβῃς συγχώρησιν, ἂν δὲ ζῇς ἐνάρετα, θ' ἀποκτήσῃς περισσοτέραν παρρησίαν. Ἂς προσπαθοῦμεν λοιπὸν νὰ ἐπιτύχωμεν ὥστε νὰ μὴ μισοῦμεν κανένα, διὰ νὰ μᾶς ἀγαπήσῃ καὶ ὁ Θεός, ὥστε καὶ ἂν ἀκόμη εἴμεθα ὑπεύθυνοι μυρίων ταλάντων, νὰ μᾶς σπλαγχνισθῇ καὶ νὰ μᾶς ἐλεήσῃ.

Μήπως ὅμως ἠδικήθης ἀπὸ αὐτόν; Ἐλέησέ τον λοιπὸν καὶ μὴ τὸν μισήσῃς· κλαῦσε καὶ θρήνησε δι' αὐτὸν καὶ μὴ τὸν ἀποστραφῇς. Διότι δὲν εἶσαι σὺ ἐκεῖνος ποὺ ἦλθεν εἰς σύγκρουσιν μὲ τὸν Θεόν, ἀλλ' ἐκεῖνος· μάλιστα δὲ καὶ θὰ σημειώσῃς πρόοδον εἰς τὴν ἀρετήν, ἐὰν ὑποφέρῃς τὴν ἀδικίαν. Ἀναλογίσου, ὅτι ὅταν ἐπρόκειτο ὁ Χριστὸς νὰ σταυρωθῇ, ὑπὲρ μὲν τοῦ ἑαυτοῦ του ἐχαίρετο, ἐδάκρυζεν ὅμως ὑπὲρ ἐκείνων ποὺ τὸν ἐσταύρωνον. Ἔτσι πρέπει καὶ ἐμεῖς νὰ συμπεριφερώμεθα· καὶ ὅσον περισσότερον θὰ ἀδικούμεθα, τόσον περισσότερον νὰ θρηνοῦμεν δι' αὐτοὺς ποὺ μᾶς ἀδικοῦν. Διότι ἡμεῖς θ' ἀποκομίσωμεν ἀπὸ ἐκεῖ πολλὰ ἀγαθά, ἐνῷ ἐκεῖνοι τὰ ἀντίθετα. Μήπως ὅμως ἐπὶ πλέον σὲ ὕβρισε καὶ σὲ ἐκτύπησεν; Μὰ τότε παρουσίᾳ ὅλων κατεντρόπιασε τὸν ἑαυτόν του καὶ τὸν ἠτίμασε καὶ ἤνοιξε τὰ στόματα ἀπείρων κατηγόρων, ἐνῷ δι' ἐσένα ὕφανε περισσοτέρους στεφάνους καὶ ἔγινεν αἰτία ν' ἀποκτήσῃς πολλοὺς κήρυκας τῆς μακροθυμίας σου.

Μήπως ὅμως σὲ ἐσυκοφάντησεν εἰς ἄλλους; Καὶ τί μ' αὐτό, ἀφοῦ ὁ Θεὸς εἶναι ἐκεῖνος ποὺ πρόκειται νὰ ζητήσῃ ἀπὸ ἐσένα εὐθύνας καὶ ὄχι ἐκεῖνοι ποὺ ἤκουσαν νὰ σὲ συκοφαντῇ; Διότι εἰς τὸν ἑαυτόν του προσέθεσεν αἰτίαν διὰ τιμωρίαν, ὥστε ν' ἀπολογηθῇ ὄχι μόνον διὰ τὰ ἰδικά του ἁμαρτήματα, ἀλλὰ καὶ δι' ὅσα εἶπεν ἐναντίον σου. Καὶ ἐσένα μὲν σὲ ἐσυκοφάντησε πρὸς τοὺς ἀνθρώπους, ἐνῷ ὁ Ἴδιος ἐσυκοφαντήθη ἐνώπιον τοῦ Θεοῦ. Ἐὰν ὅμως δὲν σοῦ ἀρκοῦν αὐτά, ἀναλογίσου ὅτι καὶ ὁ Κύριός σου ἐσυκοφαντήθη

ὑπὸ τοῦ Σατανᾶ καὶ ὑπὸ τῶν ἀνθρώπων, καὶ πρὸς τοὺς μάλιστα φιλουμένους· καὶ ὁ τούτου μονογενὴς πάλιν τὰ αὐτά. Διὸ ἔλεγεν· «Εἰ τὸν οἰκοδεσπότην Βεελζεβοὺλ ἐκάλεσαν, πολλῷ μᾶλλον τοὺς οἰκιακοὺς αὐτοῦ;». Καὶ οὐ διέβαλεν αὐτὸν μόνον ὁ πονηρὸς δαίμων ἐκεῖνος, ἀλλὰ καὶ ἐπιστεύθη· καὶ διέβαλεν, οὐ τὰ τυχόντα, ἀλλὰ τὰ μέγιστα ὀνείδη καὶ ἐγκλήματα. Καὶ γὰρ δαιμονῶντα αὐτὸν ἔφησε καὶ πλάνον εἶναι καὶ ἀντίθεον.

Ἀλλὰ καὶ εὐεργετήσας ἔπαθες κακῶς; Καὶ διὰ τοῦτο μάλιστα ὑπὲρ μὲν τοῦ ποιήσαντος θρήνει καὶ ἄλγει, ὑπὲρ δὲ σεαυτοῦ καὶ χαῖρε, ὅτι Θεῷ γέγονας ὅμοιος, τῷ τὸν ἥλιον ἀνατέλλοντι ἐπὶ πονηροὺς καὶ ἀγαθούς. Εἰ δὲ καὶ ὑπερβαίνει σε τὸ τὸν Θεὸν μιμεῖσθαι· καίτοιγε τῷ νήφοντι οὐδὲ τοῦτο δύσκολον· ἀλλ' ὅμως εἴ σου μεῖζον εἶναι τοῦτό σοι δοκεῖ, φέρε σε πρὸς τοὺς συνδούλους ἀγάγωμεν· πρὸς τὸν Ἰωσήφ, τὸν μυρία παθόντα καὶ εὐεργετήσαντα τοὺς ἀδελφούς· πρὸς τὸν Μωϋσέα, τὸν μετὰ μυρίας ἐπιβουλὰς ὑπὲρ αὐτῶν δεηθέντα· πρὸς τὸν μακάριον Παῦλον, τὸν οὐδὲ ἀριθμῆσαι ἔχοντα ἅπερ ἔπαθε παρ' αὐτῶν, καὶ ἀξιοῦντα ἀνάθεμα εἶναι ὑπὲρ αὐτῶν· πρὸς τὸν Στέφανον, τὸν λιθαζόμενον καὶ παρακαλοῦντα λυθῆναι αὐτοῖς τὴν ἁμαρτίαν ταύτην.

Καὶ ταῦτα πάντα ἐννοήσας, ἔκβαλε πᾶσαν ὀργήν, ἵνα καὶ ἡμῖν ὁ Θεὸς ἀφῇ πάντα τὰ παραπτώματα, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

10. Ματθ. 10, 25.
11. Πρβλ. Ματθ. 5, 45.
12. Πρβλ. Ρωμ. 9, 3.
13. Πρβλ. Πράξ. 7, 59.

καὶ ὑπὸ τοῦ Σατανᾶ καὶ ὑπὸ τῶν ἀνθρώπων καὶ μάλιστα πρὸς ἐκείνους ποὺ ἠγάπα πάρα πολὺ καὶ ὁ μονογενὴς Υἱός του πάλιν ἔπαθε τὰ ἴδια. Διά τοῦτο ἔλεγεν· «Ἐὰν τὸν οἰκοδεσπότην τὸν ἀπεκάλεσαν Βεελζεβούλ, πόσον μᾶλλον τοὺς ἰδικούς του;»[10]. Καὶ ὄχι μόνον ὁ πονηρὸς ἐκεῖνος δαίμων τὸν ἐσυκοφάντησεν, ἀλλὰ καὶ ἔγινε πιστευτός· καὶ δὲν ἦσαν τυχαῖαι αἱ διαβολαί του, ἀλλὰ τὸν διέβαλε μὲ τὰ μεγαλύτερα ὀνείδη καὶ ἐγκλήματα. Καθ' ὅσον τὸν ἀπεκάλεσε καὶ δαιμονισμένον καὶ πλάνον καὶ ἀντίθεον.

Μήπως ὅμως ἂν καὶ τὸν εὐεργέτησες, σοῦ ἔκανε κακόν; Μὰ ἀκριβῶς δι' αὐτὸν τὸν λόγον, ὑπὲρ ἐκείνου μὲν νὰ θρηνῇς, ὑπὲρ δὲ τοῦ ἑαυτοῦ σου νὰ χαίρεσαι, διότι ἔγινες ὅμοιος μὲ τὸν Θεόν, ὁ ὁποῖος ἀνατέλλει τὸν ἥλιόν του ἐπὶ πονηροὺς καὶ ἀγαθούς[11]. Ἐὰν ὅμως ὑπερβαίνῃ τὰς δυνάμεις σου νὰ μιμῆσαι τὸν Θεόν, ἄν καὶ αὐτὸ βέβαια δὲν εἶναι δύσκολον διὰ τὸν νηφάλιον ἄνθρωπον, ἐὰν λοιπὸν παρ' ὅλα αὐτὰ νομίζῃς ὅτι αὐτὸ ὑπερβάλλει τὰς δυνάμεις σου, ἐμπρὸς νὰ σὲ ὁδηγήσω πρὸς τοὺς συνδούλους σου, πρὸς τὸν Ἰωσήφ, ποὺ ἂν καὶ ἔπαθε μύρια ἀπὸ τοὺς ἀδελφούς του, ὅμως τοὺς εὐεργέτησεν· πρὸς τὸν Μωϋσῆν, ποὺ παρὰ τὰς ἀπείρους ἐπιβουλάς, προσηυχήθη ὑπὲρ αὐτῶν ποὺ τὸν διέβαλον· πρὸς τὸν μακάριον Παῦλον, ὁ ὁποῖος δὲν ἠμπορεῖ ν' ἀπαριθμήσῃ αὐτὰ ποὺ ἔπαθεν ἀπὸ αὐτοὺς καὶ ποὺ παρ' ὅλα αὐτὰ ηὔχετο ν' ἀποχωρισθῇ ἀπὸ τὸν Χριστὸν χάριν αὐτῶν[12]· πρὸς τὸν Στέφανον, ποὺ κατὰ τὴν ὥραν τοῦ λιθοβολισμοῦ του παρεκάλει τὸν Θεὸν νὰ τοὺς συγχωρήσῃ αὐτὴν τὴν ἁμαρτίαν των[13].

Αὐτὰ λοιπὸν ἀφοῦ τὰ βάλῃς καλὰ εἰς τὸν νοῦν σου, διῶξε ἀπὸ μέσα σου κάθε ὀργήν, ὥστε καὶ ὁ Θεὸς νὰ συγχωρήσῃ εἰς ἡμᾶς ὅλα τὰ ἁμαρτήματα, μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖον εἰς Πατέρα καὶ εἰς τὸ ἅγιον Πνεῦμα ἀνήκει δόξα καὶ δύναμις καὶ τιμή, τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΞΒ΄
Ματθ. 19, 1 - 15

«Καὶ ἐγένετο, ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς τοὺς λόγους τούτους, μετῆρεν ἀπὸ τῆς Γαλιλαίας καὶ ἦλθεν ἐπὶ τὰ ὅρια τῆς Ἰουδαίας πέραν τοῦ Ἰορδάνου».

1. Συνεχῶς τὴν Ἰουδαίαν ἀφεὶς διὰ τὴν βασκανίαν τὴν ἐκείνων, νῦν ἐπιχωριάζει λοιπόν, ἐπειδὴ τὸ πάθος ἐγγὺς ἔμελλεν εἶναι· οὐ μὴν εἰς τὰ Ἱεροσόλυμα τέως ἄνεισιν, ἀλλ' εἰς τὰ ὅρια τῆς Ἰουδαίας. «Καὶ ἐλθόντι ἠκολούθησαν αὐτῷ ὄχλοι πολλοί, καὶ ἐθεράπευσεν αὐτούς». Οὔτε τῇ τῶν λόγων διδασκαλίᾳ διηνεκῶς ἐνδιατρίβει, οὔτε τῇ τῶν σημείων θαυματουργίᾳ· ἀλλὰ νῦν μὲν τοῦτο, νῦν δὲ ἐκεῖνο ποιεῖ, ποικίλλων τὴν σωτηρίαν τῶν προσεδρευόντων καὶ ἑπομένων, ὥστε ἀπὸ μὲν τῶν σημείων ἀξιόπιστος, ἐν οἷς ἔλεγε, φανῆναι διδάσκαλος, ἀπὸ δὲ τῆς τῶν λόγων διδασκαλίας ἐπιτεῖναι τὸ ἀπὸ τῶν σημείων κέρδος. Τοῦτο δὲ ἦν τὸ πρὸς θεογνωσίαν αὐτοὺς χειραγωγῆσαι.

Σὺ δέ μοι κἀκεῖνο σκόπει, πῶς ὁλοκλήρους δήμους παραιρέχουσιν ἑνὶ ῥήματι οἱ μαθηταί, οὐ κατὰ ὄνομα ἕκαστον ἀπαγγέλλοντες τῶν θεραπευομένων. Οὐ γὰρ εἶπον, ὅτι ὁ δεῖνα καὶ ὁ δεῖνα, ἀλλ', ὅτι πολλοί, τὸ ἀκόμπαστον παιδεύοντες. Ἐθεράπευε δὲ ὁ Χριστός, ἐκείνους τε εὐεργετῶν, καὶ δι' ἐκείνων πολλοὺς ἑτέρους. Ἡ γὰρ τῆς τούτων ἀσθενείας διόρθωσις ἑτέροις ὑπόθεσις θεογνωσίας ἐγίνετο. Ἀλλ' οὐχὶ

ΟΜΙΛΙΑ ΞΒ΄
Ματθ. 19, 1 - 15

«Καὶ ὅταν ὁ Ἰησοῦς ἐτελείωσε τοὺς λόγους του αὐτούς, ἀνεχώρησεν ἀπὸ τὴν Γαλιλαίαν καὶ ἦλθεν εἰς τὰ σύνορα τῆς Ἰουδαίας πέραν ἀπὸ τὸν Ἰορδάνην».

1. Μολονότι συνεχῶς ἀπέφευγε τὴν Ἰουδαίαν ἐξ αἰτίας τοῦ φθόνου ἐκείνων, τώρα ἐπισκέπτεται πλέον αὐτὴν συχνα, ἐπειδὴ τὸ πάθος του εὑρίσκετο πλησίον· καὶ δὲν ἀνέβη βέβαια ἀπὸ τὴν ἀρχὴν εἰς τὰ Ἱεροσόλυμα, ἀλλ' ἔρχεται εἰς τὰ σύνορα τῆς Ἰουδαίας. «Καὶ ὅταν ἦλθεν ἐκεῖ τὸν ἠκολούθησεν πολὺ πλῆθος λαοῦ καὶ ἐθεράπευσε τοὺς ἀσθενεῖς των». Οὔτε συνεχῶς ἀσχολεῖται μὲ τὴν διδασκαλίαν διὰ τῶν λόγων, οὔτε μὲ τὴν ἐπιτέλεσιν θαυμάτων, ἀλλ' ἄλλοτε μὲν κάνει αὐτό, ἄλλοτε δὲ ἐκεῖνο, ποικίλλων ἔτσι τὰ μέσα σωτηρίας ἐκείνων ποὺ ἔμενον πλησίον του καὶ τὸν ἠκολούθουν, ὥστε ἀπὸ μὲν τὰ θαύματα νὰ γίνεται ἀξιόπιστος διδάσκαλος δι' ὅσα τοὺς ἐδίδασκεν, ἀπὸ δὲ τὴν διδασκαλίαν διὰ τῶν λόγων ν' αὐξήσῃ τὸ κέρδος των ποὺ προήρχετο ἀπὸ τὰ θαύματα. Τὸ κέρδος των δὲ αὐτὸ ἦτο τὸ νὰ τοὺς ὁδηγήσῃ πρὸς τὴν γνῶσιν τοῦ Θεοῦ.

Σὺ ὅμως, σὲ παρακαλῶ, πρόσεχε καὶ ἐκεῖνο, πῶς δηλαδὴ οἱ μαθηταί του παραλείπουν μὲ μίαν λέξιν ὁλόκληρα πλήθη λαοῦ, μὴ ἀναφέροντες ὀνομαστικῶς τὸν καθένα ἀπὸ τοὺς θεραπευομένους. Διότι δὲν εἶπον ὅτι ἐθεραπεύθησαν ὁ τάδε καὶ ὁ τάδε, ἀλλ' ὅτι ἐθεραπεύθησαν πολλοί, διδάσκοντες ἔτσι τὴν ἀποφυγὴν τῆς καυχήσεως. Μὲ τὰς θεραπείας ποὺ ἔκανεν ὁ Χριστός, καὶ ἐκείνους εὐηργέτει καὶ διὰ μέσῳ ἐκείνων καὶ πολλοὺς ἄλλους. Διότι ἡ θεραπεία τῆς ἀσθενείας ἐκείνων ἐγίνετο αἰτία γνώσεως τοῦ Θεοῦ διὰ τοὺς

τοῖς Φαρισαίοις, ἀλλὰ καὶ δι' αὐτὸ τοῦτο μᾶλλον ἐκθηριοῦνται· καὶ προσέρχονται αὐτῷ πειράζοντες. Ἐπειδὴ γὰρ τῶν γινομένων ἐπιλαβέσθαι οὐκ εἶχον, προβλήματα αὐτῷ προβάλλουσι. «Προσελθόντες γὰρ αὐτῷ καὶ πειράζοντες ἔλεγον· εἰ ἔξεστιν ἀνθρώπῳ ἀπολῦσαι τὴν γυναῖκα αὐτοῦ κατὰ πᾶσαν αἰτίαν;».

Ὦ τῆς ἀνοίας. Ὥιοντο ἐπισιομίζειν αὐτὸν διὰ τῶν ζητημάτων, καίτοιγε ἤδη λαβόντες αὐτοῦ τεκμήριον τῆς δυνάμεως ταύτης. Ὅτε γοῦν περὶ τοῦ Σαββάτου πολλὰ διελέχθησαν, ὅτε εἶπον, ὅτι βλασφημεῖ, ὅτε εἶπον, ὅτι δαιμόνιον ἔχει, ὅτε τοῖς μαθηταῖς ἐπετίμησαν διὰ τῶν σπορίμων βαδίζουσιν, ὅτε περὶ ἀνίπτων διελέχθησαν χειρῶν, πανταχοῦ ἀπορράψας αὐτῶν τὰ στόματα, καὶ τὴν ἀναίσχυντον ἐμφράξας γλῶτταν, οὕτω παρέπεμψεν. Ἀλλ' ὅμως οὐδὲ οὕτως ἀφίστανται. Τοιοῦτον γὰρ ἡ πονηρία, τοιοῦτον ἡ βασκανία, ἀναίσχυντον καὶ ἰταμόν· κἂν μυριάκις ἐπισιομισθῇ, μυριάκις ἐφίσταται πάλιν.

Σὺ δέ μοι σκόπει καὶ τὴν ἐκ τοῦ τρόπου τῆς ἐρωτήσεως κακουργίαν. Οὐδὲ γὰρ εἶπον αὐτῷ· ἐκέλευσας μὴ ἀφιέναι γυναῖκα - καὶ γὰρ ἤδη ἦν περὶ τοῦ νόμου τούτου διαλεχθείς, ἀλλ' ὅμως οὐκ ἐμνημόνευσαν ἐκείνων τῶν ῥημάτων -, ἀλλ' ὡρμήθησαν μὲν ἐκεῖθεν, οἰόμενοι δὲ μείζονα ποιεῖν τὴν ἐνέδραν, καὶ βουλόμενοι εἰς ἀντινομίας ἀνάγκην αὐτὸν ἐμβαλεῖν, οὐ λέγουσι, διατί ἐνομοθέτησας τὸ καὶ τό; ἀλλ' ὡς οὐδενὸς εἰρημένου, ἐρωτῶσιν, «εἰ ἔξεστι», προσδοκῶντες ὅτι ἐπιλέλησται εἰρηκώς· καὶ ὄντες ἕτοιμοι, εἰ μὲν εἴποι, ὅτι ἔξεστιν

1. Πρβλ. Ματθ. 12, 1-21.
2. Πρβλ. Ματθ. 9, 3.
3. Πρβλ. Ἰω. 10, 20.
4. Πρβλ. Ματθ. 12, 2.
5. Πρβλ. Μάρκ. 7, 5.
6. Πρβλ. Ματθ. 5, 31-32.

ἄλλους. Τοῦτο ὅμως δὲν συμβαίνει καὶ μὲ τοὺς Φαρισαίους, ἀλλὰ καὶ ἀκριβῶς δι' αὐτὸν τὸν λόγον γίνονται φοβερώτερα θηρία καὶ τὸν πλησιάζουν μὲ σκοπὸν νὰ τὸν πειράξουν. Ἐπειδὴ δηλαδὴ δὲν ἠμποροῦσαν, στηριζόμενοι εἰς τὰ ὅσα ἔκανε, νὰ τὸν κατηγορήσουν καὶ νὰ τὸν συλλάβουν, διὰ τοῦτο προβάλλουν προβλήματα πρὸς λύσιν. Διότι, λέγει, «Τὸν ἐπλησίασαν οἱ Φαρισαῖαι μὲ σκοπὸν νὰ τὸν πειράξουν καὶ τοῦ ἔλεγον· μήπως ἐπιτρέπεται εἰς τὸν ἄνδρα νὰ χωρίσῃ τὴν γυναῖκα του δι' ὁποιανδήποτε αἰτίαν;».

Ὢ τῆς ἀνοησίας των. Ἐνόμιζον ὅτι θὰ τὸν ἀπεστόμωνον διὰ τῶν ἐρωτήσεών των, ἂν καὶ βέβαια εἶχον λάβει ἤδη ἀπόδειξιν τῆς δυνάμεώς του αὐτῆς. Ὅταν δηλαδὴ εἶχον μακρὰν συζήτησιν περὶ τῆς ἀργίας τοῦ Σαββάτου[1], ὅταν εἶπον ὅτι βλασφημεῖ[2], ὅταν εἶπον ὅτι ἔχει δαιμόνιον[3], ὅταν κατηγόρησαν τοὺς μαθητάς του ποὺ ἐβάδιζον διὰ μέσου τῶν χωραφιῶν μὲ σῖτον[4], ὅταν συνεζήτησαν μαζί του περὶ ἀνίπτων χειρῶν[5], εἰς ὅλας αὐτὰς τὰς περιπτώσεις, ἀφοῦ ἔκλεισε τὰ στόματά των καὶ ἔφραξε τὴν ἀναίσχυντον γλῶσσαν των, τοὺς ἀπεμάκρυνε κατ' αὐτὸν τὸν τρόπον ἀπὸ κοντά του. Ἀλλ' ὅμως οὔτε καὶ ἔτσι παραιτοῦνται. Διότι τέτοιο ἀναίσχυντον καὶ θρασὺ πάθος εἶναι ἡ πονηρία, τέτοιο πάθος εἶναι ὁ φθόνος· καὶ ἂν ἀκόμη ἀποστομωθῇ μυρίας φοράς, ἐπιτίθεται καὶ πάλιν ἀπείρους φοράς.

Σὺ ὅμως, σὲ παρακαλῶ, πρόσεχε τὴν κακουργίαν των καὶ ἀπὸ τὸν τρόπον τῆς ἐρωτήσεως. Διότι δὲν τοῦ εἶπον, Ἐπρόσταξες νὰ μὴ ἀφήνῃ κανεὶς τὴν γυναῖκα του — καθ' ὅσον εἶχεν ἤδη ὁμιλήσει περὶ τοῦ νόμου αὐτοῦ[6], παρ' ὅλα αὐτὰ δὲν ἐμνημόνευσαν ἐκείνους τοὺς λόγους —, ἀλλ' ὡρμήθησαν μὲν ἀπὸ ἐκεῖ, νομίζοντες ὅμως ὅτι θὰ τοῦ στήσουν μεγαλυτέραν ἐνέδραν καὶ θέλοντες νὰ τὸν ὁδηγήσουν κατ' ἀνάγκην εἰς ἀντίφασιν, δὲν τοῦ λέγουν, διατί ἐνομοθέτησες αὐτὸ καὶ αὐτό; ἀλλ', ὡσὰν νὰ μὴ εἶχε λεχθῇ τίποτε, τὸν ἐρωτοῦν, «ἐὰν ἐπιτρέπεται», ἀναμένοντες ὅτι ἔχει λησμονήσει ὅτι ὡμίλησε περὶ αὐτοῦ· καὶ εἶναι ἕτοιμοι, ἐὰν μὲν εἰπῇ

ἀφεῖναι, ἀντιθεῖναι αὐτῷ τὰ παρ᾽ αὐτοῦ εἰρημένα, καὶ εἰπεῖν· πῶς οὖν εἴρηκας τὰ ἐναντία; εἰ δὲ τὰ αὐτὰ πάλιν ἅπερ καὶ ἔμπροσθεν, ἀντιθεῖναι τὸ Μωϋσέως.

Τί οὖν αὐτός; Οὐκ εἶπε, «τί με πειράζετε, ὑποκριταί;», καίτοιγε μετὰ ταῦτα λέγει, ἀλλ᾽ ἐνταῦθα οὔ φησι τοῦτο. Τί δήποτε; Ἵνα μετὰ τῆς δυνάμεως αὐτοῦ καὶ τὴν ἡμερότητα ἐπιδείξηται. Οὔτε γὰρ ἀεὶ σιγᾷ, ἵνα μὴ νομίσωσι λανθάνειν, οὔτε ἀεὶ ἐλέγχει, ἵνα παιδεύσῃ ἡμᾶς ἡμέρως πάντα φέρειν. Πῶς οὖν αὐτοῖς ἀποκρίνεται; «Οὐκ ἀνέγνωτε, ὅτι ὁ ποιήσας ἀπ᾽ ἀρχῆς, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς; καὶ εἶπεν· ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα, καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν. Ὥστε οὐκέτι εἰσὶ δύο, ἀλλὰ σὰρξ μία. Ὃ οὖν ὁ Θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω».

Ὅρα σοφίαν διδασκάλου. Ἐρωτηθεὶς γάρ, «εἰ ἔξεστιν», οὐκ εὐθέως εἶπεν, οὐκ ἔξεστιν, ἵνα μὴ θορυβηθῶσι καὶ ταραχθῶσιν, ἀλλὰ πρὸ τῆς ἀποφάσεως διὰ τῆς κατασκευῆς κατέστησε δῆλον τοῦτο, δεικνὺς ὅτι καὶ αὐτὸ τοῦ Πατρὸς αὐτοῦ ἐστι τὸ πρόσταγμα, καὶ ὅτι οὐκ ἐναντιούμενος Μωϋσεῖ ταῦτα ἐπέταξεν, ἀλλὰ καὶ σφόδρα συμβαίνων. Σκόπει δὲ αὐτὸν οὐκ ἀπὸ τῆς δημιουργίας ἰσχυριζόμενον μόνον, ἀλλὰ καὶ ἀπὸ τοῦ προστάγματος αὐτοῦ. Οὐ γὰρ εἶπεν, ὅτι ἐποίησεν ἕνα ἄνδρα καὶ μίαν γυναῖκα μόνον ἀλλ᾽ ὅτι καὶ τοῦτο ἐκέλευσεν, ὥστε τὸν ἕνα τῇ μιᾷ συνάπτεσθαι. Εἰ δὲ ἐβούλετο ταύτην μὲν ἀφιέναι, ἑτέραν δὲ ἐπεισάγειν, ἕνα ἄνδρα

7. Ματθ. 22, 18.
8. Πρβλ. Γεν. 2, 24.

ὅτι ἐπιτρέπεται νὰ ἀφήσουν τὰς γυναῖκας των, νὰ τοῦ ἀντιπαραθέσουν τὰ αὐτὰ ποὺ ὁ ἴδιος εἶπε παλαιότερον καὶ νὰ τοῦ εἰποῦν· Πῶς λοιπὸν τότε εἶχες εἴπει τὰ ἀντίθετα; ἐὰν ὅμως καὶ πάλιν ἐπαναλάβῃ τὰ ἴδια ποὺ εἶπε καὶ παλαιότερα, νὰ τοῦ προβάλουν τὸν νόμον τοῦ Μωϋσέως.

Τί ἀπαντᾷ λοιπὸν αὐτός; Δὲν εἶπε, «Διατί μὲ πειράζετε, ὑποκριταί;»[7], ἂν καὶ βέβαια εἰς τὴν συνέχειαν τὸ λέγει καὶ αὐτό, ἀλλὰ τώρα δὲν τοὺς τὸ λέγει αὐτό. Πρὸς ποῖον σκοπὸν λοιπόν; Διὰ νὰ τοὺς δείξῃ μαζὶ μὲ τὴν δύναμίν του καὶ τὴν πραότητά του. Οὔτε βέβαια πάντοτε σιωπᾷ, διὰ νὰ νομίσουν ὅτι δὲν γνωρίζει τὰς σκέψεις των, οὔτε δὲ τοὺς ἐλέγχει πάντοτε, διὰ νὰ μᾶς διδάξῃ νὰ τὰ ὑποφέρωμεν ὅλα μὲ πραότητα. Ποίαν λοιπὸν ἀπάντησιν τοὺς δίδει; «Δὲν ἀνεγνώσατε, ὅτι ὁ Θεὸς ποὺ ἐδημιούργησε τὰ πάντα, ἀπὸ τὴν ἀρχὴν ἔκανε τὸν ἄνδρα μαζὶ μὲ τὴν γυναῖκα; καὶ εἶπεν· Διὰ τοῦτο ὁ ἄνθρωπος θὰ ἐγκαταλείψῃ τὸν πατέρα του καὶ τὴν μητέρα του καὶ θὰ προσκολληθῇ εἰς τὴν γυναῖκα του καὶ θὰ γίνουν οἱ δύο μία σάρκα[8]. Ἄρα δὲν εἶναι πλέον δύο, ἀλλὰ μία σάρκα. Αὐτὸ λοιπὸν ποὺ ὁ Θεὸς συνήνωσεν, ὁ ἄνθρωπος ἂς μὴ τὸ χωρίζῃ».

Πρόσεχε σοφίαν διδασκάλου. Διότι, ἐρωτηθείς, «ἐὰν ἐπιτρέπεται», δὲν ἀπήντησεν εὐθὺς ἐξ ἀρχῆς, δὲν ἐπιτρέπεται διὰ νὰ μὴ θορυβηθοῦν καὶ ταραχθοῦν, ἀλλὰ πρὶν ἀπὸ τὴν ἀπόφασίν του τὸ ἔκανεν αὐτὸ φανερὸν ἀπὸ τὴν δημιουργίαν, δεικνύων ὅτι καὶ αὐτὸ ἦτο πρόσταγμα τοῦ Πατρός του, καὶ ὅτι δὲν ἔδωσεν αὐτὴν τὴν ἐντολὴν διὰ νὰ ἔλθῃ εἰς ἀντίθεσιν μὲ τὸν Μωϋσῆ, ἀλλὰ καὶ συμφωνῶν πάρα πολὺ μὲ αὐτόν. Καὶ πρόσεχε ὅτι δὲν ἐπικυρώνει τὴν προσταγήν του αὐτὴν μόνον ἀπὸ τὴν δημιουργίαν, ἀλλὰ καὶ ἀπὸ τὸ πρόσταγμα τοῦ Πατρός. Διότι δὲν εἶπεν, ὅτι ἐδημιούργησεν ἕνα μόνον ἄνδρα καὶ μίαν γυναῖκα, ἀλλ' ὅτι ἔδωσε καὶ αὐτὴν τὴν ἐντολήν, ὥστε ὁ ἄνδρας νὰ εἶναι προσκολλημένος εἰς τὴν γυναῖκα του. Ἐὰν ὅμως ὁ Θεὸς ἤθελε νὰ χωρίζῃ ὁ ἄνδρας τὴν γυναῖκα του καὶ νὰ παίρνῃ ἄλλην, δημιουργή-

ποιήσας, πολλὰς ἂν ἔπλασε γυναῖκας. Νῦν δὲ καὶ τῷ τρόπῳ τῆς δημιουργίας καὶ τῷ τρόπῳ τῆς νομοθεσίας ἔδειξεν, ὅτι ἕνα δεῖ μιᾷ συνοικεῖν διαπαντός, καὶ μηδέποτε διαρρήγνυσθαι. Καὶ ὅρα πῶς φησιν· «ὁ ποιήσας ἐξ ἀρχῆς, ἄρσεν καὶ θῆλυ ἐποίησε»· τουτέστιν, ἐκ μιᾶς ῥίζης ἐγένοντο· καὶ εἰς ἓν σῶμα συνῆλθον· «ἔσονται γὰρ οἱ δύο εἰς σάρκα μίαν».

Εἶτα φοβερὸν ποιῶν τὸ ταύτης κατηγορεῖν τῆς νομοθεσίας, καὶ πηγνὺς τὸν νόμον, οὐκ εἶπε, μὴ διασπᾶτε τοίνυν, μηδὲ χωρίζετε, ἀλλ' ὅτι «ὃ ὁ Θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω». Εἰ δὲ Μωϋσέα προβάλλῃ, ἐγώ σοι λέγω τὸν Μωϋσέως δεσπότην, καὶ μετὰ τούτου καὶ τῷ χρόνῳ ἰσχυρίζομαι. Ὁ γὰρ Θεὸς ἐξ ἀρχῆς ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς· καὶ πρεσβύτερος οὗτος ὁ νόμος, εἰ καὶ δοκεῖ παρ' ἐμοῦ νῦν εἰσάγεσθαι, καὶ μετὰ πολλῆς κείμενος τῆς σπουδῆς. Οὐδὲ γὰρ ἁπλῶς προσήγαγε τὴν γυναῖκα τῷ ἀνδρί, ἀλλὰ καὶ μητέρα ἀφεῖναι ἐκέλευσε καὶ πατέρα. Καὶ οὐδὲ ἐλθεῖν πρὸς τὴν γυναῖκα ἁπλῶς ἐνομοθέτησεν, ἀλλὰ καὶ κολληθῆναι, τῷ τρόπῳ τῆς λέξεως τὸ ἀδιάσπαστον ἐμφαίνων. Καὶ οὐδὲ τούτῳ ἠρκέσθη, ἀλλὰ καὶ ἑτέραν μείζονα συνάφειαν ἐπεζήτησεν· «ἔσονται γάρ», φησίν, «οἱ δύο εἰς σάρκα μίαν».

2. Εἶτα ἐπειδὴ τὸν παλαιὸν ἀνέγνω νόμον, τὸν καὶ διὰ πραγμάτων καὶ διὰ ῥημάτων εἰσενεχθέντα, καὶ ἀξιόπιστον ἀπὸ τοῦ δεδωκότος ἀπέφηνε, μετ' ἐξουσίας λοιπὸν καὶ αὐτὸς ἑρμηνεύει καὶ νομοθετεῖ λέγων· «ὥστε οὐκέτι εἰσὶ δύο, ἀλλὰ σὰρξ μία». Ὥσπερ οὖν σάρκα τεμεῖν ἐναγές, οὕτω καὶ

σας τὸν ἕνα ἄνδρα, θὰ ἐδημιούργει πολλὰς γυναῖκας. Τώρα ὅμως καὶ μὲ τὸν τρόπον τῆς δημιουργίας καὶ μὲ τὸν τρόπον τῆς νομοθεσίας ἔδειξεν, ὅτι ὁ κάθε ἄνδρας πρέπει νὰ συζῇ εἰς ὅλην τὴν ζωήν του μὲ μίαν γυναῖκα καὶ νὰ μὴ διασπᾷ ποτὲ τὸν ζυγὸν αὐτόν. Καὶ πρόσεχε τί λέγει· «Αὐτὸς ποὺ ἐδημιούργησε τὸν ἄνθρωπον ἀπὸ τὴν ἀρχήν, ὅτι τὸν ἐδημιούργησεν ἄνδρα καὶ γυναῖκα»· δηλαδὴ ἐδημιουργήθησαν ἀπὸ μίαν ρίζαν· καὶ συνηνώθησαν εἰς ἕνα σῶμα· διότι, λέγει, «θὰ γίνουν οἱ δύο μία σάρκα».

Εἰς τὴν συνέχειαν μὲ σκοπὸν νὰ δείξῃ ὅτι εἶναι φοβερὸν τὸ νὰ κατηγορῇ κανεὶς αὐτὴν τὴν νομοθεσίαν καὶ διὰ νὰ σταθεροποιήσῃ τὸν νόμον, δὲ εἶπε, Μὴ διασπᾶτε λοιπὸν τὴν συζυγίαν, οὔτε νὰ χωρίζετε τὴν γυναῖκα, ἀλλ' εἶπεν· «Αὐτὸ ποὺ ὁ Θεὸς συνήνωσεν, ὁ ἄνθρωπος ἂς μὴ τὸ χωρίζῃ». Ἐὰν ὅμως σὺ προβάλλῃς τὸν Μωϋσέα, ἐγὼ σοῦ προβάλλω τὸν Κύριον τοῦ Μωϋσέως καὶ μαζὶ μ' αὐτὸ σοῦ παραθέτω καὶ τὸν χρόνον. Διότι ὁ Θεὸς ἀπὸ τὴν ἀρχὴν ἐδημιούργησεν αὐτοὺς ἀπὸ ἄνδρα καὶ γυναῖκα. Καὶ αὐτὸς ὁ νόμος εἶναι πολὺ παλαιός, ἂν καὶ φαίνεται ὅτι εἰσάγεται τώρα ἀπὸ ἐμένα, καὶ ὅτι περιέχει αὐτὸς ὅλως ἰδιαιτέραν φροντίδα. Διότι δὲν προσέθεσεν ἁπλῶς εἰς τὸν ἄνδρα τὴν γυναῖκα, ἀλλὰ ἔδωσεν ἐντολὴν ν' ἀφήνῃ καὶ τὸν πατέρα του καὶ τὴν μητέρα του. Καὶ δὲν ἐνομοθέτησεν ἁπλῶς νὰ ἔλθῃ πρὸς τὴν γυναῖκα του, ἀλλὰ καὶ νὰ προσκολληθῇ εἰς αὐτήν, δεικνύων μὲ τὴν ἔννοιαν αὐτῆς τῆς λέξεως τὸ ἀδιάσπαστον. Καὶ δὲν ἠρκέσθη μόνον εἰς αὐτό, ἀλλ' ἐπεδίωξε καὶ ἄλλην μεγαλυτέραν ἕνωσιν· διότι λέγει· «θὰ γίνουν οἱ δύο μία σάρκα».

2. Ἀκολούθως ἐπειδὴ ἀνέγνωσε τὸν παλαιὸν νόμον, ποὺ ἐπεβεβαιώθη καὶ μὲ τὰ γεγονότα καὶ μὲ τοὺς λόγους, καὶ ἀπέδειξεν ὅτι εἶναι ἀξιόπιστος καὶ ἀπὸ τὸν νομοθέτην, εἰς τὴν συνέχειαν καὶ ὁ ἴδιος ἑρμηνεύει καὶ νομοθετεῖ μὲ ἐξουσίαν, λέγων· «Ὥστε δὲν εἶναι πλέον δύο, ἀλλὰ μία σάρξ». Ὅπως ἀκριβῶς λοιπὸν εἶναι βδελυρὸν πρᾶγμα νὰ κόπτῃ κανεὶς τὴν σάρκα, ἔτσι εἶναι παράνομον καὶ τὸ νὰ

γυναῖκα διαστῆσαι παράνομον. Καὶ οὐκ ἔστιν μέχρι τούτου, ἀλλὰ καὶ τὸν Θεὸν ἐπήγαγε, λέγων· «ὃ οὖν Θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω», δεικνὺς ὅτι καὶ παρὰ φύσιν καὶ παρὰ νόμον τὸ γινόμενον· παρὰ φύσιν μέν, ὅτι μία διατέμνειται σάρξ· παρὰ νόμον δέ, ὅτι τοῦ Θεοῦ συνάψαντος καὶ κελεύσαντος μὴ διαχωρίζεσθαι, αὐτοὶ συνεπιτίθεσθε τοῦτο δρᾶν.

Τί οὖν μετὰ ταῦτα ἐχρῆν; οὐχ ἡσυχάσαι καὶ ἐπαινέσαι τὸ εἰρημένον; οὐχὶ θαυμάσαι τὴν σοφίαν; οὐκ ἐκπλαγῆναι τὴν συμφωνίαν τὴν πρὸς τὸν Πατέρα; Ἀλλ' οὐδὲν τούτων ποιοῦσιν, ἀλλ' ὡς δῆθεν ἐπαγωνιζόμενοί φασι· «πῶς οὖν Μωϋσῆς ἐνετείλατο δοῦναι βιβλίον ἀποστασίου, καὶ ἀπολῦσαι αὐτήν;». Καίτοιγε τοῦτο λοιπὸν οὐκ αὐτοὺς ἔδει προβαλεῖν, ἀλλ' αὐτὸν αὐτοῖς· ἀλλ' ὅμως οὐκ ἐπεμβαίνει, οὐδὲ λέγει τοῦτο αὐτοῖς, ὅτι τοῦδε οὐκ εἰμὶ λοιπὸν ὑπεύθυνος ἐγώ· ἀλλὰ καὶ τοῦτο διαλύεται. Καὶ μὴν εἰ ἀλλόφυλος ἦν τῆς παλαιᾶς, οὐκ ἂν ἠγωνίσατο ὑπὲρ Μωϋσέως· οὐκ ἂν ἀπὸ τῶν ἄπαξ ἐν ἀρχῇ γενομένων ἰσχυρίσατο· οὐκ ἂν ἐσπούδασε τὰ αὐτοῦ δεῖξαι συμβαίνοντα τοῖς παλαιοῖς. Καίτοιγε πολλὰ καὶ ἄλλα Μωϋσῆς ἐκέλευσε, καὶ τὰ περὶ βρωμάτων, καὶ τὰ περὶ Σαββάτου· τίνος οὖν ἕνεκεν οὐδαμοῦ αὐτὸν προβάλλονται, ὡς ἐνταῦθα; Βουλόμενοι τὸ πλῆθος τῶν ἀνδρῶν ἐπιστρατεῦσαι αὐτῷ. Καὶ γὰρ ἀδιάφορον Ἰουδαίοις τοῦτο ἦν, καὶ πάντες τοῦτό γε ἔπραττον. Διὰ δὴ τοῦτο τοσούτων ἐν τῷ ὄρει λεχθέντων, ταύτης ἐμέμνητο μόνης τῆς ἐντολῆς νῦν.

χωρίσῃ κανεὶς τὴν γυναῖκα του. Καὶ δὲν ἐσταμάτησε μέχρις ἐδῶ, ἀλλὰ προσέθεσε καὶ τὸν Θεόν, λέγων· «Αὐτὸ ποὺ ὁ Θεὸς τὸ συνήνωσεν, ὁ ἄνθρωπος ἂς μὴ τὸ χωρίζῃ», δεικνύων ἔτσι ὅτι αὐτὸ ποὺ συμβαίνει εἶναι ἀντίθετον καὶ πρὸς τὴν φύσιν καὶ πρὸς τὸν νόμον· εἶναι ἀντίθετον πρὸς τὴν φύσιν, διότι ἀποκόπτεται ἡ μία σάρξ, ἀντίθετον δὲ πρὸς τὸν νόμον, διότι μολονότι ὁ Θεὸς τοὺς συνήνωσε καὶ ἐπρόσταξε νὰ μὴ χωρίζουν, αὐτοὶ ἐπιτίθενται μαζὶ μὲ σκοπὸν νὰ χωρίσουν.

Τί ἔπρεπε λοιπὸν νὰ κάνουν μετὰ ἀπὸ αὐτά; δὲν ἔπρεπε νὰ ἡσυχάσουν καὶ νὰ ἐπαινέσουν αὐτὸ ποὺ ἐλέχθη; δὲν ἔπρεπε νὰ θαυμάσουν τὴν σοφίαν; δὲν ἔπρεπε νὰ ἐκπλαγοῦν ἀπὸ τὴν συμφωνίαν του πρὸς τὸν Πατέρα; Ὅμως τίποτε ἀπὸ αὐτὰ δὲν κάνουν, ἀλλ' ὡς δῆθεν ἀγωνιζόμενοι ὑπὲρ τοῦ νόμου λέγουν· «Πῶς λοιπὸν τότε ὁ Μωϋσῆς διέταξε νὰ δίδῃ ἔγγραφον διαζυγίου καὶ νὰ τὴν χωρίζῃ; Ἂν καὶ βέβαια αὐτὸ δὲν ἔπρεπε νὰ τοῦ τὸ προβάλλουν αὐτοί, ἀλλ' αὐτὸς εἰς αὐτούς· καὶ ὅμως δὲν ἐπεμβαίνει, οὔτε τοὺς λέγει αὐτό, ὅτι δηλαδὴ δὲν εἶμαι ἐγὼ ὑπεύθυνος πλέον δι' αὐτό· ἀλλὰ καὶ αὐτὸ τὸ ἀναιρεῖ. Καὶ ὅμως ἐὰν ἦτο ἀντίθετος πρὸς τὴν Παλαιὰν Διαθήκην, δὲν θὰ ἠγωνίζετο ὑπὲρ τοῦ Μωϋσέως· δὲν θὰ ἐπεβεβαίωνε μὲ ἐπιμονὴν τοὺς λόγους του μὲ ἐκεῖνα ποὺ συνέβησαν μίαν φορὰν εἰς τὴν ἀρχήν· δὲν θὰ ἐφρόντιζε νὰ ἀποδείξῃ ὅτι αἱ ἐντολαί του συμφωνοῦν μὲ τοὺς παλαιοὺς νόμους. Καὶ βέβαια ὁ Μωϋσῆς ἐνομοθέτησε καὶ πολλοὺς ἄλλους νόμους, καὶ τοὺς νόμους διὰ τὰ φαγητὰ καὶ τοὺς νόμους διὰ τὸ Σάββατον· διὰ ποῖον λόγον λοιπὸν δὲν τὸν προβάλλουν ποτὲ ἄλλοτε, ὅπως εἰς τὴν περίπτωσιν αὐτήν; Ἐπειδὴ ἤθελον νὰ διεγείρουν ἐναντίον του τὸ πλῆθος τῶν ἀνδρῶν, καθ' ὅσον οἱ Ἰουδαῖοι ἦσαν ἀδιάφοροι δι' αὐτὸ καὶ ὅλοι σχεδὸν ἐχώριζον τὰς γυναῖκας των. Διὰ τοῦτο λοιπὸν ἂν καὶ τόσα ἐλέχθησαν κατὰ τὴν ἐπὶ τοῦ ὄρους ὁμιλίαν, ἐνεθυμήθησαν τώρα αὐτὴν καὶ μόνον.

Ἀλλ' ὅμως ἡ ἀπόρρητος σοφία καὶ ὑπὲρ τούτων ἀπολογεῖται, καί φησι· «Μωϋσῆς πρὸς τὴν σκληροκαρδίαν ὑμῶν» οὕτως ἐνομοθέτησε. Καὶ οὐδὲ ἐκεῖνον ἀφίησιν ὑπὸ κατηγορίαν μένειν, ἐπειδὴ καὶ τὸν νόμον αὐτὸς ἦν αὐτῷ δεδωκώς· ἀλλ' ἐξαιρεῖται αὐτὸν τοῦ ἐγκλήματος, καὶ τὸ πᾶν εἰς τὴν ἐκείνων περιτρέπει κεφαλήν· ὃ πανταχοῦ ποιεῖ. Καὶ γὰρ ὅτε τοὺς μαθητὰς τίλλοντας τοὺς στάχυας ἠτιῶντο, δείκνυσιν αὐτοὺς ὄντας ὑπευθύνους· καὶ ὅτε παράβασιν ἐνεκάλουν περὶ τοῦ μὴ νίπτεσθαι τὰς χεῖρας, δείκνυσιν αὐτοὺς ὄντας τοὺς παραβάτας· καὶ ἐπὶ τοῦ Σαββάτου δέ, καὶ πανταχοῦ, καὶ ἐνταῦθα ὁμοίως. Εἶτα ἐπειδὴ φορτικὸν ἦν τὸ εἰρημένον, καὶ πολλὴν ἔφερεν αὐτοῖς τὴν διαβολήν, ταχέως πάλιν ἐπὶ τὸν ἀρχαῖον ἀνάγει νόμον τὸν λόγον, λέγων ὅπερ καὶ ἔμπροσθεν εἶπεν· «ἀπ' ἀρχῆς δὲ οὐκ ἐγένετο οὕτω»· τουτέστιν, ὅτι διὰ τῶν πραγμάτων ἡμῖν ἐξ ἀρχῆς ὁ Θεὸς ἐνομοθέτησε τὰ ἐναντία. Ἵνα γὰρ μὴ λέγωσι, πόθεν δῆλον ὅτι διὰ τὴν ἡμῶν σκληρότητα τοῦτο εἶπε Μωϋσῆς; ἐκεῖθεν πάλιν αὐτοὺς ἐπιστομίζει. Εἰ γὰρ οὕτος προηγούμενος ἦν ὁ νόμος καὶ συμφέρων, οὐκ ἂν ἐκεῖνος ἐξ ἀρχῆς ἐδόθη· οὐκ ἂν οὕτω πλάττων ἔπλασεν ὁ Θεός· οὐκ ἂν τοιαῦτα εἶπε.

«Λέγω δὲ ὑμῖν, ὅτι ὃς ἂν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ, παρεκτὸς λόγου πορνείας, καὶ γαμήσῃ ἄλλην, μοιχᾶται». Ἐπειδὴ γὰρ αὐτοὺς ἐπεστόμισε, μετὰ αὐθεντίας νομοθετεῖ λοιπόν, ὥσπερ ἐπὶ τῶν βρωμάτων, ὥσπερ ἐπὶ τοῦ Σαββάτου. Καὶ γὰρ ἐπὶ τῶν βρωμάτων ἐρωτήσας αὐτούς, τότε διελέχθη τοῖς ὄχλοις, ὅτι «οὐ τὸ εἰσερχόμενον κοινοῖ τὸν

Ἀλλ' ὅμως ἡ ἀπόρρητος σοφία ἀπολογεῖται καὶ δι' αὐτὰ καὶ λέγει· «Ὁ Μωϋσῆς ἐξ αἰτίας τῆς σκληροκαρδίας σας» ἐθέσπισεν αὐτὸν τὸν νόμον. Καὶ δὲν ἀφήνει οὔτε ἐκεῖνον νὰ τὸν κατηγοροῦν, ἐπειδὴ καὶ τὸν νόμον αὐτὸν αὐτὸς ὁ ἴδιος τὸν ἔδωσεν εἰς αὐτόν· ἀλλὰ τὸν ἀπαλλάσσει ἀπὸ τὴν κατηγορίαν καὶ ἐπιρρίπτει ὅλην τὴν εὐθύνην εἰς ἐκείνους, πρᾶγμα ποὺ τὸ κάνει πάντοτε. Διότι καὶ ὅταν κατηγόρουν τοὺς μαθητάς του ποὺ ἐξεφλούδιζον τὰ στάχυα, ἀπέδειξεν ὅτι αὐτοὶ οἱ ἴδιοι ἦσαν ὑπεύθυνοι· καὶ ὅταν τοὺς κατηγόρουν ὅτι παρέβαινον τὸν νόμον ποὺ ἔτρωγον μὲ ἄνιπτα χέρια, ἀπέδειξεν ὅτι αὐτοὶ ἦσαν οἱ παραβάται καὶ διὰ τὴν ἀργίαν τοῦ Σαββάτου καὶ διὰ κάθε ἄλλην περίπτωσιν ὡς καὶ εἰς τὴν περίπτωσιν αὐτὴν συνέβη τὸ ἴδιον. Εἰς τὴν συνέχειαν ἐπειδὴ ἦσαν βαρειὰ τὰ λόγια του καὶ ἀπέδιδον εἰς αὐτοὺς μεγάλην κατηγορίαν, ἀμέσως φέρει καὶ πάλιν τὸν λόγον πρὸς τὸν ἀρχαῖον νόμον, λέγων αὐτὸ ποὺ εἶπε καὶ προηγουμένως· «Ἀλλ' ὅμως δὲν συνέβαινεν ἔτσι ἀπὸ τὴν ἀρχήν»· δηλαδὴ ὁ Θεὸς ἀπὸ τὴν ἀρχὴν μὲ τὰ ἴδια τὰ πράγματα ἐνομοθέτησε τὰ ἀντίθετα. Διὰ νὰ μὴ λέγουν δηλαδή, Ἀπὸ ποῦ φαίνεται ὅτι ὁ Μωϋσῆς τὸ εἶπεν αὐτὸ ἐξ αἰτίας τῆς σκληροκαρδίας μας; τοὺς ἀποστομώνει καὶ πάλιν ἀπὸ τὸν νόμον. Διότι ἐὰν ὁ νόμος αὐτὸς ἦτο παλαιότερος καὶ συμφέρων, δὲν θὰ ἐδίδετο ἐκεῖνος ἀπὸ τὴν ἀρχήν· δὲν θὰ ἔπλαθεν ὁ Θεὸς ἔτσι τὸν ἄνθρωπον ὅταν τὸν ἐδημιούργει· δὲν θὰ ἔλεγεν αὐτοὺς τοὺς λόγους.

«Ἀλλ' ὅμως σᾶς λέγω, ὅτι ἐκεῖνος ποὺ θὰ χωρίσῃ τὴν γυναῖκα δι' ὁποιανδήποτε ἄλλην αἰτίαν, ἐκτὸς ἀπὸ πορνείαν, καὶ συμφευθῇ ἄλλην, διαπράττει μοιχείαν». Ἀφοῦ δηλαδὴ τοὺς ἀπεστόμωσεν, εἰς τὴν συνέχειαν νομοθετεῖ μὲ αὐθεντίαν, ὅπως ἀκριβῶς εἰς τὴν περίπτωσιν τῶν φαγητῶν, ὅπως ἀκριβῶς εἰς τὴν περίπτωσιν τῆς ἀργίας τοῦ Σαββάτου. Καθ' ὅσον καὶ εἰς τὴν περίπτωσιν τῶν φαγητῶν, ὅταν ἀνέτρεψε τὰ ἐπιχειρήματά των, τότε διετύπωσε πρὸς τὰ πλήθη τὴν διδασκαλίαν, ὅτι «δὲν μολύνει τὸν ἄνθρωπον ἐκεῖνο ποὺ

ἄνθρωπον»· καὶ ἐπὶ τοῦ Σαββάτου ἐπισιομίσας αὐτούς φησιν· «ὥστε ἔξεστιν ἐν Σαββάτῳ καλῶς ποιεῖν»· καὶ ἐνταῦθα τὸ αὐτὸ τοῦτο.

Ἀλλ' ὅπερ ἐκεῖ συνέβη, τοῦτο καὶ ἐνταῦθα. Ὥσπερ γὰρ ἐκεῖ τῶν Ἰουδαίων ἐπισιομισθέντων οἱ μαθηταὶ ἐθορυβήθησαν καὶ προσελθόντες αὐτῷ μετὰ Πέτρου ἔλεγον, «φράσον ἡμῖν τὴν παραβολὴν ταύτην», οὕτω καὶ νῦν θορυβηθέντες ἔλεγον· «εἰ οὕτως ἐστὶν ἡ αἰτία τοῦ ἀνθρώπου, συμφέρει μὴ γαμῆσαι». Καὶ γὰρ νῦν ἐνόησαν μᾶλλον ἢ πρότερον τὸ λεχθέν. Διὰ τοῦτο τότε μὲν ἐσίγησαν, νῦν δέ, ἐπειδὴ ἀντίρρησις καὶ ἀπόκρισις γέγονε, καὶ ἐρώτησις καὶ πεῦσις, καὶ σαφέστερος ὁ νόμος ἐφάνη, ἐρωτῶσιν αὐτόν. Καὶ φανερῶς μὲν ἀντειπεῖν οὐ τολμῶσι· τὸ δὲ ἐξ αὐτοῦ βαρὺ δοκοῦν εἶναι καὶ φορτικὸν εἰς μέσον προάγουσι, λέγοντες· «εἰ οὕτως ἐστὶν ἡ αἰτία τοῦ ἀνθρώπου μετὰ τῆς γυναικός, οὐ συμφέρει γαμῆσαι». Καὶ γὰρ σφόδρα ἐπαχθὲς ἐδόκει εἶναι τὸ γυναῖκα πάσης κακίας γέμουσαν ἔχειν, καὶ ἀνέχεσθαι ἀνημέρου θηρίου διαπαντὸς ἔνδον συγκεκλεισμένου.

3. Καὶ ἵνα μάθῃς, ὅτι σφόδρα τοῦτο αὐτοὺς ἐθορύβει ὁ Μᾶρκος αὐτὸ δηλῶν ἔλεγεν, ὅτι καὶ' ἰδίαν εἶπον αὐτῷ. Τί δέ ἐστιν, «εἰ οὕτως ἐστὶν ἡ αἰτία τοῦ ἀνθρώπου μετὰ τῆς γυναικός»; Τουτέστιν, εἰ διὰ τοῦτο συνήφθη, ἵνα ἓν ὦσιν· ἢ ἐκεῖνο, εἰ αἰτίαν λήψεται ἐπὶ τούτοις ὁ ἀνήρ, καὶ πανταχοῦ παρανομεῖ ἐκβάλλων, κουφότερον πρὸς ἐπιθυμίαν μάχεσθαι φύσεως καὶ πρὸς ἑαυτόν, ἢ πρὸς γυναῖκα πονη-

9. Ματθ. 15, 11.
10. Ματθ. 12, 12.
11. Ματθ. 18, 36.
12. Μάρκ. 10, 10.

τρώγει»[9]· καὶ εἰς τὴν περίπτωσιν τῆς ὁμιλίας του περὶ τῆς ἀργίας τοῦ Σαββάτου ἀφοῦ τοὺς ἀπεστόμωσεν, εἶπεν· «Ὥστε ἐπιτρέπεται κανεὶς νὰ πράττῃ τὸ καλὸν κατὰ τὴν ἡμέραν τοῦ Σαββάτου»[10]· αὐτὸ λοιπὸν κάνει καὶ εἰς τὴν περίπτωσιν αὐτήν.

Ἀλλ' ἐκεῖνο ἀκριβῶς ποὺ συνέβη τότε, τὸ ἴδιο συνέβη καὶ τώρα. Διότι ὅπως ἀκριβῶς τότε, ὅταν ἀπεστομώθησαν οἱ Ἰουδαῖοι, ἀνησύχησαν οἱ μαθηταί, καὶ τὸν ἐπλησίασαν μαζὶ μὲ τὸν Πέτρον καὶ τοῦ ἔλεγον, «ἐξήγησέ μας τί σημαίνει ἡ παραβολὴ αὐτή»[11], ἔτσι καὶ τώρα θορυβηθέντες ἔλεγον· «Ἐὰν ἔτσι ἔχῃ τὸ πρᾶγμα τῆς σχέσεως τοῦ ἀνδρὸς μετὰ τῆς γυναικός, τοῦ συμφέρει νὰ μὴ ἔλθῃ εἰς γάμον». Καθ' ὅσον αὐτὴν τὴν φορὰν ἀντελήφθησαν καλύτερα τὸ νόημα τῶν λόγων του, παρὰ προηγουμένως. Διὰ τοῦτο τότε μὲν ἐσιώπησαν, ἐνῷ τώρα, ἐπειδὴ διετυπώθη ἀντίρρησις καὶ ἀπάντησις, ἐρώτησις καὶ ἐξήγησις, καὶ ἐφάνη σαφέστερος ὁ νόμος, τὸν ἐρωτοῦν. Καὶ δὲν τολμοῦν βέβαια νὰ διατυπώσουν τὰς ἀντιρρήσεις των φανερά, ἀλλὰ προβάλλουν τὸ γεγονὸς ὅτι αὐτὴ ἡ ἐντολὴ ἐφαίνετο βαρεῖα καὶ δυσβάστακτος, καὶ λέγουν· «Ἐὰν ἔτσι ἔχῃ τὸ θέμα τοῦ διαζυγίου τοῦ ἀνδρὸς μὲ τὴν γυναῖκα του, δὲν τοῦ συμφέρει νὰ συνάψῃ γάμον». Πράγματι τοὺς ἐφαίνετο πολὺ βαρὺ νὰ ἔχουν μίαν γυναῖκα γεμάτην ἀπὸ κάθε εἴδους κακίαν καὶ νὰ ἀνέχωνται νὰ ἔχουν κλεισμένον μέσα εἰς τὴν οἰκίαν των εἰς ὅλην τὴν ζωήν των ἕνα ἀνήμερον θηρίον.

3. Καὶ διὰ νὰ μάθῃς, ὅτι τὸ γεγονὸς αὐτὸ τοὺς ἀνησυχοῦσε πάρα πολύ, ὁ Μᾶρκος, θέλων νὰ δηλώσῃ αὐτό, ἔλεγεν, ὅτι αὐτὰ τὰ εἶπαν πρὸς αὐτὸν κατ' ἰδίαν[12]. Τί σημαίνει ὅμως, «εἰ οὕτως ἐστὶν ἡ αἰτία τοῦ ἀνθρώπου μετὰ τῆς γυναικός»; Δηλαδή, ἐὰν ἡνώθησαν δι' αὐτὸν τὸν λόγον, διὰ νὰ εἶναι ἕνα σῶμα, ἢ ἐκεῖνο, ἐὰν πρόκειται νὰ κατηγορηθῇ ὁ ἄνδρας δι' αὐτὴν τὴν αἰτίαν καὶ παρανομεῖ εἰς κάθε περίπτωσιν ποὺ χωρίζει τὴν γυναῖκα του, εἶναι ἐλαφρότερον νὰ πολεμᾷ μὲ τὴν ἐπιθυμίαν τῆς φύσεως καὶ τὸν ἑαυτόν του,

ράν. Τί οὖν ὁ Χριστός; Οὐκ εἶπεν ὅτι, ναί, κουφότερον, καὶ ποίει τοῦτο· ἵνα μὴ νομίσωσιν ὅτι νόμος τὸ πρᾶγμά ἐστιν· ἀλλ' ἐπήγαγεν· «οὐ πάντες χωροῦσιν, ἀλλ' οἷς δέδοται», ἐπαίρων τὸ πρᾶγμα, καὶ δεικνὺς μέγα ἄν, καὶ ταύτῃ ἐφελκόμενος καὶ προτρέπων.

Ἀλλ' ὅρα ἐνταῦθα ἐναντιολογίαν. Αὐτὸς μὲν γὰρ μέγα φησὶ τοῦτο· ἐκεῖνοι δὲ κουφότερον. Καὶ γὰρ ἀμφότερα ἔδει γενέσθαι, καὶ παρ' αὐτοῦ μέγα ὁμολογηθῆναι, ἵνα προθυμοτέρους ἐργάσηται, καὶ ἐκ τῶν εἰρημένων παρ' αὐτοῖς κουφότερον δειχθῆναι, ἵνα καὶ ταύτῃ μᾶλλον τὴν παρθενίαν ἕλωνται καὶ τὴν ἐγκράτειαν. Ἐπειδὴ γὰρ τὸ περὶ παρθενίας εἰπεῖν ἐπαχθὲς εἶναι ἐδόκει, ἐκ τῆς ἀνάγκης τοῦ νόμου τούτου εἰς τὴν ἐπιθυμίαν αὐτοὺς ἐκείνην ἐνέβαλεν. Εἶτα τὸ δυνατὸν δεικνύς φησιν· «εἰσὶν εὐνοῦχοι, οἵτινες ἐκ κοιλίας μητρὸς ἐγεννήθησαν οὕτως· καί εἰσιν εὐνοῦχοι, οἵτινες εὐνουχίσθησαν ὑπὸ τῶν ἀνθρώπων· καί εἰσιν εὐνοῦχοι, οἵτινες εὐνούχισαν ἑαυτοὺς διὰ τὴν βασιλείαν τῶν οὐρανῶν», διὰ τούτων λανθανόντως ἐνάγων αὐτοὺς εἰς τὴν τοῦ πράγματος αἵρεσιν, καὶ τὸ δυνατὸν τῆς ἀρετῆς ταύτης κατασκευάζων, καὶ μόνον οὐχὶ λέγων, ὅτι ἐννόησον, εἰ ἐκ φύσεως τοιοῦτος ἦς, ἢ παρὰ τῶν τὰ τοιαῦτα ἐπηρεαζόντων τὸ αὐτὸ τοῦτο ὑπέμεινας, τί ἂν ἐποίησας, τῆς ἀπολαύσεως μὲν ἐστερημένος, μισθὸν δὲ οὐκ ἔχων;

Οὐκοῦν εὐχαριστεῖ τῷ Θεῷ νῦν, ὅτι μετὰ μισθοῦ καὶ στεφάνων τοῦτο ὑπομένεις, ὃ χωρὶς στεφάνων ἐκεῖνοι· μᾶλ-

παρὰ μὲ γυναῖκα πονηράν. Καὶ τί λέγει ὁ Χριστός; Δὲν εἶπε, Ναί, εἶναι ἐλαφρότερον, καὶ κάμνε αὐτό, διὰ νὰ μὴ νομίσουν ὅτι αὐτὸ τὸ πρᾶγμα εἶναι νόμος, ἀλλὰ προσέθεσεν· «Δὲν ἠμποροῦν ὅλοι νὰ τὸν κατανοήσουν αὐτὸν τὸν λόγον, ἀλλὰ μόνον ἐκεῖνοι εἰς τοὺς ὁποίους ἔχει δοθῇ αὐτὴ ἡ ἱκανότης», παρουσιάζων τὸ πρᾶγμα αὐτὸ ὡς κάτι τὸ ὑψηλὸν καὶ δείχνει ὅτι εἶναι πολὺ σπουδαῖον, καὶ κατ' αὐτὸν τὸν τρόπον τοὺς προσελκύει καὶ τοὺς προτρέπει.

Ἀλλὰ πρόσεχε ἐδῶ ἀντιλογίαν. Διότι ὁ μὲν Κύριος λέγει ὅτι αὐτὸ εἶναι μεγάλο πρᾶγμα, ἐνῷ ἐκεῖνοι ὅτι εἶναι ἐλαφρότερον. Καὶ βέβαια ἔπρεπε καὶ τὰ δύο νὰ γίνουν· καὶ ἀπὸ τὸν Κύριον νὰ ὁμολογηθῇ ὅτι εἶναι μεγάλο πρᾶγμα, ὥστε νὰ τοὺς κάνῃ προθυμοτέρους, καὶ μὲ τὰ ἰδικά των λόγια νὰ δειχθῇ ὅτι εἶναι ἐλαφρότερον, ὥστε καὶ μὲ τὸν τρόπον αὐτὸν νὰ προτιμήσουν περισσότερον τὴν παρθενίαν καὶ τὴν ἐγκράτειαν. Διατί, ἐπειδὴ ἐφαίνετο ὅτι θὰ ἦτο δυσάρεστον νὰ τοὺς ὁμιλήσῃ περὶ παρθενίας, ἀπὸ τὴν ἀναγκαιότητα τοῦ νόμου αὐτοῦ τοὺς ὡδήγησεν εἰς τὴν ἐπιθυμίαν ἐκείνην τῆς ἀγαμίας. Ἔπειτα δὲ διὰ νὰ δείξῃ τὸ δυνατὸν τῆς παρθενίας λέγει· «Ὑπάρχουν εὐνοῦχοι, ποὺ ἐγεννήθησαν ἔτσι ἀπὸ τὴν κοιλίαν τῆς μητέρας των καὶ ὑπάρχουν εὐνοῦχοι ποὺ εὐνουχίσθησαν ὑπὸ τῶν ἀνθρώπων· καὶ ὑπάρχουν καὶ ἄλλοι εὐνοῦχοι ποὺ εὐνούχισαν τοὺς ἑαυτούς των διὰ τὴν βασιλείαν τῶν οὐρανῶν», ὁδηγῶν αὐτοὺς μὲ τοὺς λόγους αὐτούς, χωρὶς νὰ τὸ ἀντιλαμβάνωνται, εἰς τὴν προτίμησιν τῆς ἀγαμίας καὶ ἀποδεικνύων ὅτι εἶναι δυνατὸν ν' ἀσκήσῃ κανεὶς αὐτὴν τὴν ἀρετήν, καὶ εἶναι ὡσὰν νὰ τοὺς λέγῃ· Σκέψου δηλαδή, ἐὰν ἐκ φύσεως ἦσουν εὐνοῦχος ἢ ἐὰν σοῦ ἐγίνετο αὐτὸ τὸ πρᾶγμα ἀπὸ ἐκείνους ποὺ καταστρέφουν αὐτὴν τὴν ἐκ φύσεως ὁρμήν, τί θὰ ἠμποροῦσες νὰ κάνῃς ποὺ ἀφ' ἑνὸς μὲν θὰ εἶχες στερηθῇ αὐτὴν τὴν ἀπόλαυσιν, ἀφ' ἑτέρου δὲ δὲν θὰ εἶχες ἀμοιβήν;

Λοιπὸν εὐχαρίστει τώρα τὸν Θεόν, διότι ὑπομένεις μὲ μισθὸν καὶ στεφάνους αὐτό, ποὺ ἐκεῖνοι τὸ ὑπομένουν χω-

λον δὲ οὐδὲ τοῦτο, ἀλλὰ καὶ πολλῷ κουφότερον, τῇ τε ἐλπίδι διορθούμενος, καὶ τῷ συνειδότι τοῦ κατορθώματος, καὶ μηδὲ τὴν ἐπιθυμίαν οὕτω κυμαίνουσαν ἔχων. Οὐ γὰρ οὕτως ἐκτομὴ μέλους, ὡς λογισμοῦ χαλινός, τὰ τοιαῦτα οἶδε κατασιέλλειν κύματα, καὶ γαλήνην ποιεῖν· μᾶλλον δὲ λογισμὸς μόνος. Διὰ τοῦτο τοίνυν ἐκείνους παρήγαγεν, ἵνα τούτους ἀλείψῃ· ἐπεὶ εἰ μὴ τοῦτο κατεσκεύαζε, τί βούλεται ὁ περὶ τῶν ἄλλων εὐνούχων λόγος αὐτῷ; Ὅταν δὲ λέγῃ, ὅτι «εὐνούχισαν ἑαυτούς», οὐ τῶν μελῶν λέγει τὴν ἐκτομήν· ἄπαγε· ἀλλὰ τῶν πονηρῶν λογισμῶν τὴν ἀναίρεσιν. Ὡς ὅ γε τὸ μέλος ἐκτεμών, καὶ ἀρᾷ ἐστιν ὑπεύθυνος, καθὼς ὁ Παῦλός φησιν· «ὄφελον καὶ ἀποκόψονται οἱ ἀνασιατοῦντες ὑμᾶς».

Καὶ μάλα εἰκότως. Καὶ γὰρ τὰ τῶν ἀνδροφόνων ὁ τοιοῦτος τολμᾷ, καὶ τοῖς τοῦ Θεοῦ διαβάλλουσι τὴν δημιουργίαν δίδωσιν ἀφορμήν, καὶ τῶν Μανιχαίων ἀνοίγει τὰ στόματα, καὶ τοῖς παρ' Ἕλλησιν ἀκρωτηριαζομένοις τὰ αὐτὰ παρανομεῖ. Τὸ γὰρ ἀποκόπτειν τὰ μέλη, δαιμονικῆς ἐνεργείας καὶ σατανικῆς ἐπιβουλῆς ἐξ ἀρχῆς γέγονεν ἔργον· ἵνα τοῦ Θεοῦ τὸ ἔργον διαβάλλωσιν· ἵνα τὸ ζῶον τοῦτο λυμήνωνται· ἵνα μὴ τῇ προαιρέσει, ἀλλὰ τῇ τῶν μελῶν φύσει τὸ πᾶν λογισάμενοι, οὕτως ἀδεῶς ἁμαρτάνουσιν αὐτῶν οἱ πολλοί, ἅτε ἀνεύθυνοι ὄντες· καὶ διπλῇ παραβλάψωσι τὸ ζῶον τοῦτο, καὶ τῷ τὰ μέλη πηροῦν, καὶ τῷ τῆς προαιρέσεως τὴν ὑπὲρ τῶν ἀγαθῶν προθυμίαν κωλύειν.

Ταῦτα δὲ ὁ διάβολος ἐνομοθέτησε, πρὸς τοῖς εἰρημένοις

---

13. Γαλ. 5, 12.

ρὶς σιεφάνους· μᾶλλον δὲ οὔτε καὶ τὸ ὑπομένεις, ἀλλὰ θὰ σοῦ εἶναι αὐτὸ καὶ πολὺ ἐλαφρότερον, διότι θὰ σὲ διορθώνῃ καὶ ἡ ἐλπὶς καὶ ἡ συναίσθησις τοῦ κατορθώματος, ἀλλὰ οὔτε καὶ τὴν ἐπιθυμίαν θὰ ἔχῃς τόσον πολὺ ἀναβράζουσαν. Διότι δὲν γνωρίζει νὰ καθησυχάζῃ τόσον τὰ παρόμοια κύματα καὶ νὰ φέρῃ γαλήνην ἡ ἀποκοπὴ ἑνὸς μέλους τοῦ σώματος, ὅσον ο χαλινὸς τοῦ λογισμοῦ, ἢ καλύτερα μόνος του ὁ λογισμός. Διὰ τοῦτο λοιπὸν ἀνέφερεν ἐκείνους, διὰ νὰ διδάξῃ καὶ προετοιμάσῃ τοὺς μαθητάς του· διότι ἐὰν δὲν ἀπέβλεπεν εἰς αὐτό, τότε πρὸς ποῖον σκοπὸν ἀνέφερε τοὺς ἄλλους εὐνούχους; "Οταν δὲ λέγῃ, ὅτι εὐνούχισαν τοὺς ἑαυτούς των», δὲν ἐννοεῖ τὴν ἀποκοπὴν τῶν μελῶν· μὴ γένοιτο· ἀλλὰ τὴν καταστροφὴν τῶν πονηρῶν λογισμῶν. Διότι αὐτὸς ποὺ ἀποκόπτει τὸ μέλος του εἶναι ἄξιος κατάρας, ὅπως λέγει καὶ ὁ Παῦλος· «Ἠμποροῦν, ἐὰν θέλουν καὶ νὰ εὐνουχισθοῦν αὐτοὶ ποὺ σᾶς ἀναστατώνουν»[12].

Καὶ κατὰ πολὺ φυσικὸν λόγον, καθ' ὅσον ὁ ἄνθρωπος αὐτοῦ τοῦ εἴδους διαπράττει ἐκεῖνα ποὺ διαπράττουν οἱ ἀνθρωποφόνοι καὶ δίδει ἀφορμὴν εἰς αὐτοὺς ποὺ διαβάλλουν τὴν δημιουργίαν τοῦ Θεοῦ καὶ ἀνοίγει τὰ στόματα τῶν Μανιχαίων καὶ κάνει τὴν ἰδίαν παρανομίαν μὲ τοὺς εἰδωλολάτρας ποὺ εὐνουχίζονται. Διότι τὸ ν' ἀποκόπῃ κανεὶς τὰ μέλη τοῦ σώματος εἶναι ἔργον ποὺ ἔχει τὴν ἀρχήν του εἰς τὴν δαιμονικὴν ἐνέργειαν καὶ τὴν σατανικὴν ἐπιβουλήν· ἤρχισε μὲ σκοπὸν νὰ διαβάλλουν τὸ ἔργον τοῦ Θεοῦ· διὰ νὰ καταστρέψουν τὸν ἄνθρωπον τοῦ Θεοῦ· τὸ ἔκαναν αὐτὸ διὰ νὰ μὴ στηρίζωνται εἰς τὴν προαίρεσίν των οἱ ἄνθρωποι, ἀλλὰ νὰ ἀποδίδουν τὸ πᾶν εἰς τὴν φύσιν τῶν μελῶν, καὶ ἔτσι χωρὶς φόβον ν' ἁμαρτάνουν οἱ περισσότεροι ἀπὸ αὐτούς, μὲ τὴν σκέψιν ὅτι εἶναι ἀνεύθυνοι· καὶ προξενοῦν διπλῆν βλάβην εἰς τὸν ἄνθρωπον· καὶ μὲ τὸ ὅτι ἀποκόπτουν τὰ μέλη του καὶ μὲ τὸ ὅτι ἐμποδίζουν τὴν προθυμίαν πρὸς ἐκλογὴν τῶν ἀγαθῶν κατὰ προαίρεσιν.

"Ολα αὐτὰ τὰ ἐνομοθέτησεν ὁ διάβολος, ὁ ὁποῖος, ἐκτὸς

καὶ ἕτερον πονηρὸν δόγμα εἰσάγων, καὶ τῷ περὶ εἱμαρμένης καὶ ἀνάγκης καὶ ἐντεῦθεν προοδοποιῶν λόγῳ, καὶ πανταχοῦ τὴν παρὰ τοῦ Θεοῦ δοθεῖσαν ἡμῖν ἐλευθερίαν λυμαινόμενος, καὶ πείθων φυσικὰ εἶναι τὰ κακά, καὶ πολλὰ ἕτερα ἐντεῦθεν ὑποσπείρων δόγματα πονηρά, εἰ καὶ μὴ προφανῶς. Τοιαῦτα γὰρ τοῦ διαβόλου τὰ δηλητήρια. Διὰ τοῦτο παρακαλῶ φεύγειν τὴν τοιαύτην παρανομίαν. Μετὰ γὰρ τῶν εἰρημένων οὐδὲ τὰ τῆς ἐπιθυμίας ἡμερώτερα ἐντεῦθεν, ἀλλὰ καὶ χαλεπώτερα γίνεται. Ἑτέρωθεν γὰρ ἔχει τὰς πηγὰς τὸ σπέρμα τὸ ἐν ἡμῖν, καὶ ἑτέρωθεν κυμαίνει. Καὶ οἱ μὲν ἀπὸ ἐγκεφάλου, οἱ δὲ ἀπὸ ὀσφύος τὸν οἰστρον ἐκεῖνον φύεσθαι λέγουσιν· ἐγὼ δὲ οὐδαμόθεν ἄλλοθεν εἴποιμι ἄν, ἀλλ' ἢ ἀπὸ γνώμης ἀκολάστου καὶ διανοίας ἠμελημένης· κἂν αὐτὴ σωφρονῇ, τῶν φυσικῶν κινημάτων βλάβος οὐδέν.

Εἰπὼν τοίνυν τοὺς εὐνούχους, τοὺς εἰκῇ καὶ μάτην εὐνούχους, εἰ μὴ τῷ λογισμῷ καὶ αὐτοὶ σωφρονοῖεν, καὶ τοὺς ὑπὲρ τῶν οὐρανῶν παρθενεύοντας, πάλιν ἐπάγει λέγων· «ὁ δυνάμενος χωρεῖν, χωρείτω»· «προθυμοτέρους τε ποιῶν τῷ δεῖξαι ὑπέρογκον ὂν τὸ κατόρθωμα, καὶ οὐκ ἀφιεὶς εἰς ἀνάγκην νόμου τὸ πρᾶγμα κατακλεισθῆναι, διὰ τὴν ἄφατον αὐτοῦ ἡμερότητα. Καὶ τοῦτο εἶπεν, ὅτε σφόδρα ἔδειξε δυναιὸν ὄν, ἵνα πλείων τῆς προαιρέσεως ἡ φιλοτιμία γένηται.

4. Καὶ εἰ προαιρέσεώς ἐστι, φησί, πῶς ἀρχόμενος ἔλεγεν, «οὐ πάντες χωροῦσιν, ἀλλ' οἷς δέδοται»; Ἵνα μάθῃς

ἀπὸ τὰ προαναφερθέντα, εἰσάγει καὶ ἄλλο πονηρὸν δόγμα καὶ προετοιμάζει μὲ τὸν λόγον αὐτὸν τὴν διδασκαλίαν περὶ τῆς εἱμαρμένης καὶ τῆς ἀνάγκης, καὶ καταστρέφει ἀπὸ παντοῦ τὴν ἐλευθερίαν ποὺ ἐδόθη εἰς ἡμᾶς ἀπὸ τὸν Θεόν, καὶ διδάσκει ὅτι τὰ κακὰ εἶναι ἐκ φύσεως καὶ διασπείρει μὲ τὸν τρόπον αὐτὸν πολλὰς ἄλλας πονηρὰς διδασκαλίας, ἔστω καὶ ἂν ἀκόμη δὲν γίνωνται ἀντιληπταί. Διότι τέτοια εἶναι τοῦ διαβόλου τὰ δηλητήρια. Διὰ τοῦτο παρακαλῶ νὰ ἀποφεύγῃ κανεὶς τὴν παρανομίαν αὐτοῦ τοῦ εἴδους. Διότι μετὰ ἀπὸ τὰ ὅσα ἐλέχθησαν οὔτε καὶ τὰ σχετικὰ μὲ τὴν γενετήσιον ἐπιθυμίαν ἔγιναν ἡμερώτερα ἀπὸ τότε ἕως τώρα, ἀλλὰ γίνονται χειρότερα. Διότι ἀλλοῦ ἔχει τὰς πηγάς του τὸ σπέρμα ποὺ εὑρίσκεται μέσα μας καὶ ἀπὸ ἀλλοῦ δημιουργεῖ τὴν ταραχήν. Καὶ ἄλλοι μὲν λέγουν ὅτι ὁ οἶστρος αὐτὸς βλαστάνει ἀπὸ τὸν ἐγκέφαλον, ἄλλοι δὲ ἀπὸ τὴν ὀσφῦν· ἐγὼ ὅμως θὰ ἠμποροῦσα νὰ εἰπῶ ὅτι δὲν βλαστάνει ἀπὸ πουθενὰ ἀλλοῦ, παρὰ ἀπὸ τὴν ἀκόλαστον διάθεσιν καὶ τὴν ἀδιάφορον διάνοιαν· διότι ἐὰν αὐτὴ σωφρονῇ, καμμία ζημία δὲν εἶναι δυνατὸν νὰ προέλθῃ ἀπὸ τὰς φυσικὰς παρορμήσεις.

Ἀφοῦ λοιπὸν ὡμίλησε διὰ τοὺς εὐνούχους, ποὺ εἶναι εὐνοῦχοι τυχαῖα καὶ χωρὶς κανένα σκοπόν, ἐὰν δὲν ἤθελον ἐπιδείξει καὶ αὐτοὶ σωφροσύνην, καὶ δι' ἐκείνους ποὺ ἀσκοῦν τὴν παρθενίαν χάριν τοῦ οὐρανοῦ, πάλιν προσθέτει τὰ ἑξῆς λόγια· «Αὐτὸς ποὺ ἠμπορεῖ νὰ δεχθῇ αὐτὰ τὰ λόγια καὶ νὰ τὰ ἐφαρμόσῃ ἂς τὰ ἐφαρμόσῃ», καὶ κάμνει αὐτοὺς προθυμοτέρους μὲ τὸ ὅτι ἔδειξεν ὅτι εἶναι ὑπέρογκον τὸ κατόρθωμα, καὶ δὲν ἄφησε τὸ πρᾶγμα νὰ περιέλθῃ εἰς τὴν ἀναγκαιότητα τοῦ νόμου, ἐξ αἰτίας τῆς ἀπείρου ἀγαθότητός του. Καὶ αὐτὸ τὸ εἶπεν, ὅταν ἔδειξεν ὅτι εἶναι εἰς μεγάλον βαθμὸν κατορθωτόν, ὥστε νὰ γίνῃ μεγαλυτέρα ἡ προθυμία τῆς προαιρέσεως.

4. Καὶ ἐάν, λέγει, αὐτὸ ἐξαρτᾶται ἀπὸ τὴν προαίρεσιν, πῶς τότε ἔλεγεν ὅταν ἤρχισε νὰ ὁμιλῇ διὰ τὸ θέμα αὐτό, «δὲν ἠμποροῦν ὅλοι νὰ δεχθοῦν καὶ νὰ ἐφαρμόσουν αὐτὸν

ὅτι μέγας ὁ ἄθλος, οὐχ ἵνα ἀποκλήρωσίν τινα ἠναγκασμένην ὑποπτεύσῃς. Δέδοται γὰρ ἐκείνοις, τοῖς βουλομένοις. Εἶπε δὲ οὕτω, δεικνὺς ὅτι πολλῆς δεῖ τῆς ἄνωθεν ροπῆς τῷ εἰς τοῦτο εἰσελθόντι τὸ σκάμμα, ἧς ἀπολαύσεται πάντως ὁ βουλόμενος. Ἔθος γὰρ αὐτῷ ταύτῃ κεχρῆσθαι τῇ λέξει, ὅταν μέγα τὸ κατορθούμενον ᾖ, ὡς ὅταν λέγῃ· «ὑμῖν δέδοται γνῶναι τὰ μυστήρια». Καὶ ὅτι τοῦτό ἐστιν ἀληθές, δῆλον καὶ ἐκ τοῦ παρόντος. Εἰ γὰρ τῆς ἄνωθεν δόσεως μόνης ἐστί, καὶ οὐδὲν αὐτοὶ συνεισφέρουσιν οἱ παρθενεύοντες, περιττῶς αὐτοῖς τὴν βασιλείαν τῶν οὐρανῶν ἐπηγγείλατο, καὶ τῶν ἄλλων αὐτοὺς διεῖλεν εὐνούχων. Σὺ δέ μοι σκόπει, πῶς ἐξ ὧν ἕτεροι πονηρεύονται, κερδαίνουσιν ἕτεροι. Οἱ μὲν γὰρ Ἰουδαῖοι μηδὲν μαθόντες ἀπῆλθον - οὐδὲ γὰρ ἵνα μάθωσιν ἠρώτων - οἱ δὲ μαθηταὶ καὶ ἐντεῦθεν ἐκέρδανον.

«Τότε προσηνέχθη αὐτῷ παιδία, ἵνα τὰς χεῖρας ἐπιθῇ αὐτοῖς, καὶ προσεύξηται· καὶ ἐπετίμησαν οἱ μαθηταὶ αὐτοῖς. Ὁ δὲ εἶπεν αὐτοῖς· ἄφετε τὰ παιδία ἔρχεσθαι πρός με· τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν. Καὶ ἐπιθεὶς αὐτοῖς τὰς χεῖρας, ἐπορεύθη ἐκεῖθεν». Καὶ τίνος ἕνεκεν οἱ μαθηταὶ ἀπεσόβουν τὰ παιδία; Ἀξιώματος ἕνεκεν. Τί οὖν αὐτός; Διδάσκων αὐτοὺς μετριάζειν, καὶ τῦφον καταπαιεῖν κοσμικόν, καὶ λαμβάνει καὶ ἐναγκαλίζεται, καὶ

14. Λουκᾶ 8, 10.

τὸν λόγον, ἀλλὰ ἐκεῖνοι μόνον εἰς τοὺς ὁποίους ἔχει δοθῇ αὐτὸ τὸ χάρισμα»; Διὰ νὰ μάθῃς ὅτι αὐτὸ εἶναι μεγάλο κατόρθωμα καὶ ὄχι διὰ νὰ ὑποπτευθῇς ὅτι πρόκειται διὰ κάποιαν ἀναγκαστικὴν προτίμησιν. Διότι ἔχει δοθῇ εἰς ἐκείνους ποὺ τὸ ἐπιθυμοῦν. Ὡμίλησε δὲ κατ' αὐτὸν τὸν τρόπον, διὰ νὰ δείξῃ ὅτι χρειάζεται μεγάλην βοήθειαν ἀπὸ ἄνωθεν ἐκεῖνος ποὺ θὰ εἰσέλθῃ εἰς αὐτὸν τὸν ἀγῶνα, τὴν ὁποίαν θὰ τὴν ἔχῃ ὁπωσδήποτε αὐτὸς ποὺ ἐπιθυμεῖ. Διότι συνηθίζει ὁ Κύριος νὰ χρησιμοποιῇ αὐτὴν τὴν λέξιν, ὅταν εἶναι μεγάλο τὸ ἀγώνισμα, ὅπως ὅταν λέγῃ· «Εἰς ἐσᾶς ἔχει δοθῇ νὰ γνωρίσετε τὰ μυστήρια τοῦ Θεοῦ»[14]. Καὶ ὅτι αὐτὸ εἶναι ἀληθὲς γίνεται φανερὸν καὶ ἀπὸ ὅσα λέγει ἐδῶ. Διότι ἐὰν τὸ πᾶν ἐξαρτᾶται ἀπὸ τὴν ἄνωθεν βοήθειαν καὶ δὲν προσφέρουν τίποτε αὐτοὶ ποὺ ἀσκοῦν τὸν παρθενικὸν βίον, τότε εἶναι περιττὴ ἡ ὑπόσχεσίς του εἰς αὐτοὺς περὶ τῆς βασιλείας τῶν οὐρανῶν καὶ ὁ διαχωρισμός των ἀπὸ τοὺς ἄλλους εὐνούχους. Ἀλλὰ σὺ πρόσεχε, σὲ παρακαλῶ, πῶς ἄλλοι ὠφελοῦνται ἀπὸ ἐκεῖνα ποὺ οἱ ἄλλοι τὰ θεωροῦν πονηρά. Διότι οἱ μὲν Ἰουδαῖοι ἀπῆλθον χωρὶς νὰ μάθουν τίποτε — ἄλλωστε οὔτε τὸν ἐρωτοῦσαν διὰ νὰ μάθουν — ἐνῷ οἱ μαθηταί του καὶ ἀπὸ ἐδῶ ἀπεκόμιζον μεγάλο κέρδος.

«Τότε ὠδηγήθησαν ἔμπροσθέν του παιδιὰ διὰ νὰ θέσῃ τὰ χέρια του ἐπάνω των καὶ νὰ προσευθηθῇ δι' αὐτά· οἱ μαθηταί του ὅμως ἐπέπληξαν αὐτούς. Ὁ δὲ Κύριος εἶπεν πρὸς αὐτούς. Ἀφῆσατε τὰ παιδιὰ νὰ ἔλθουν πρὸς ἐμένα· διότι ἡ βασιλεία τῶν οὐρανῶν ἀνήκει εἰς αὐτοὺς ποὺ θὰ γίνουν ὅμοιοι μὲ αὐτά. Καὶ ἀφοῦ ἔθεσε τὰ χέρια του ἐπάνω των, ἀνεχώρησεν ἀπὸ ἐκεῖ». Καὶ διὰ ποῖον λόγον οἱ μαθηταὶ ἀπεμάκρυνον τὰ παιδιὰ ἀπὸ κοντά του; Λόγῳ τοῦ ἀξιώματός των. Τί κάνει λοιπὸν αὐτός; Μὲ σκοπὸν νὰ τοὺς διδάξῃ νὰ εἶναι μετριόφρονες καὶ νὰ περιφρονοῦν τὴν δόξαν τῶν ἀνθρώπων, καὶ ἀφήνει νὰ τὸν πλησιάσουν καὶ τὰ ἀγκαλιάζει, καὶ ὑπόσχεται τὴν βασιλείαν του εἰς ἐκείνους ποὺ εἶναι καὶ

τοῖς τοιούτοις τὴν βασιλείαν ἐπαγγέλλεται· ὅπερ καὶ ἔμπροσθεν εἴρηκεν.

Καὶ ἡμεῖς τοίνυν, εἰ βουλοίμεθα κληρονόμοι γενέσθαι τῶν οὐρανῶν, τὴν ἀρετὴν ταύτην μετὰ πολλῆς κτησώμεθα τῆς ἐπιμελείας. Οὗτος γὰρ φιλοσοφίας ὅρος, μετὰ συνέσεως ἄπλαστον εἶναι· τοῦτο βίος ἀγγελικός. Καὶ γὰρ πάντων τῶν παθῶν καθαρεύει ἡ ψυχὴ τοῦ παιδίου. Τοῖς λελυπηκόσιν οὐ μνησικακεῖ, ἀλλ' ὡς φίλοις προσέρχεται, ὡς οὐδενὸς γενομένου. Καὶ ὅσα ἂν παρὰ τῆς μητρὸς μαστιχθῇ, ταύτην ἐπιζητεῖ καὶ πάντων αὐτὴν προτιμᾷ. Κἂν βασιλίδα δείξῃς μετὰ διαθήματος, οὐ προτίθησι τῆς μητρὸς ῥάκια περιβεβλημένης, ἀλλ' ἕλοιτο ἂν μᾶλλον ἐκείνην ἰδεῖν μετὰ τούτων, ἢ τὴν βασιλίδα μετὰ κόσμου. Τὸ γὰρ οἰκεῖον καὶ ἀλλότριον οὐ πενίᾳ καὶ πλούτῳ, ἀλλὰ φιλίᾳ διαγινώσκειν οἶδε. Καὶ τῶν ἀναγκαίων οὐδὲν πλέον ἐπιζητεῖ, ἀλλ' ὅσον ἐμπλησθῆναι τοῦ μαστοῦ, καὶ ἀφίσταται τῆς θηλῆς. Τὸ παιδίον οὐ λυπεῖται ἐφ' οἷς ἡμεῖς· οἷον ἐπὶ ζημίᾳ χρημάτων, καὶ τοῖς τοιούτοις· καὶ οὐ χαίρει πάλιν ἐφ' οἷς ἡμεῖς, τοῖς ἐπικήροις τούτοις· οὐκ ἐπιόηται πρὸς κάλλη σωμάτων. Διὰ τοῦτο ἔλεγε, «τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν», ἵνα τῇ προαιρέσει ταῦτα ἐργαζώμεθα, ἃ τῇ φύσει τὰ παιδία ἔχει.

Ἐπειδὴ γὰρ οἱ Φαρισαῖοι οὐδαμόθεν ἄλλοθεν, ὡς ἀπὸ κακουργίας καὶ ἀπονοίας ἔπραττον ἃ ἔπραττον, διὰ τοῦτο ἄνω καὶ κάτω τοὺς μαθητὰς ἀφελεῖς εἶναι κελεύει, ἐκείνους τε αἰνιττόμενος, καὶ τούτους παιδεύων. Καὶ γὰρ οὐδὲν οὕ-

θὰ γίνουν ὅμοιοι μὲ αὐτά, πρᾶγμα ποὺ τὸ εἶχεν εἰπεῖ καὶ προηγουμένως.

Καὶ ἡμεῖς λοιπὸν ἐὰν θέλωμεν νὰ γίνωμεν κληρονόμοι τῶν οὐρανῶν, ἂς κάνωμεν κτῆμα μας αὐτὴν τὴν ἀρετὴν μὲ πολλὴν φροντίδα. Διότι αὐτὸ εἶναι τὸ δεῖγμα τῆς εὐσεβείας, τὸ νὰ εἶναι κανεὶς εἰλικρινὴς ἐνσυνειδήτως· αὐτὸ εἶναι ἀγγελικὴ ζωή. Καθ' ὅσον ἡ ψυχὴ τοῦ παιδιοῦ εἶναι καθαρὴ ἀπὸ ὅλα τὰ πάθη. Δὲν εἶναι μνησίκακον ἔναντι ἐκείνων ποὺ τὸ ἔχουν λυπήσει, ἀλλ' ὡς φίλος τοὺς πλησιάζει, ὡσὰν νὰ μὴ συνέβη τίποτε. Καὶ ὅσον ξύλον καὶ ἂν φάγῃ ἀπὸ τὴν μητέρα του, ζητεῖ αὐτὴν καὶ τὴν προτιμᾷ ἀπὸ ὅλους. Καὶ ἂν ἀκόμη τοῦ δείξῃς μίαν βασίλισσαν μὲ τὸ στέμμα της, δὲν τὴν θέτει ἐπάνω ἀπὸ τὴν μητέρα του ποὺ φορεῖ κουρελιασμένα ἐνδύματα, ἀλλὰ θὰ ἐπροτιμοῦσε πολὺ περισσότερον νὰ ἰδῇ τὴν μητέρα του μὲ κουρελιασμένα ἐνδύματα, παρὰ τὴν βασίλισσαν μὲ τὰ λαμπρὰ στολίδια της. Διότι γνωρίζει νὰ διακρίνῃ τὸ ἰδικόν του καὶ τὸ ξένον ὄχι μὲ τὴν πτωχείαν καὶ τὸν πλοῦτον, ἀλλὰ μὲ τὴν ἀγάπην. Καὶ τίποτε ἐπὶ πλέον δὲν ζητεῖ ἀπὸ τὰ ἀναγκαῖα, ἀλλὰ τόσον μόνον ὅσον νὰ χορτάσῃ μὲ τὸ γάλα τοῦ μαστοῦ καὶ μετὰ ἀφήνει καὶ τὴν θηλήν. Τὸ παιδὶ δὲν λυπεῖται δι' ἐκεῖνα ποὺ λυπούμεθα ἡμεῖς, ὅπως ἐπὶ παραδείγματι διὰ τὴν ζημίαν ἀπὸ τὰ χρήματα καὶ δι' ὅλα τὰ παρόμοια. Οὔτε πάλιν χαίρεται δι' ὅσα χαιρόμεθα ἡμεῖς, δι' ὅλα αὐτὰ τὰ φθαρτὰ πράγματα· δὲν κατακυριεύεται ἀπὸ σφοδρὸν πάθος διὰ τὰ κάλλη τῶν σωμάτων. Διὰ τοῦτο καὶ ὁ Κύριος ἔλεγεν, «διότι ἡ βασιλεία τῶν οὐρανῶν ἀνήκει εἰς αὐτοὺς ποὺ θὰ γίνουν ὅμοιοι μὲ αὐτά», ὥστε νὰ πράττωμεν μὲ τὴν προαίρεσίν μας αὐτὰ ποὺ τὰ παιδιὰ τὰ ἔχουν ἀπὸ τὴν φύσιν των.

Ἐπειδὴ δηλαδὴ οἱ Φαρισαῖοι αὐτὰ ποὺ ἔπραττον τὰ ἔπραττον ὄχι ἀπὸ καμμίαν ἄλλην αἰτίαν, παρὰ μόνον ἀπὸ κακουργίαν καὶ ἀλαζονείαν, διὰ τοῦτο μὲ κάθε τρόπον διδάσκει τοὺς μαθητάς του νὰ εἶναι ἀπονήρευτοι, ὑπονοῶν μὲν ἐκείνους ὡς πονηρούς, διδάσκων δὲ αὐτούς. Καθ' ὅσον τίποτε δὲν ὁδηγεῖ τὸν ἄνθρωπον τόσον εἰς τὴν ἀλαζονείαν, ὅ-

τως εἰς ἀλαζονείαν ἐπαίρει, ὡς ἀρχὴ καὶ προεδρία. Ἐπεὶ οὖν ἔμελλον οἱ μαθηταὶ ἀπολαύειν τιμῆς πολλῆς κατὰ τὴν οἰκουμένην ἅπασαν, προκαταλαμβάνει αὐτῶν τὴν διάνοιαν, οὐκ ἀφιεὶς ἀνθρώπινόν τι παθεῖν, οὐδὲ τιμὰς ἀπαιτεῖν παρὰ τοῦ πλήθους, οὐδὲ τὸ σοβεῖν πρὸ αὐτῶν. Εἰ γὰρ καὶ μικρὰ ταῦτα εἶναι δοκεῖ, ἀλλὰ μεγάλων κακῶν ἐστιν αἴτια. Οὕτω γοῦν οἱ Φαρισαῖοι παιδοτριβούμενοι εἰς τὴν κορωνίδα τῶν κακῶν ἐξέπεσον, τοὺς ἀσπασμούς, τὰς προεδρίας, τοὺς μεσασμοὺς ἐπιζητοῦντες· ἀπὸ γὰρ τούτων εἰς δοξομανίαν, εἶτα ἐκεῖθεν εἰς ἀσέβειαν ἐξώκειλαν. Διὰ δὴ τοῦτο ἐκεῖνοι μὲν ἀρὰν ἐπισπασάμενοι διὰ τοῦ πειράζειν, ἀπῆλθον· τὰ παιδία δὲ εὐλογίαν, ἅτε τούτων ἁπάντων ἠλευθερωμένα.

Γενώμεθα δὴ καὶ ἡμεῖς κατὰ τὰ παιδία, καὶ τῇ κακίᾳ νηπιάζωμεν. Οὐ γάρ ἐστιν, οὐκ ἔστιν ἑτέρως ἰδεῖν τὸν οὐρανόν· ἀλλ' ἀνάγκη πάντως εἰς γέενναν ἐμπεσεῖν τὸν ὕπουλον καὶ πονηρόν. Καὶ πρὸ τῆς γεέννης δὲ ἐνταῦθα τὰ ἔσχατα πεισόμεθα. «Ἐὰν γὰρ κακὸς γένῃ», φησί, «μόνος ἀντλήσεις τὰ κακά· ἐὰν δὲ ἀγαθός, σαυτῷ καὶ τῷ πλησίον».

Σκόπει γοῦν, ὡς τοῦτο καὶ ἐπὶ τῶν προτέρων συνέβη. Οὔτε γὰρ πονηρότερόν τι τοῦ Σαοὺλ γέγονεν, οὔτε ἁπλούστερον καὶ ἀφελέστερον τοῦ Δαυΐδ. Τίς οὖν ὁ ἰσχυρότερος ἦν; Οὐ δεύτερον αὐτὸν εἰς χεῖρας ἔλαβεν ὁ Δαυΐδ, καὶ κύριος τοῦ ἀνελεῖν γενόμενος, ἀπέστη; οὐχ ὡς ἐν σαγήνῃ καὶ δεσμωτηρίῳ συνειλημμένον εἶχε, καὶ ἐφείσατο; Καὶ ταῦτα καὶ ἑτέρων παροξυνόντων, καὶ αὐτὸς καὶ μυρία ἐγκαλεῖν ἔχων ἐγκλήματα· ἀλλ' ὅμως ἀφῆκε σῶον ἀπελθεῖν.

---

15. Παροιμ. 9, 12.

σον ἡ ἐξουσία καὶ τὰ ἀξιώματα. Ἐπειδὴ λοιπὸν ἐπρόκειτο οἱ μαθηταί του ν' ἀπολαύσουν μεγάλης τιμῆς ἀπὸ ὁλόκληρον τὴν οἰκουμένην, παιδεύει ἐκ τῶν προτέρων τὴν σκέψιν των καὶ δὲν τοὺς ἀφήνει νὰ πάθουν κάτι τὸ ἀνθρώπινον, οὔτε νὰ ζητοῦν τιμὰς ἀπὸ τοὺς ἀνθρώπους οὔτε νὰ καυχῶνται ἐνώπιον τῶν ἀνθρώπων. Διότι καὶ ἂν ἀκόμη αὐτὰ φαίνωνται ἀσήμαντα, ἀλλ' ὅμως γίνονται αἰτία μεγάλων κακῶν. Καὶ οἱ Φαρισαῖοι λοιπὸν διδασκόμενοι καὶ ζῶντες κατ' αὐτὸν τὸν τρόπον, κατέληξαν εἰς τὸ ἀποκορύφωμα τῶν κακῶν, ἐπιζητοῦντες τοὺς ἀσπασμούς, τὰς τιμητικὰς θέσεις, τὸ νὰ συγκεντρώνουν τὸ ἐνδιαφέρον ὅλων· διότι ἀπὸ αὐτὰ παρεσύρθησαν καὶ ἔπεσαν εἰς τὴν δοξομανίαν καὶ ἀπὸ αὐτὴν εἰς τὴν ἀσέβειαν. Διὰ τοῦτο λοιπὸν ἐκεῖνοι μὲν ἔφυγαν ἀπὸ κοντά του ἀφοῦ ἀπέσπασαν, πειράζοντες αὐτόν, κατάραν διὰ τὸν ἑαυτόν των, τὰ παιδιὰ ὅμως ἀπέσπασαν ἀπὸ αὐτὸν εὐλογίαν, ἐπειδὴ ἦσαν ἀπηλλαγμένα ἀπὸ ὅλα αὐτὰ τὰ κακά.

Ἂς γενώμεθα λοιπὸν καὶ ἡμεῖς ὅμοιοι μὲ τὰ παιδιὰ καὶ ἂς ὁμοιάζωμεν τὰ νήπια ὡς πρὸς τὴν κακίαν. Διότι δὲν εἶναι δυνατόν, δὲν εἶναι δυνατὸν κατ' ἄλλον τρόπον νὰ ἰδοῦμεν τὸν οὐρανόν· ἀλλ' ὁπωσδήποτε ὁ ὕπουλος καὶ πονηρὸς θὰ ριφθῇ κατ' ἀνάγκην εἰς τὴν γέενναν. Ἀλλὰ καὶ πρὶν ἀπὸ τὴν γέενναν θὰ ὑποστοῦμεν ἐδῶ τὰ φοβερώτερα κακά. Διότι λέγει· «Ἐὰν γίνῃς κακός, μόνος σου θὰ ὑποστῇς τὰ κακά· ἐὰν ὅμως γίνῃς ἀγαθός, θὰ ὠφελήσῃς τὸν ἑαυτόν σου καὶ τὸν πλησίον σου»[15].

Πρόσεχε λοιπὸν ὅτι αὐτὸ συνέβη καὶ εἰς τοὺς παλαιοτέρους. Διότι οὔτε τίποτε ἄλλο ὑπῆρξε πονηρότερον ἀπὸ τὸν Σαούλ, οὔτε εἰλικρινέστερον καὶ πιὸ ἀπονήρευτον ἀπὸ τὸν Δαυΐδ. Ποῖος λοιπὸν ἦτο ὁ ἰσχυρότερος; Δὲν συνέλαβεν ὁ Δαυΐδ δύο φορὰς τὸν Σαούλ, καὶ μολονότι ἠμποροῦσε νὰ τὸν φονεύσῃ, τὸ ἀπέφυγε; δὲν τὸν εἶχε συλλάβει ὡσὰν μέσα εἰς δίκτυον καὶ φυλακήν, καὶ ὅμως τὸν ἐλυπήθη; Καὶ ὅλα αὐτά, ἂν καὶ οἱ ἄλλοι τὸν προέτρεπον καὶ ὁ ἴδιος εἶχεν ἀπείρους κατηγορίας ἐναντίον του. Ἀλλ' ὅμως τὸν ἄφησε

Καίτοι ὁ μὲν μετὰ πάσης αὐτὸν τῆς στρατιᾶς ἐδίωκεν, ὁ δὲ μετὰ ὀλίγων φυγάδων ἀπεγνωσμένων ἦν, ἁλώμενος καὶ τόπους ἐκ τόπων ἀμείβων, ἀλλ' ὅμως ὁ φυγὰς τοῦ βασιλέως περιεγένετο· ἐπειδὴ ὁ μὲν μετὰ ἁπλότητος, ὁ δὲ μετὰ πονηρίας παρετάττετο. Τί γὰρ ἂν γένοιτο πονηρότερον ἐκείνου, ὃς τὸν αὐτῷ στρατηγοῦντα, καὶ τοὺς πολέμους ἅπαντας κατορθοῦντα, καὶ τῆς νίκης καὶ τῶν τροπαίων τοὺς μὲν πόνους ὑπομένοντα, τοὺς δὲ στεφάνους ἐκείνῳ κομίζοντα ἀνελεῖν ἐπεχείρει;

5. Τοιοῦτον γὰρ ἡ βασκανία· ἀεὶ τοῖς οἰκείοις ἐπιβουλεύει καλοῖς, καὶ τὸν ἔχοντα αὐτὴν τήκει, καὶ μυρίαις περιβάλλει συμφοραῖς. Καὶ ὁ δείλαιος γοῦν ἐκεῖνος, ἕως ὅτε ὁ Δαυὶδ ἀπέστη, οὐκ ἔρρηξε τὴν φωνὴν ἐκείνην τὴν ἐλεεινήν, ὀλοφυρόμενος καὶ λέγων· «θλίβομαι σφόδρα, καὶ οἱ ἀλλόφυλοι πολεμοῦσιν ἐν ἐμοί, καὶ Κύριος ἀπέστη ἀπ' ἐμοῦ». Ἕως ὅτε ἐχωρίσθη τοῦ Δαυὶδ, οὐκ ἔπεσεν ἐν πολέμῳ, ἀλλὰ καὶ ἐν ἀσφαλείᾳ καὶ ἐν δόξῃ ἦν· καὶ γὰρ εἰς τὸν βασιλέα τοῦ στρατηγοῦ διέβαινεν ἡ δόξα. Οὐδὲ γὰρ τυραννικὸς ἦν ὁ ἀνήρ, οὐδὲ θρόνου ἐκβαλεῖν ἐπεχείρει, ἀλλ' αὐτῷ πάντα κατώρθου, καὶ σφόδρα περὶ αὐτὸν διέκειτο· καὶ τοῦτο καὶ ἐκ τῶν μετὰ ταῦτα δῆλον.

Ὅτε μὲν γὰρ ὑπ' αὐτῷ τατταόμενος ἦν, ἴσως τῷ νόμῳ τῆς ὑποταγῆς ταῦτα ἄν τις λογίσαιτο τῶν οὐκ ἀκριβῶς ἐξεταζόντων· ἐπειδὴ δὲ ἐξήγαγον ἑαυτὸν τῆς βασιλείας ἐκείνου, τί λοιπὸν ἦν τὸ κατέχον αὐτόν, καὶ πεῖθον τοῦ πρὸς ἐκεῖνον ἀπέχεσθαι πολέμου; μᾶλλον δέ, τί οὐκ ἦν τὸ παροξῦνον ἐπὶ τὴν σφαγήν; Οὐ πονηρὸς καὶ ἄπαξ καὶ δὶς καὶ

16. Α' Βασ. 28, 15.

νὰ φύγῃ σῶος. Καὶ μολονότι βέβαια ὁ μὲν Σαοὺλ τὸν κατεδίωκε μὲ ὅλον τὸν στράτόν του, ὁ δὲ Δαυῒδ περιεπλανᾶτο καὶ ἐγκατέλειπε τὸν ἕνα τόπον μετὰ τὸν ἄλλον μαζὶ μὲ ὀλίγους ἀπελπισμένους φυγάδας, ἀλλ' ὅμως ὁ φυγὰς ὑπερίσχυσε τοῦ βασιλέως, ἐπειδὴ ὁ μὲν Δαυῒδ τὸν ἀντεμετώπιζε μὲ εἰλικρίνειαν, ὁ δὲ Σαοὺλ τὸν ἐπολεμοῦσε μὲ πονηρίαν. Διότι τί θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ πονηρότερον ἀπὸ ἐκεῖνον, ὁ ὁποιος ἐπεχείρει νὰ φονεύσῃ τὸν στρατηγόν του, ποὺ καὶ τοὺς πολέμους ὅλους ἐκέρδιζε καί, μολονότι ὑπέφερε τοὺς κόπους τῆς νίκης καὶ τῶν τροπαίων, ὅμως προσέφερε τοὺς στεφάνους εἰς ἐκεῖνον;

5. Διότι τέτοιος εἶναι ὁ φθόνος· διαρκῶς ἐπιβουλεύεται τὰ ἰδικά του κακά, φθείρει ἐκεῖνον ποὺ τὸν ἔχει καὶ τὸν περιβάλλει μὲ ἀμετρήτους συμφοράς. Καὶ ὁ ἄθλιος λοιπὸν ἐκεῖνος, ἕως τότε ποὺ ὁ Δαυῒδ ἔφυγεν ἀπὸ κοντά του, δὲν ἔβγαλε τὴν ἐλεεινὴν ἐκείνην φωνήν του θρηνῶν καὶ λέγων· «Εἶναι πολὺ μεγάλη ἡ λύπη μου καὶ οἱ ἀλλοεθνεῖς πολεμοῦν ἐναντίον μου, καὶ ὁ Κύριος μὲ ἐγκατέλειψεν»[16]. Μέχρι ποὺ ἐχωρίσθη ἀπὸ τὸν Δαυῒδ, δὲν διεξήγαγεν ὁ ἴδιος πόλεμον, ἀλλ' εἶχε καὶ ἀσφάλειαν καὶ δόξαν, καθ' ὅσον ἡ δόξα τοῦ στρατηγοῦ μετεβιβάζετο εἰς τὸν βασιλέα. Διότι ὁ Δαυῒδ οὔτε ἠγάπα τὴν ἐξουσίαν, οὔτε ἐπεχείρει νὰ τὸν ἐκθρονίσῃ, ἀλλ' ὅλα τὰ ἔκανε χάριν αὐτοῦ καὶ τὸν περιέβαλλε μὲ πολλὴν συμπάθειαν, πρᾶγμα ποὺ γίνεται φανερὸν καὶ ἀπὸ τὰ ὅσα συνέβησαν εἰς τὴν συνέχειαν.

Ἐνδεχομένως ὅμως θὰ ἠμποροῦσε κάποιος, ἀπὸ αὐτοὺς ποὺ δὲν ἐξετάζουν τὰ πράγματα μὲ ἀκρίβειαν, νὰ σκεφθῇ ὅτι αὐτὰ συνέβαινον ἐν ὅσῳ ὁ Δαυῒδ εὑρίσκετο ὑπὸ τὴν ἐξουσίαν τοῦ Σαοὺλ σύμφωνα μὲ τὸν νόμον τῆς ὑποταγῆς· ὅταν ὅμως ἔπαυσε νὰ εὑρίσκεται ὑπὸ τὴν ἐξουσίαν ἐκείνου, τί τὸν ἠμπόδιζε πλέον καὶ τὸν παρώτρυνε νὰ ἀποφεύγῃ τὸν πόλεμον πρὸς ἐκεῖνον; ἢ καλύτερα ποῖον ἦτο ἐκεῖνο ποὺ δὲν τὸν παρώξυνε πρὸς τὴν σφαγήν; Δὲν συμπεριεφέρθη πρὸς αὐτὸν μὲ πονηρίαν μίαν καὶ δύο καὶ πολλὰς

πολλάκις περὶ αὐτὸν γέγονεν; οὐχὶ παθὼν εὖ; οὐχὶ μηδὲν ἔχων ἐγκαλεῖν; οὐκ ἐπικίνδυνος αὐτῷ καὶ ἐπισφαλὴς ἡ βασιλεία αὐτοῦ καὶ ἡ σωτηρία ἦν; οὐ πλανᾶσθαι ἔδει διηνεκῶς καὶ φεύγειν, καὶ περὶ τῶν ἐσχάτων τρέμειν, ζῶντος ἐκείνου καὶ κρατοῦντος;

Ἀλλ' ὅμως οὐδὲν τούτων αὐτὸν ἠνάγκασεν αἱμάξαι τὸ ξίφος· ἀλλὰ καὶ καθεύδοντα ὁρῶν, καὶ δεδεμένον, καὶ μόνον, καὶ ἐν μέσοις αὐτοῖς, καὶ τῆς κεφαλῆς ἁψάμενος, καὶ πολλῶν ὄντων τῶν διεγειρόντων, καὶ Θεοῦ ψῆφον εἶναι λεγόντων τὴν τοιαύτην εὐκαιρίαν, ἐκεῖνος καὶ ἐπετίμησε τοῖς παρορμῶσι, καὶ ἀπέσχετο τοῦ φόνου, καὶ σῶον ἐξέπεμψε καὶ ὑγιῆ· καὶ ὥσπερ σωματοφύλαξ ὢν αὐτοῦ μᾶλλον, καὶ ὑπασπιστής, οὐ πολέμιος, οὕτως ἐνεκάλει τῷ στρατοπέδῳ τὴν εἰς τὸν βασιλέα προδοσίαν. Τί ταύτης ἴσον γένοιτ' ἂν τῆς ψυχῆς; τί τῆς ἡμερότητος ἐκείνης; Τοῦτο γὰρ δυνατὸν μὲν καὶ ἐκ τῶν εἰρημένων συνιδεῖν· πολλῷ δὲ πλέον καὶ ἐκ τῶν νυνὶ γενομένων. Ὅταν γὰρ τὴν ἡμετέραν καταμάθωμεν ψαυλότητα, τότε ἀκριβέστερον εἰσόμεθα τῶν ἁγίων ἐκείνων τὴν ἀρετήν.

Διὸ παρακαλῶ πρὸς τὸν ζῆλον ἐκείνων τρέχειν. Καὶ γὰρ εἰ δόξης ἐρᾷς, καὶ διὰ τοῦτο ἐπιβουλεύεις τῷ πλησίον, τότε αὐτῆς ἀπολαύσῃ μειζόνως, ὅταν αὐτὴν διαπτύσας ἀπόσχῃ τῆς ἐπιβουλῆς. Ὥσπερ γὰρ τὸ μὴ χρηματίζεσθαι φιλαργυρίας ἐναντίον, οὕτω πρὸς τὸ δόξης ἐπιτυχεῖν, τὸ μὴ δόξης ἐρᾶν. Καὶ εἰ βούλεσθε, καθ' ἕκαστον ἐξετάσωμεν. Ἐπειδὴ γὰρ τῆς γεέννης ἡμῖν φόβος οὐδείς, οὐδὲ τῆς βασιλείας λόγος πολύς, φέρε κἂν ἀπὸ τῶν παρόντων ὑμᾶς ἐναγάγωμεν.

φοράς; δὲν τὸν εὐηργέτησε; δὲν εἶχε καμμίαν κατηγορίαν ἐναντίον του; δὲν ἦτο ἐπικίνδυνος εἰς αὐτὸν καὶ ἐπισφαλὴς ἡ βασιλεία καὶ ἡ σωτηρία τοῦ Σαοὺλ; δὲν ἦτο ἀναγκασμένος νὰ περιπλανᾶται συνεχῶς καὶ νὰ φεύγῃ καὶ νὰ νοιώθῃ τὸν πιὸ φοβερὸν τρόμον, ἐν ὅσῳ ἔζη ἐκεῖνος καὶ ἐβασίλευεν;

Ὅμως τίποτε ἀπὸ αὐτὰ δὲν τὸν ἠνάγκασε νὰ βάψῃ τὸ ξίφος του εἰς τὸ αἷμα, ἀλλ' ἂν καὶ τὸν ἔβλεπε νὰ κοιμᾶται, καὶ δεδομένον, καὶ μόνον, καὶ ἐν μέσῳ τῶν ἰδικῶν του, καὶ ἤγγισε τὴν κεφαλήν του, καὶ ἦσαν πολλοὶ ἐκεῖνοι ποὺ τὸν παρώτρυνον ἐναντίον του καὶ ἔλεγον ὅτι κατ' ἀπόφασιν τοῦ Θεοῦ ἐδόθη αὐτὴ ἡ εὐκαιρία, ἐκεῖνος καὶ ἐπέπληξεν ἐκείνους ποὺ τὸν παρωθοῦσαν εἰς ἐκδίκησιν, καὶ ἀπέφυγε τὸν φόνον καὶ τὸν ἄφησε νὰ φύγῃ σῶος καὶ ὑγιής. Καὶ ὡσὰν νὰ ἦτο σωματοφύλαξ αὐτοῦ μᾶλλον καὶ ὑπασπιστὴς παρὰ ἐχθρός του, ἔτσι κατηγόρει τοὺς στρατιώτας διὰ τὴν προδοσίαν των πρὸς τὸν βασιλέα. Τί θὰ ἠμποροῦσε νὰ ἐξισωθῇ πρὸς αὐτὴν τὴν ψυχήν; τί πρὸς ἐκείνην τὴν πραότητα; Αὐτὸ βέβαια εἶναι δυνατὸν νὰ τὸ ἀντιληφθῇ κανεὶς καὶ ἀπὸ ὅσα ἐλέχθησαν, πολὺ περισσότερον ὅμως καὶ ἀπὸ αὐτὰ ποὺ τώρα συμβαίνουν. Διότι ὅταν κατανοήσωμεν τὴν ἰδικήν μας φαυλότητα, τότε θὰ γνωρίσωμεν μὲ μεγαλυτέραν ἀκρίβειαν τὴν ἀρετὴν ἐκείνων τῶν ἁγίων.

Διὰ τοῦτο σᾶς παρακαλῶ νὰ μιμούμεθα τὸν ζῆλον ἐκείνων. Καθ' ὅσον ἐὰν ἀγαπᾷς τὴν δόξαν καὶ διὰ τοῦτο ἐπιβουλεύεσαι τὸν πλησίον σου, τότε θ' ἀπολαύσῃς αὐτὴν εἰς μεγαλύτερον βαθμόν, ὅταν περιφρονήσῃς αὐτὴν καὶ παύσῃς νὰ ἐπιβουλεύεσαι τὸν πλησίον σου. Διότι ὅπως ἀκριβῶς ἡ μὴ συγκέντρωσις χρημάτων εἶναι ἀντίθετος πρὸς τὴν φιλαργυρίαν, ἔτσι καὶ διὰ νὰ ἐπιτύχῃ κανεὶς τὴν δόξαν, δὲν πρέπει νὰ ἀγαπᾷ τὴν δόξαν. Καὶ ἐὰν θέλετε ἂς ἐξετάσωμεν τὸ καθὲν χωριστά. Ἀλλ' ἐπειδὴ δὲν νοιώθομεν κανένα φόβον διὰ τὴν γέενναν καὶ δὲν δείχνομεν καὶ πολὺ ἐνδιαφέρον διὰ τὴν βασιλείαν τῶν οὐρανῶν, ἐμπρὸς νὰ σᾶς ὁδηγήσω πρὸς αὐτὰ ἔστω καὶ ἀπὸ τὰ παρόντα πράγματα.

Τίνες γάρ εἰσιν οἱ καταγέλαστοι; εἰπέ μοι· οὐχὶ οἱ διὰ δόξαν τι ποιοῦντες τὴν τῶν πολλῶν; Τίνες δὲ ἐπαινετοί; οὐχὶ οἱ τὸν παρὰ τῶν πολλῶν διαπτύοντες ἔπαινον; Οὐκοῦν εἰ τὸ κενῆς δόξης ἐρᾶν ἐπονείδιστον, ὁ δὲ κενόδοξος οὐ δύναται λαθεῖν ἐρῶν αὐτῆς, ἐπονείδιστος ἔσται πάντως, καὶ γέγονεν αὐτῷ τὸ δόξης ἐρᾶν ἀτιμίας αἴτιον. Οὐ ταύτῃ δὲ μόνον καταισχύνεται, ἀλλὰ καὶ τῷ πολλὰ ἀναγκάζεσθαι ποιεῖν αἰσχρά, καὶ δουλοπρεπείας τῆς ἐσχάτης γέμοντα. Καὶ ὥσπερ εἰς τὸ κερδαίνειν βλάπτεσθαι μάλιστα ἀπὸ τοῦ νοσήματος τῆς φιλοκερδείας εἰώθασιν οἱ ἄνθρωποι (πολλὰς γοῦν ἀπάτας ὑφίστανται, καὶ τὰ μικρὰ κέρδη μεγάλας ποιεῖ ζημίας· διὸ καὶ εἰς παροιμίαν ὁ λόγος οὗτος ἐξενίκησεν), οὕτω καὶ τῷ λάγνῳ κώλυμα πρὸς τὸ ἡδονῆς ἀπολαύειν τὸ πάθος γίνεται. Τοὺς γοῦν σφόδρα καταφερεῖς καὶ γυναικοδούλους, τούτους μάλιστα ὡς ἀνδράποδα περιφέρουσιν αἱ γυναῖκες, καὶ οὐκ ἄν ποτε καταξιώσαιεν ἐκεῖναι ὡς ἀνδράσιν αὐτοῖς κεχρῆσθαι, ραπίζουσαι, διαπτύουσαι, ἄγουσαι καὶ περιάγουσαι πανταχοῦ, καὶ θρυπτόμεναι, καὶ πάντα ἐπιτάττουσαι μόνον.

Οὕτω καὶ τοῦ ἀπονενοημένου καὶ δοξομανοῦντος καὶ δοκοῦντος εἶναι ὑψηλοῦ, οὐδὲν ταπεινώτερον καὶ ἀτιμότερον. Καὶ γὰρ φιλόνεικον τὸ τῶν ἀνθρώπων γένος, καὶ πρὸς οὐδὲν ἕτερον ἀντικαθίστανται, ὡς πρὸς ἀλαζόνα καὶ ὑπερόπτην καὶ δόξης δοῦλον. Καὶ αὐτὸς δὲ ἐκεῖνος, ὥστε διατηρῆσαι τὸ σχῆμα τῆς ἀπονοίας, τὰ τῶν ἀνδραπόδων πρὸς τοὺς πλεί-

Εἰπέ μου λοιπόν· ποῖοι εἶναι ἄξιοι μεγαλυτέρου γέλωτος; δὲν εἶναι αὐτοὶ ποὺ κάνουν κάτι διὰ νὰ ἀποσπάσουν τὴν δόξαν τῶν πολλῶν; Ποῖοι δὲ ἄξιοι ἐπαίνου; δὲν εἶναι ἐκεῖνοι ποὺ περιφρονοῦν τὸν ἔπαινον ἐκ μέρους τῶν πολλῶν; Ἐὰν λοιπὸν εἶναι ἐπονείδιστον πρᾶγμα τὸ ν' ἀγαπᾷ κανεὶς τὴν κενοδοξίαν, ὁ δὲ κενόδοξος δὲν ἠμπορεῖ, ἀγαπῶν αὐτήν, νὰ διαφύγῃ τὴν προσοχὴν τῶν ἀνθρώπων, ὁπωσδήποτε θὰ περιφρονηθῇ καὶ ἔτσι ἔχει γίνει εἰς αὐτὸν ἡ ἀγάπη τῆς δόξης αἰτία περιφρονήσεως. Καὶ δὲν περιφρονεῖται μόνον κατ' αὐτὸν τὸν τρόπον, ἀλλὰ καὶ διὰ τὸ ὅτι ἀναγκάζεται νὰ κάνῃ πολλὰ αἰσχρὰ πράγματα καὶ εἶναι γεμᾶτος ἀπὸ τὴν χειροτέραν δουλοπρέπειαν. Καὶ ὅπως ἀκριβῶς οἱ ἄνθρωποι συνήθως βλάπτονται πολὺ περισσότερον ἀπὸ τὴν ἀσθένειαν τῆς φιλοκερδείας προσπαθοῦντες νὰ κερδίσουν περισσότερα (διότι ὑφίστανται πολλὰς ἀπάτας καὶ τὰ μικρὰ κέρδη ἐπιφέρουν πολλὰς ζημίας, διὰ τοῦτο καὶ ὁ λόγος αὐτὸς κατήντησε νὰ εἶναι παροιμιώδης), ἔτσι καὶ εἰς τὸν φιλήδονον γίνεται ἐμπόδιον εἰς τὴν ἀπόλαυσιν τῆς ἡδονῆς τὸ ἴδιο τὸ πάθος του. Διότι τοὺς ἐπιθυμοῦντας εἰς μεγάλον βαθμὸν τὰς σαρκικὰς ἀπολαύσεις καὶ τοὺς γυναικοδούλους, αὐτοὺς κατ' ἐξοχὴν περιφέρουν αἱ γυναῖκες ὡς ἀνδράποδα καὶ οὐδέποτε θὰ ἠμποροῦσαν οἱ γυναῖκες νὰ τοὺς θεωρήσουν αὐτοὺς ὡς ἄνδρας, καὶ διὰ τοῦτο τοὺς ραπίζουν, τοὺς πτύουν, τοὺς σύρουν καὶ τοὺς φέρουν ὅπου θέλουν, τοὺς κάνουν ὅ,τι θέλουν καὶ πάντα μόνον διαταγὰς τοὺς δίνουν.

Κατὰ τὸν ἴδιον τρόπον δὲν ὑπάρχει τίποτε ταπεινότερον καὶ ἀτιμότερον ἀπὸ τὸν ἀλαζόνα καὶ δοξομανῆ καὶ ἔχοντα τὴν ἐντύπωσιν ὅτι εἶναι σπουδαῖος. Καθ' ὅσον τὸ ἀνθρώπινον γένος εἶναι φιλόνεικον καὶ πρὸς κανένα ἄλλον δὲν συμπεριφέρεται ἔτσι, ὅπως πρὸς τὸν ἀλαζόντα καὶ ὑπερήφανον καὶ δοῦλον τῆς δόξης. Ἀλλὰ καὶ ὁ ἴδιος ἐκεῖνος ὁ ἀλαζὼν προκειμένου νὰ διατηρήσῃ τὸ σχῆμα τῆς ἀλαζονείας, ἐπιδεικνύει πρὸς τοὺς περισσοτέρους τὰ δείγματα τῶν δούλων, κολακεύων αὐτούς, ἐκδουλεύων, καὶ ὑπηρετεῖ τὴν

ονας ἐπιδείκνυται, κολακεύων, θεραπεύων, παντὸς ἀργυρωνήτου δουλείαν δουλεύων χαλεπωτέραν.

Ταῦτ' οὖν ἅπαντα εἰδότες, καταθώμεθα ταῦτα τὰ πάθη, ἵνα μὴ καὶ ἐνταῦθα δίκην δῶμεν, καὶ ἐκεῖ κολασθῶμεν ἀπέρανται. Γενώμεθα τῆς ἀρετῆς ἐρασταί. Οὕτω γὰρ καὶ πρὸ τῆς βασιλείας τὰ μέγιστα ἐνταῦθα καρπωσόμεθα καλά, καὶ ἀπελθόντες ἐκεῖ τῶν αἰωνίων μεθέξομεν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

δουλείαν ἐκείνην ποὺ εἶναι χειροτέρα ἀπὸ τὴν δουλείαν κάθε ἀγορασθέντος μὲ χρήματα δοῦλον.

Γνωρίζοντες λοιπὸν ὅλα αὐτά, ἂς ἀποβάλωμεν αὐτὰ τὰ πάθη, ὥστε καὶ ἐδῶ νὰ μὴ τιμωρηθῶμεν καὶ εἰς τὴν ἄλλην ζωὴν νὰ μὴ τιμωρηθῶμεν αἰωνίως. Ἂς γίνωμεν ἐρασταὶ τῆς ἀρετῆς. Διότι ἔτσι καὶ τὰ μεγαλύτερα καλὰ θὰ ἀπολαύσωμεν εἰς τὴν ἐδῶ ζωὴν πρὶν ἀπὸ τὴν οὐράνιον βασιλείαν, καὶ ὅταν θὰ μεταβῶμεν ἐκεῖ θὰ γίνωμεν μέτοχοι καὶ τῶν αἰωνίων ἀγαθῶν, τὰ ὁποῖα εὔχομαι ὅλοι μας νὰ ἐπιτύχωμεν μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει δόξα καὶ δύναμις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΞΓ΄
Ματθ. 19, 16 - 26

«Καὶ ἰδοὺ εἷς προσελθὼν εἶπεν αὐτῷ· διδάσκαλε ἀγαθέ, τί ποιήσας ζωὴν αἰώνιον κληρονομήσω;».

1. Τινὲς μὲν διαβάλλουσι τὸν νεανίσκον τοῦτον, ὡς ὕπουλόν τινα καὶ πονηρόν, καὶ μετὰ πείρας τῷ Ἰησοῦ προσελθόντα· ἐγὼ δὲ φιλάργυρον μὲν αὐτὸν καὶ χρημάτων ἐλάττονα οὐκ ἂν παραιτησαίμην εἰπεῖν, ἐπειδὴ καὶ ὁ Χριστὸς τοιοῦτον αὐτὸν ἤλεγξεν ὄντα· ὕπουλον δὲ οὐδαμῶς, διὰ τὸ μήτε ἀσφαλὲς εἶναι τῶν ἀδήλων καταιτολμᾶν, καὶ μάλιστα ἐν ἐγκλήμασι, καὶ τὸ τὸν Μᾶρκον ταύτην ἀνηρηκέναι τὴν ὑποψίαν· καὶ γάρ φησιν, ὅτι «προσδραμὼν καὶ γονυπετῶν παρεκάλει αὐτόν», καὶ ὅτι «ἐμβλέψας αὐτῷ ὁ Ἰησοῦς, ἠγάπησεν αὐτόν». Ἀλλὰ πολλὴ τῶν χρημάτων ἡ τυραννίς, καὶ δῆλον ἐντεῦθεν· κἂν γὰρ τὰ ἄλλα ὦμεν ἐνάρετοι, πάντα αὕτη λυμαίνεται τὰ ἄλλα. Εἰκότως οὖν καὶ ὁ Παῦλος ρίζαν αὐτὴν ἁπάντων τῶν κακῶν εἶναι ἔφησε· «ρίζα γὰρ πάντων τῶν κακῶν ἐστιν ἡ φιλαργυρία», φησί.

Διατί οὖν οὕτω πρὸς αὐτὸν ἀπεκρίνατο ὁ Χριστός, λέγων· «οὐδεὶς ἀγαθός»; Ἐπειδὴ ὡς ἀνθρώπῳ προσῆλθε ψιλῷ, καὶ ἑνὶ τῶν πολλῶν, καὶ διδασκάλῳ Ἰουδαϊκῷ· διὰ δὴ τοῦτο ὡς ἄνθρωπος αὐτῷ διαλέγεται. Καὶ γὰρ πολλαχοῦ πρὸς τὰς ὑπονοίας τῶν προσιόντων ἀποκρίνεται, ὡς ὅταν

---

1. Μάρκ. 10, 17.
2. Μάρκ. 10, 21.
3. Α΄ Τιμ. 6, 10.

ΟΜΙΛΙΑ ΞΓ΄
Ματθ. 19, 16 - 26

«Καὶ τότε τὸν ἐπλησίασε κάποιος καὶ τοῦ εἶπεν· Διδάσκαλε ἀγαθέ, τί νὰ κάνω διὰ νὰ κληρονομήσω τὴν αἰώνιον ζωήν;».

1. Ὡρισμένοι κατηγοροῦν τὸν νέον αὐτὸν ὡς ὕπουλον καὶ πονηρὸν καὶ ὁ ὁποῖος ἐπλησίασε τὸν Ἰησοῦν μὲ σκοπὸν νὰ τὸν πειράξῃ· ἐγὼ ὅμως δὲν θὰ ἠμποροῦσα νὰ μὴ εἰπῶ ὅτι ἦτο φιλάργυρος καὶ δοῦλος τῶν χρημάτων, ἐπειδὴ καὶ ὁ Χριστὸς τὸν ἤλεγξεν ὡς ἄνθρωπον αὐτοῦ τοῦ εἴδους, ὕπουλον ὅμως δὲν θὰ ἠμποροῦσα νὰ τὸν ὀνομάσω μὲ κανένα τρόπον, καὶ διότι δὲν εἶναι ἀσφαλὲς τὸ νὰ ἐπιχειρῇ κανεὶς νὰ κρίνῃ τὰ ἄγνωστα πράγματα καὶ ἰδίως ὅταν πρόκειται διὰ κατηγορίας, καὶ διὰ τὸ ὅτι ὁ Μᾶρκος ἔχει ἀναιρέσει αὐτὴν τὴν ὑποψίαν· καθ' ὅσον λέγει, ὅτι «ἔτρεξε πρὸς αὐτὸν καὶ ἀφοῦ ἐγονάτισεν ἐμπρός του, τὸν παρεκάλει»[1], καὶ ὅτι «ὁ Ἰησοῦς τὸν ἐκοίταξε κατὰ πρόσωπον καὶ τὸν ἠγάπησεν»[2]. Ἀλλ' ὅμως εἶναι μεγάλη καὶ τυραννικὴ ἡ δύναμις τῶν χρημάτων καὶ αὐτὸ γίνεται φανερὸν καὶ ἀπὸ τὴν περίπτωσιν αὐτήν· διότι καὶ ἂν ἀκόμη εἴμεθα ὡς πρὸς τὰ ἄλλα ἐνάρετοι, αὐτὴ τὰ καταστρέφει ὅλα τὰ ἄλλα. Δικαίως λοιπὸν καὶ ὁ Παῦλος ὠνόμασεν αὐτὴν ρίζαν ὅλων γενικῶς τῶν κακῶν· διότι λέγει· «Ἡ φιλαργυρία εἶναι ρίζα ὅλων τῶν κακῶν»[3].

Διὰ ποῖον λόγον λοιπὸν ὁ Χριστὸς ἔδωσε τέτοιου εἴδους ἀπάντησιν, λέγων, «κανεὶς δὲν εἶναι ἀγαθός»; Ἐπειδὴ τὸν ἐπλησίασεν ὡς νὰ ἦτο κάποιος ἁπλοῦς ἄνθρωπος καὶ ἕνας ἀπὸ τοὺς πολλοὺς καὶ δάσκαλος τῶν Ἰουδαίων· διὰ τοῦτο λοιπὸν καὶ ὡς ἄνθρωπος συζητεῖ μαζί του. Καθ' ὅσον εἰς πολλὰς περιπτώσεις δίδει ἀπάντησιν εἰς τὰς σκέψεις

λέγῃ· «ἡμεῖς προσκυνοῦμεν ὃ οἴδαμεν», καί, «ἐὰν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου οὐκ ἔστιν ἀληθής». Ὅταν οὖν εἴπῃ, «οὐδεὶς ἀγαθός», οὐχ ἑαυτὸν ἐκβάλλων τοῦ ἀγαθὸς εἶναι τοῦτο λέγει· ἄπαγε· οὐ γὰρ εἶπε, τί με λέγεις ἀγαθόν; οὐκ εἰμὶ ἀγαθός, ἀλλ', «οὐδεὶς ἀγαθός»· τουτέστιν, οὐδεὶς ἀνθρώπων. Καὶ αὐτὸ δὲ τοῦτο ὅταν λέγῃ, οὐδὲ τοὺς ἀνθρώπους ἀποστερῶν ἀγαθότητος λέγει, ἀλλὰ πρὸς ἀντιδιαστολὴν τῆς τοῦ Θεοῦ ἀγαθότητος. Διὸ καὶ ἐπήγαγεν, «εἰ μὴ εἷς, ὁ Θεός». Καὶ οὐκ εἶπεν, εἰ μὴ ὁ Πατήρ μου, ἵνα μάθῃς ὅτι οὐκ ἐξεκάλυψεν ἑαυτὸν τῷ νεανίσκῳ.

Οὕτω καὶ ἀνωτέρω ἐκάλει τοὺς ἀνθρώπους, λέγων· «εἰ δὲ ὑμεῖς, πονηροὶ ὄντες, οἴδατε δόματα ἀγαθὰ διδόναι τοῖς τέκνοις ὑμῶν». Καὶ γὰρ καὶ ἐκεῖ πονηροὺς ἐκάλεσεν, οὐ τῆς φύσεως ἁπάσης πονηρίαν καταγινώσκων (τὸ γάρ, ὑμεῖς, οὐχ ὑμεῖς οἱ ἄνθρωποί φησιν), ἀλλὰ τὴν ἐν ἀνθρώποις ἀγαθότητα τῇ τοῦ Θεοῦ ἀγαθότητι παραβάλλων, οὕτως ὠνόμασε· διὰ τοῦτο καὶ ἐπήγαγε· «πόσῳ μᾶλλον ὁ Πατὴρ ὑμῶν δώσει ἀγαθὰ τοῖς αἰτοῦσιν αὐτόν;».

Καὶ τί τό καιεπεῖγον ἦν, φησίν, ἢ τί τὸ χρήσιμον, ὥστε οὕτως αὐτὸν ἀποκρίνασθαι; Ἀνάγει αὐτὸν καιὰ μικρόν, καὶ παιδεύει κολακείας ἀπηλλάχθαι πάσης, τῶν ἐπὶ τῆς γῆς ἀπάγων, καὶ τῷ Θεῷ προσηλῶν, καὶ πείθων τὰ μέλλοντα ζητεῖν, καὶ εἰδέναι τὸν ὄντως ἀγαθόν, καὶ τὴν ρίζαν καὶ τὴν πηγὴν ἁπάντων, καὶ αὐτῷ τὰς τιμὰς ἀναφέρειν. Ἐπεὶ καὶ ὅταν λέγῃ, «μὴ καλέσητε διδάσκαλον ἐπὶ τῆς γῆς»,

---

4. Ἰω. 4, 22.
5. Ἰω. 5, 31.
6. Ματθ. 7, 11.
7. Αὐτόθι.

ἐκείνων ποὺ τὸν πλησιάζουν, ὅπως ὅταν λέγῃ· «ἡμεῖς προσκυνοῦμεν αὐτὸ ποὺ τὸ γνωρίζομεν»[4], καί· «Ἐὰν ἐγὼ ὁ ἴδιος δίδω μαρτυρίαν περὶ τοῦ ἑαυτοῦ μου, ἡ μαρτυρία μου δὲν εἶναι ἀληθής»[5]. Ὅταν λοιπὸν λέγῃ, «κανεὶς δὲν εἶναι ἀγαθός», δὲν τὸ λέγει αὐτὸ μὲ σκοπὸν ν' ἀποκλείσῃ τὸν ἑαυτόν του ἀπὸ τὸ νὰ εἶναι ἀγαθός, μὴ σκεφθῇς κάτι τέτοιο· διότι δὲν εἶπε, 'διατί μὲ ὀνομάζεις ἀγαθόν; δὲν εἶμαι ἀγαθός', ἀλλ' ὅτι «κανεὶς δὲν εἶναι ἀγαθός»· δηλαδὴ κανεὶς ἀπὸ τοὺς ἀνθρώπους. Ἀλλὰ καὶ αὐτὸ ἀκόμη ὅταν τὸ λέγῃ, δὲν τὸ λέγει διὰ νὰ ἀποκλείσῃ τοὺς ἀνθρώπους ἀπὸ τὴν ἀγαθότητα, ἀλλὰ τὸ λέγει ἐν συγκρίσει πρὸς τὴν ἀγαθότητα τοῦ Θεοῦ. Διὰ τοῦτο καὶ προσέθεσεν· «παρὰ μόνον ἕνας, ὁ Θεός». Καὶ δὲν εἶπε, 'παρὰ μόνον ὁ Πατήρ μου', διὰ νὰ μάθῃς ὅτι δὲν ἐφανέρωσε τὸν ἑαυτόν του εἰς τὸν νεανίσκον.

Κατὰ τὸν ἴδιον τρόπον καὶ προηγουμένως ἀπεκάλει τοὺς ἀνθρώπους πονηρούς, λέγων· «Ἐὰν ὅμως σεῖς, ἐνῷ εἶσθε πονηροί, γνωρίζετε νὰ δίδετε καλὰ πράγματα εἰς τὰ τέκνα σας»[6]. Καθ' ὅσον καὶ εἰς τὴν περίπτωσιν ἐκείνην τοὺς ὠνόμασε πονηρούς, θεωρῶν ὄχι ὅλην τὴν ἀνθρωπίνην φύσιν πονηρὰν (διότι τὸ σεῖς δὲν σημαίνει ὅλοι σεῖς οἱ ἄνθρωποι), ἀλλὰ τοὺς ὠνόμασεν ἔτσι συγκρίνων τὴν ἀγαθότητα τῶν ἀνθρώπων πρὸς τὴν ἀγαθότητα τοῦ Θεοῦ· διὰ τοῦτο καὶ προσέθεσε· «πόσον μᾶλλον ὁ Πατήρ σας θὰ δώσῃ ἀγαθὰ εἰς αὐτοὺς ποὺ τοῦ ζητοῦν;»[7].

Ἀλλὰ θὰ εἰπῇ κάποιος· ποία ἀνάγκη ὑπῆρχεν ἢ ποία ὠφέλεια, ὥστε νὰ δώσῃ αὐτὴν τὴν ἀπάντησιν; Τὸν ἀνεβάζει πνευματικὰ ὀλίγον κατ' ὀλίγον καὶ τὸν διδάσκει ν' ἀπαλλαγῇ ἐξ ὁλοκλήρου ἀπὸ τὴν κολακείαν, ἀποσπῶν αὐτὸν ἀπὸ τὰ ἐπίγεια πράγματα καὶ προσηλῶν εἰς τὸν Θεόν, καὶ τὸν πείθει νὰ ζητῇ τὰ οὐράνια ἀγαθὰ καὶ νὰ γνωρίσῃ αὐτὸν ποὺ πράγματι εἶναι ἀγαθὸν καὶ ρίζα καὶ πηγὴ ὅλων τῶν ἀγαθῶν, καὶ εἰς αὐτὸν ν' ἀποδίδῃ τὰς τιμάς. Διότι καὶ ὅταν λέγῃ, «μὴ ὀνομάσετε κανένα διδάσκαλον ἐπάνω εἰς τὴν

πρὸς ἀντιδιαστολὴν αὐτοῦ τοῦτό φησιν, καὶ ἵνα μάθωσι τίς ἡ πρώτη τῶν ὄντων ἁπάντων ἀρχή. Οὐδὲ γὰρ μικρὰν ὁ νεανίσκος ἐπεδείξατο προθυμίαν τέως, εἰς ἔρωτα τοιοῦτον ἐμπεσών, καὶ τῶν ἄλλων τῶν μὲν πειραζόντων, τῶν δὲ ὑπὲρ νοσημάτων προσιόντων, ἢ τῶν οἰκείων, ἢ τῶν ἀλλοτρίων, αὐτὸς ὑπὲρ ζωῆς αἰωνίου καὶ προσιὼν καὶ διαλεγόμενος. Καὶ γὰρ λιπαρὰ ἦν ἡ γῆ καὶ πίων, ἀλλὰ τῶν ἀκανθῶν τὸ πλῆθος τὸν σπόρον συνέπνιγε.

Σκόπει γοῦν πῶς ἐστι παρεσκευασμένος τέως πρὸς τὴν τῶν ἐπιταγμάτων ὑπακοήν. «Τί γὰρ ποιήσας», φησί, «ζωὴν αἰώνιον κληρονομήσω;». Οὕτως ἕτοιμος ἦν πρὸς ἐργασίαν τῶν λεχθησομένων. Εἰ δὲ πειράζων προσῆλθεν, ἐδήλωσεν ἂν ἡμῖν καὶ τοῦτο ὁ εὐαγγελιστής, ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων ποιεῖ, ὡς ἐπὶ τοῦ νομικοῦ. Εἰ δὲ καὶ αὐτὸς ἐσίγησεν, ὁ Χριστὸς αὐτὸν οὐκ ἂν εἴασε λαθεῖν, ἀλλ' ἤλεγξεν ἂν σαφῶς, ἢ καὶ ἠνίξατο, ὥστε μὴ δόξαι ἠπατηκέναι καὶ λανθάνειν, καὶ ταύτῃ βλαβῆναι. Εἰ πειράζων προσῆλθεν, οὐκ ἂν ἀπῆλθε λυπούμενος ἐφ' οἷς ἤκουσε. Τοῦτο γοῦν οὐδείς ποτε ἔπαθε τῶν Φαρισαίων, ἀλλ' ἠγριαίνοντο ἐπιστομιζόμενοι. Ἀλλ' ἄπεισι κατηφής· ὅπερ οὐ μικρὸν σημεῖον ἦν τοῦ μὴ μετὰ πονηρᾶς γνώμης αὐτὸν προσελθεῖν, ἀλλ' ἀσθενεστέρας, καὶ ἐπιθυμεῖν μὲν τῆς ζωῆς, κατέχεσθαι δὲ ἑτέρῳ πάθει χαλεπωτάτῳ.

Εἰπόντος τοίνυν τοῦ Χριστοῦ, «εἰ θέλεις εἰσελθεῖν εἰς τὴν ζωήν, τήρησον τὰς ἐντολάς», λέγει· «ποίας;»· οὐχὶ πει-

8. Πρβλ. Ματθ. 23, 8.
9. Πρβλ. Ματθ. 22, 35-40.

γῆν»[8], τὸ λέγει ἐν συγκρίσει πρὸς τὸν ἑαυτόν του καὶ διὰ νὰ γνωρίσουν οἱ ἄνθρωποι ποία εἶναι ἡ πρώτη ἀρχὴ ὅλων γενικῶς τῶν ὄντων. Οὔτε βέβαια ἦτο μικρὰ ἡ προθυμία ποὺ ἔδειξεν ὁ νεανίσκος τότε, καθ' ὅσον κατελήφθη ἀπὸ τέτοιον ἔρωτα, τὴν στιγμὴν ποὺ ἄλλοι μὲν τὸν ἐπείραζον, ἄλλοι τὸν ἐπλησίασαν διὰ νὰ θεραπεύσῃ τὰς ἀσθενείας των ἢ τὰς ἀσθενείας τῶν συγγενῶν των ἢ τῶν ξένων, αὐτὸς ὅμως καὶ τὸν ἐπλησίασε καὶ ἐσυζητοῦσε διὰ τὴν αἰώνιον ζωήν. Διότι ἦτο μὲν ἡ ψυχή του εὔφορος καὶ πλουσία, ἀλλ' ὅμως τὸ πλῆθος τῶν ἀκανθῶν κατέπνιγε τὸν σπόρον.

Πρόσεχε λοιπὸν πῶς ἦτο τὴν στιγμὴν ἐκείνην προετοιμασμένος διὰ τὴν ὑπακοὴν τῶν προσταγμάτων. Διότι λέγει· «Τί νὰ κάνω διὰ νὰ κληρονομήσω τὴν αἰώνιον ζωήν;». Ἔτσι ἦτο προετοιμασμένος πρὸς ἐφαρμογὴν τῶν ὅσων θὰ τοῦ ἔλεγεν. Ἐὰν ὅμως τὸν ἐπλησίασε μὲ σκοπὸν νὰ τὸν πειράξῃ, θὰ μᾶς τὸ ἔλεγεν ὁπωσδήποτε ὁ εὐαγγελιστὴς καὶ αὐτό, πρᾶγμα ποὺ τὸ κάνει καὶ εἰς τὰς ἄλλας περιπτώσεις, ὅπως δηλαδὴ εἰς τὴν περίπτωσιν τοῦ νομικοῦ[9]. Ἐὰν ὅμως καὶ αὐτὸς τὸ ἀπεσιώπησεν, ὁ Χριστὸς δὲν θὰ ἦτο δυνατὸν νὰ τὸν ἀφήσῃ ἀπαρατήρητον, ἀλλὰ θὰ τὸν ἤλεγχε κατὰ τρόπον φανερὸν ἢ καὶ θὰ ἔκανε κάποιον ὑπαινιγμόν, ὥστε νὰ μὴ σχηματισθῇ ἡ ἐντύπωσις ὅτι ἐπλανήθη καὶ διεύφυγε τὴν προσοχήν του, καὶ ζημιωθῇ ἔτσι περισσότερον. Ἐὰν τὸν ἐπλησίασε μὲ σκοπὸν νὰ τὸν πειράξῃ δὲν θὰ ἔφευγε λυπημένος δι' ὅσα ἤκουσε. Διότι αὐτὸ κανεὶς ποτὲ ἀπὸ τοὺς Φαρισαίους δὲν τὸ ἔπαθεν, ἀλλ' ἐξηγριώνοντο ὅταν τοὺς ἔκλεινε τὰ στόματα. Ὅμως δὲν συνέβη αὐτὸ εἰς τὸν νέον, ἀλλὰ φεύγῃ καταλυπημένος, πρᾶγμα ποὺ ἀποτελεῖ ὄχι μικρὰν ἀπόδειξιν, ὅτι δὲν τὸν ἐπλησίασε μὲ πονηρὰν διάθεσιν, ἀλλὰ μὲ ἐξασθενημένην, καὶ ἐπιθυμεῖ μὲν τὴν αἰώνιον ζωήν, ἀλλ' ὅμως εἶναι κατακυριευμένος ἀπὸ ἄλλο φοβερώτατον πάθος.

Ὅταν λοιπὸν ὁ Χριστὸς τοῦ εἶπεν, «Ἐὰν θέλῃς νὰ εἰσέλθῃς εἰς τὴν ζωήν, φύλαξε τὰς ἐντολάς», λέγει· «ποί-

ράζων, μὴ γένοιτο, ἀλλὰ νομίζων ἑτέρας τινὰς παρὰ τὰς νομικὰς εἶναι τὰς τῆς ζωῆς προξένους αὐτῷ γενησομένας· ὃ σφόδρα ἐπιθυμοῦντος ἦν. Εἶτα, ἐπειδὴ εἶπεν ὁ Ἰησοῦς τὰς ἀπὸ τοῦ νόμου, φησί· «ταῦτα πάντα ἐφυλαξάμην ἐκ νεότητός μου». Καὶ οὐδὲ ἐνταῦθα ἔστη, ἀλλὰ πάλιν ἐρωτᾷ, «τί ἔτι ὑστερῶ;», ὃ καὶ αὐτὸ σημεῖον ἦν τῆς σφοδρᾶς ἐπιθυμίας αὐτοῦ. Οὐ μικρὸν δὲ καὶ τὸ νομίζειν αὐτὸν ὑστερεῖν, μηδὲ ἡγεῖσθαι ἀρκεῖν τὰ εἰρημένα εἰς τὸ τυχεῖν ὧν ἐπεθύμει. Τί οὖν ὁ Χριστός; Ἐπειδὴ ἔμελλε μέγα τι ἐπιτάττειν, προτίθησι τὰ ἔπαθλα, καί φησιν· «εἰ θέλεις τέλειος εἶναι, ὕπαγε, πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς· καὶ ἕξεις θησαυρὸν ἐν οὐρανοῖς· καὶ δεῦρο ἀκολούθει μοι».

2. Εἶδες πόσα βραβεῖα, πόσους στεφάνους τίθησι τῷ σταδίῳ τούτῳ; Εἰ δὲ ἐπείραζεν, οὐκ ἂν αὐτῷ ταῦτα εἶπε. Νυνὶ δὲ καὶ λέγει, καὶ ὥστε αὐτὸν ἐφελκύσασθαι, καὶ τὸν μισθὸν αὐτῷ δείκνυσι πολὺν ὄντα, καὶ τῇ γνώμῃ αὐτοῦ τὸ πᾶν ἐπιτρέπει, διὰ πάντων συσκιάζων τὸ δοκοῦν εἶναι βαρὺ τῆς παραινέσεως. Διὸ καὶ πρὶν εἰπεῖν τὸν ἀγῶνα καὶ τὸν πόνον, τὸ βραβεῖον αὐτῷ δείκνυσι, λέγων, «εἰ θέλεις τέλειος εἶναι», καὶ τότε φησί, «πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς, καὶ εὐθέως πάλιν τὰ ἔπαθλα, «ἕξεις θησαυρὸν ἐν οὐρανοῖς, καὶ δεῦρο ἀκολούθει μοι». Καὶ γὰρ τὸ ἀκολουθεῖν αὐτῷ, μεγάλη ἀντίδοσις.

«Καὶ ἕξεις θησαυρὸν ἐν οὐρανοῖς». Ἐπειδὴ γὰρ περὶ χρημάτων ἦν ὁ λόγος, καὶ πάντων αὐτὸν γυμνωθῆναι παρῄνει, δεικνὺς ὅτι οὐκ ἀφαιρεῖται τὰ ὄντα, ἀλλὰ προοτίθησι

ας;»· ὄχι μὲ σκοπὸν νὰ τὸν πειράξῃ, μὴ γένοιτο, ἀλλ' ἐπειδὴ ἐνόμιζεν ὅτι ἄλλαι εἶναι ἐκεῖναι αἱ ἐντολαί, ἐκτὸς ἀπὸ τὰς ἐντολὰς τοῦ νόμου, ποὺ θὰ τοῦ ἐχάριζον τὴν αἰώνιον ζωήν, πρᾶγμα ποὺ χαρακτηρίζει τὸν ἄνθρωπον ποὺ εἶναι κυριευμένος ἀπὸ σφοδρὰν ἐπιθυμίαν. Ἔπειτα, ἐπειδὴ ὁ Ἰησοῦς τοῦ εἶπε νὰ φυλάττῃ τὰς ἐντολὰς τοῦ νόμου, ἀπαντᾷ· «ὅλα αὐτὰ τὰ ἐφύλαξα ἀπὸ τὴν νεανικήν μου ἡλικίαν». Καὶ δὲν ἐσταμάτησε μέχρις ἐδῶ, ἀλλὰ πάλιν ἐρωτᾷ· «Εἰς τί ἀκόμη ὑστερῶ;», πρᾶγμα ποὺ ἀπεδείκνυε καὶ αὐτὸ τὴν μεγάλην ἐπιθυμίαν του. Ἀλλὰ καὶ δὲν ἦτο μικρὸν πρᾶγμα τὸ ὅτι ἐνόμιζεν ὅτι ὑστερεῖ εἰς κάτι, καὶ τὸ ὅτι ἐθεώρει ἀνεπαρκεῖς τὰς ἐντολὰς τοῦ νόμου διὰ νὰ ἐπιτύχῃ αὐτὰ ποὺ ἐπεθύμει. Τί κάνει λοιπὸν ὁ Χριστός; Ἐπειδὴ ἐπρόκειτο νὰ δώσῃ κάποιαν μεγάλην ἐντολήν, προσθέτει τὰ ἔπαθλα καὶ λέγει· «ἐὰν θέλῃς νὰ εἶσαι τέλειος, πήγαινε, πώλησε τὰ ὑπάρχοντά σου καὶ μοίρασέ τα εἰς τοὺς πτωχούς, καὶ θὰ ἔχῃς θησαυρὸν εἰς τοὺς οὐρανούς· καὶ τότε ἔλα καὶ ἀκολούθησέ με».

2. Εἶδες πόσα βραβεῖα καὶ πόσους στεφάνους ὁρίζει δι' αὐτὸν τὸν ἀγῶνα; Ἐὰν ὅμως τὸν ἐπείραζε, δὲν θὰ τοῦ ἔλεγεν αὐτά. Τώρα ὅμως καὶ τὰ λέγει, καὶ διὰ νὰ τὸν προσελκύσῃ τοῦ φανερώνει ὅτι εἶναι πολὺ μεγάλος ὁ μισθός, καὶ ἀφήνει τὸ πᾶν εἰς τὴν διάθεσιν αὐτοῦ, ἐπικαλύπτων μὲ ὅλα ὅσα λέγει τὴν ἐντύπωσιν ὅτι εἶναι βαρεῖα ἡ παραίνεσις. Διὰ τοῦτο καὶ πρὶν εἰπῇ τὸ ἀγώνισμα καὶ τὸν κόπον, τοῦ φανερώνει τὸ βραβεῖον, λέγων· «ἐὰν θέλῃς νὰ εἶσαι τέλειος», καὶ τότε τοῦ λέγει, «πώλησε τὰ ὑπάρχοντά σου καὶ μοίρασέ τα εἰς τοὺς πτωχούς», καὶ ἀμέσως πάλιν ἀναφέρει τὰ βραβεῖα· «καὶ θὰ ἔχῃς θησαυρὸν εἰς τοὺς οὐρανούς, καὶ τότε ἔλα καὶ ἀκολούθησέ με». Καθ' ὅσον τὸ νὰ ἀκολουθῇ αὐτὸν ἦτο πολὺ μεγάλη ἀνταμοιβή.

«Καὶ θὰ ἔχῃς θησαυρὸν εἰς τοὺς οὐρανούς». Ἐπειδὴ δηλαδὴ ὁ λόγος ἦτο διὰ τὰ χρήματα καὶ τὸν συνεβούλευε ν' ἀπαλλαχθῇ ἀπὸ ὅλα, διὰ νὰ δείξῃ ὅτι δὲν τοῦ ἀφαιρεῖ

τοῖς οὖσι, καὶ πλείονα ὧν ἐκέλευσε παρασχεῖν ἔδωκεν· οὐ πλείονα δὲ μόνον, ἀλλὰ καὶ τοσούτῳ μείζονα, ὅσον γῆς οὐρανός, καὶ ἔτι πλέον. Θησαυρὸν δὲ εἶπε, τὸ δαψιλὲς τῆς ἀντιδόσεως, τὸ μόνιμον δηλῶν, τὸ ἄσυλον, ὡς ἐνεχώρει διὰ τῶν ἀνθρωπίνων αἰνίξασθαι τῷ ἀκούοντι. Οὐκ ἄρα ἀρκεῖ τὸ χρημάτων καταφρονεῖν, ἀλλὰ δεῖ καὶ διαθρέψαι πένητας, καὶ προηγουμένως ἀκολουθεῖν τῷ Χριστῷ· τουτέστι, πάντα τὰ παρ' αὐτοῦ κελευόμενα ποιεῖν, πρὸς σφαγὰς εἶναι ἕτοιμον, καὶ θάνατον καθημερινόν. «Εἴ τις γὰρ θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτόν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι». Ὥστε τοῦ ῥῖψαι τὰ χρήματα πολλῷ μεῖζον τοῦτο τὸ ἐπίταγμα, τὸ καὶ αὐτὸ τὸ αἷμα ἐκχεῖν· οὐ μικρὸν δὲ εἰς τοῦτο τὸ χρημάτων ἀπηλλάχθαι συμβάλλεται.

«Ἀκούσας δὲ ὁ νεανίσκος, ἀπῆλθε λυπούμενος». Εἶτα ὥσπερ δεικνὺς ὁ εὐαγγελιστής, ὅτι οὐκ ἀπεικός τι πέπονθε, φησίν· «ἦν γὰρ ἔχων χρήματα πολλά». Οὐ γὰρ ὁμοίως κατέχονται οἱ τὰ ὀλίγα ἔχοντες, καὶ οἱ πολλῇ βαπτισθέντες περιουσίᾳ· τυραννικώτερος γὰρ τότε ὁ ἔρως γίνεται. Ὅπερ ἀεὶ λέγων οὐ παύομαι, ὅτι ἡ προσθήκη τῶν ἐπεισιόντων μείζονα ἀνάπτει τὴν φλόγα, καὶ πενεστέρους ἐργάζεται τοὺς κτωμένους, εἴγε ἐν πλείονι καθίστησιν αὐτοὺς ἐπιθυμίᾳ, καὶ μᾶλλον αἰσθάνεσθαι τῆς ἐνδείας ποιεῖ. Σκόπει γοῦν καὶ ἐνταῦθα οἵαν ἐπεδείξατο τὴν ἰσχὺν τὸ πάθος. Τὸν γὰρ μετὰ χαρᾶς προσελθόντα καὶ προθυμίας, ἐπειδὴ ἐκέλευσεν ὁ Χρι-

10. Λουκᾶ 9, 23.

αὐτὰ ποὺ ἔχει, ἀλλ' ὅτι τοῦ προσθέτει καὶ ἄλλα εἰς αὐτὰ ποὺ ἔχει, τοῦ ἔδωσε περισσότερα ἀπὸ αὐτὰ ποὺ τοῦ εἶπε νὰ δώσῃ· καὶ ὄχι μόνον περισσότερα, ἀλλὰ καὶ τόσον σπουδαιότερα, ὅσον εἶναι ὁ οὐρανὸς ἀπὸ τὴν γῆν καὶ ἀκόμη περισσότερον. Θησαυρὸν δὲ ὠνόμασε τὴν μεγαλοδωρίαν τῆς ἀνταμοιβῆς, μὲ σκοπὸν νὰ δείξῃ τὴν μονιμότητα καὶ τὴν ἀσφάλειαν αὐτῆς, ὅπως δηλαδὴ ἦτο δυνατὸν νὰ ὁδηγήσῃ τὸν νέον εἰς τὴν γνῶσιν, χρησιμοποιῶν ἀνθρώπινα παραδείγματα. Ἑπομένως δὲν ἀρκεῖ νὰ περιφρονῇ κανεὶς τὰ χρήματα, ἀλλὰ πρέπει νὰ δώσῃ τροφὴν εἰς τοὺς πτωχοὺς καὶ πρὶν ἀπὸ ὅλα νὰ ἀκολουθῇ τὸν Χριστόν, δηλαδὴ νὰ πράττῃ ὅλα τὰ προστάγματά του καὶ νὰ εἶναι ἕτοιμος διὰ σφαγὴν χάριν αὐτοῦ καὶ διὰ καθημερινὸν θάνατον. Διότι, «ἐὰν κάποιος θέλῃ νὰ μὲ ἀκολουθήσῃ, νὰ ἀπαρνηθῇ τὸν ἑαυτόν του, νὰ λάβῃ τὸν σταυρόν του καὶ ἂς μὲ ἀκολουθῇ»[10]. Ὥστε εἶναι πολὺ πιὸ ἀνωτέρα ἡ ἐντολὴ αὐτὴ τὸ νὰ θυσιάζῃ κανεὶς τὴν ζωήν του ἀπὸ τὸ νὰ περιφρονήσῃ τὰ χρήματα, καὶ δὲν εἶναι μικρὰ ἡ συμβολὴ τῆς ἀπαλλαγῆς ἀπὸ τὰ χρήματα εἰς τὴν ἐφαρμογὴν τῆς ἐντολῆς αὐτῆς..

«Ἀκούσας ὅμως ὁ νεανίσκος αὐτά, ἔφυγε λυπημένος». Καὶ εἰς τὴν συνέχειαν διὰ νὰ δείξῃ ὁ εὐαγγελιστής, ὅτι δὲν ἦτο αὐτὸ ποὺ ἔπαθε κάτι τὸ φυσικόν, λέγει· «διότι εἶχε πολλὰ χρήματα». Δὲν εἶναι δηλαδὴ κυριευμένοι ἀπὸ τὸ ἴδιον πάθος αὐτοὶ ποὺ ἔχουν ὀλίγα καὶ αὐτοὶ ποὺ ἔχουν πάρα πολὺ μεγάλην περιουσίαν· διότι τότε γίνεται πιὸ τυραννικὸς ὁ πόθος των διὰ τὰ χρήματα. Συμβαίνει δηλαδὴ αὐτὸ ποὺ δὲν θὰ παύσω νὰ τὸ λέγω, ὅτι ἡ προσθήκη τῶν ἑκάστοτε ἀποκτωμένων χρημάτων ἀνάπτει κατὰ πολὺ περισσότερον τὴν φλόγα καὶ κάνει πιὸ πτωχοὺς αὐτοὺς ποὺ τὰ ἀποκτοῦν, καθ' ὅσον ἐμβάλλει εἰς αὐτοὺς μεγαλυτέραν ἐπιθυμίαν δι' αὐτὰ καὶ τοὺς κάνει νὰ αἰσθάνωνται πολὺ περισσότερον τὴν πτωχείαν των. Καὶ πρόσεχε λοιπὸν καὶ εἰς τὴν περίπτωσιν αὐτὴν ποίαν δύναμιν παρουσίασε τὸ πάθος αὐτό. Διότι ἐκεῖνον ποὺ ἦλθε πρὸς τὸν Κύριον μὲ χαρὰν καὶ προθυμίαν, ἐπειδὴ

σιὸς ῥῖψαι τὰ χρήματα, οὕτω κατέχωσε καὶ ἐβάρησεν, ὡς μηδὲ ἀποκρίνασθαι περὶ τούτων ἀφεῖναι, ἀλλὰ σιγήσαντα καὶ κατηφῆ καὶ σιυγνὸν γενόμενον ἀπελθεῖν.

Τί οὖν ὁ Χριστός; «Πῶς δυσκόλως οἱ πλούσιοι εἰσελεύσονται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν», οὐ τὰ χρήματα διαβάλλων, ἀλλὰ τοὺς κατεχομένους ὑπ' αὐτῶν. Εἰ δὲ πλούσιος δυσκόλως, πολλῷ μᾶλλον ὁ πλεονέκτης. Εἰ γὰρ τὸ μὴ δοῦναι τὰ ἑαυτοῦ πρὸς βασιλείαν ἐμπόδιον, τὸ καὶ τὰ ἑτέρων λαβεῖν ἐννόησον πόσον σωρεύει τὸ πῦρ. Τί δήποτε δὲ τοῖς μαθηταῖς ἔλεγεν, ὅτι δυσκόλως πλούσιος εἰσελεύσεται, πένησιν σῦσι καὶ οὐδὲν κεκτημένοις; Παιδεύων αὐτοὺς μὴ αἰσχύνεσθαι τὴν πενίαν, καὶ ὡσανεὶ ἀπολογούμενος αὐτοῖς ὑπὲρ τοῦ μηδὲν ἐπιτρέψαι ἔχειν.

Εἰπὼν δὲ δύσκολον, προϊὼν δείκνυσιν ὅτι καὶ ἀδύνατον, καὶ οὐχ ἁπλῶς ἀδύνατον, ἀλλὰ καὶ μετ' ἐπιτάσεως ἀδύνατον· καὶ τοῦτο ἐκ τοῦ παραδείγματος ἐδήλωσε, τοῦ κατὰ τὴν κάμηλον καὶ τὴν βελόνην. «Εὐκοπώτερον», φησί, «κάμηλον εἰσελθεῖν διὰ τρυπήματος ραφίδος, ἢ πλούσιον εἰς τὴν βασιλείαν τῶν οὐρανῶν». Ὅθεν δείκνυται ὅτι οὐχ ὁ τυχὼν μισθὸς τοῖς πλουτοῦσι καὶ δυναμένοις φιλοσοφεῖν. Διὸ καὶ Θεοῦ ἔργον ἔφησεν εἶναι αὐτό, ἵνα δείξῃ, ὅτι πολλῆς δεῖ τῆς χάριτος τῷ μέλλοντι τοῦτο κατορθοῦν. Τῶν γοῦν μαθητῶν ταραχθέντων ἔλεγε· «παρὰ ἀνθρώποις τοῦτο ἀδύνατον, παρὰ δὲ Θεῷ πάντα δυνατά».

Καὶ τίνος ἕνεκεν οἱ μαθηταὶ ταράττονται, πένητες ὄντες, καὶ σφόδρα πένητες; τίνος οὖν ἕνεκεν θορυβοῦνται; Ὑ-

ὁ Χριστὸς τὸν προέτρεψε ν' ἀπαρνηθῇ τὰ χρήματα, τόσον πολὺ τὸν ἐξουθένωσε καὶ κατέβαλε τὰς δυνάμεις του, ὥστε δὲν τὸν ἄφησε οὔτε κἂν νὰ ἀπαντήσῃ εἰς ὅσα τοῦ εἶπεν, ἀλλ' ἔφυγε σιωπηλός, σκυθρωπὸς καὶ καταλυπημένος.

Τί λέγει λοιπὸν ὁ Χριστός; «Πόσον δύσκολα θὰ εἰσέλθουν οἱ πλούσιοι εἰς τὴν βασιλείαν τῶν οὐρανῶν», κατηγορῶν ὄχι τὰ χρήματα, ἀλλ' αὐτοὺς ποὺ εἶναι δοῦλοι εἰς αὐτά. Ἐὰν δὲ θὰ εἰσέλθῃ δύσκολα ὁ πλούσιος, πολὺ πιὸ δύσκολα θὰ εἰσέλθῃ ὁ πλεονέκτης. Διότι, ἐὰν ἀποτελῇ ἐμπόδιον διὰ τὴν βασιλείαν τῶν οὐρανῶν τὸ νὰ μὴ δίδῃ κανείς, σκέψου πόσην φωτιὰν ἐπισωρεύει τὸ νὰ παίρνῃ καὶ τὰ πράγματα τῶν ἄλλων. Ἀλλὰ πρὸς ποῖον σκοπὸν ἔλεγεν εἰς τοὺς μαθητάς του, ὅτι δύσκολα θὰ εἰσέλθῃ ὁ πλούσιος εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἐφ' ὅσον ἦσαν πτωχοὶ καὶ δὲν εἶχον τίποτε; Μὲ σκοπὸν νὰ τοὺς διδάξῃ νὰ μὴ ἐντρέπωνται τὴν πτωχείαν καὶ ἀπολογούμενος κατὰ κάποιον τρόπον πρὸς αὐτοὺς διὰ τὸ ὅτι δὲν θὰ τοὺς ἐπέτρεπε νὰ ἔχουν τίποτε.

Ἀφοῦ δὲ τοὺς εἶπεν ὅτι εἶναι δύσκολον, ἐν συνεχείᾳ τονίζει ὅτι εἶναι καὶ ἀδύνατον, καὶ ὄχι ἁπλῶς ἀδύνατον, ἀλλ' ἀδύνατον εἰς ὑπερβολικὸν βαθμόν, πρᾶγμα ποὺ τὸ ἐφανέρωσε μὲ τὸ παράδειγμα τῆς καμήλου καὶ τῆς βελόνης. Διότι λέγει· «εὐκολώτερον εἶναι νὰ περάσῃ μία κάμηλος ἀπὸ τὴν τρύπαν τῆς βελόνης, παρὰ νὰ εἰσέλθῃ ὁ πλούσιος εἰς τὴν βασιλείαν τῶν οὐρανῶν». Ἀποδεικνύεται λοιπὸν ἐξ αὐτοῦ ὅτι δὲν θὰ εἶναι τυχαία ἡ ἀμοιβὴ ἐκείνων ποὺ εἶναι πλούσιοι καὶ ἠμποροῦν νὰ ζοῦν μὲ εὐσέβειαν. Διὰ τοῦτο καὶ εἶπεν ὅτι αὐτὸ εἶναι ἔργον τοῦ Θεοῦ, τὸ νὰ δείξῃ δηλαδή, ὅτι χρειάζεται πολλὴν χάριν ἀπὸ μέρους τοῦ Θεοῦ ἐκεῖνος ποὺ πρόκειται νὰ τὸ κατορθώσῃ αὐτό. Ἐπειδὴ λοιπὸν ἐταράχθησαν οἱ μαθηταί του, εἶπεν· «Εἰς μὲν τοὺς ἀνθρώπους αὐτὸ εἶναι ἀδύνατον, εἰς τὸν Θεὸν ὅμως τὰ πάντα εἶναι δυνατά».

Καὶ διὰ ποῖον λόγον οἱ μαθηταὶ ταράσσονται, καθ' ἣν στιγμὴν ἦσαν πτωχοὶ καὶ μάλιστα πάρα πολὺ πτωχοί; διὰ

πὲρ τῆς τῶν ἄλλων σωτηρίας ἀλγοῦντες, καὶ πολλὴ πρὸς ἅπαντας φιλοστοργίαν ἔχοντες, καὶ τὰ τῶν διδασκάλων ἤδη σπλάγχνα ἀναλαβόντες. Οὕτω γοῦν ἔτρεμον καὶ ἐδεδοίκεισαν ὑπὲρ τῆς οἰκουμένης ἁπάσης ἀπὸ τῆς ἀποφάσεως ταύτης, ὥστε πολλῆς δεηθῆναι τῆς παρακλήσεως. Διὰ τοῦτο πρότερον ἐμβλέψας αὐτοῖς εἶπε· «τὰ παρὰ ἀνθρώποις ἀδύνατα, δυνατὰ παρὰ τῷ Θεῷ». Ἡμέρῳ γὰρ ὄμματι καὶ πράῳ φρίττουσαν αὐτῶν τὴν διάνοιαν παραμυθησάμενος, καὶ τὴν ἀγωνίαν καταλύσας (τοῦτο γὰρ ἐδήλωσεν ὁ εὐαγγελιστὴς εἰπών, «ἐμβλέψας»), τότε καὶ διὰ τῶν ῥημάτων αὐτοὺς ἀνίησι, τὴν τοῦ Θεοῦ δύναμιν εἰς μέσον ἀγαγών, καὶ οὕτω ποιήσας θαρρεῖν. Εἰ δὲ βούλει καὶ τὸν τρόπον μαθεῖν, καὶ πῶς ἂν τὸ ἀδύνατον γένοιτο δυνατόν, ἄκουε. Οὐδὲ γὰρ διὰ τοῦτο εἶπε, «τὰ παρὰ ἀνθρώποις ἀδύνατα, δυνατὰ παρὰ τῷ Θεῷ», ἵνα ἀναπέσῃς, καὶ ὡς ἀδυνάτων ἀπόσχῃ, ἀλλ' ἵνα τὸ μέγεθος τοῦ κατορθώματος ἐννοήσας, ἐπιπηδήσῃς ῥᾳδίως, καὶ τὸν Θεὸν παρακαλέσας συνεφάψασθαί σοι τῶν καλῶν τούτων ἄθλων, τῆς ζωῆς ἐπιτύχῃς.

3. Πῶς οὖν ἂν γένοιτο τοῦτο δυνατόν; Ἂν ῥίψῃς τὰ ὄντα, ἂν κενώσῃς τὰ χρήματα, ἂν τῆς πονηρᾶς ἐπιθυμίας ἀποσιῇς. Ὅτι γὰρ οὐ τῷ Θεῷ μόνον αὐτὸ λογίζεται, ἀλλὰ διὰ τοῦτο εἶπεν, ἵνα δείξῃ τὸν ὄγκον τοῦ κατορθώματος, ἄκουσον τῶν μετὰ ταῦτα. Πέτρου γὰρ εἰπόντος, «ἰδοὺ ἡμεῖς ἀφήκαμεν πάντα, καὶ ἠκολουθήσαμέν σοι», καὶ ἐρωτήσαντος, «τί ἄρα ἔσται ἡμῖν;», τὸν μισθὸν ὁρίσας ἐκείνοις, ἐπήγαγε· «καὶ πᾶς ὅστις ἀφῆκεν οἰκίας ἢ ἀγροὺς ἢ ἀδελφοὺς

ποίαν αἰτίαν λοιπὸν ἀνησυχοῦν; Ἐπειδὴ ἐπονοῦσαν διὰ τὴν σωτηρίαν τῶν ἄλλων καὶ ἔτρεφον μεγάλην στοργὴν πρὸς ὅλους καὶ ἐθεωροῦσαν τοὺς ἑαυτοὺς των ὡς διδασκάλους των. Διὰ τὸν λόγον αὐτὸν λοιπὸν ἔτρεμον καὶ εἶχον κυριευθῇ ἀπὸ φόβον δι' ὁλόκληρον τὴν οἰκουμένην, ἐξ αἰτίας αὐτῆς τῆς ἀποφάσεως, καὶ συνεπῶς εἶχον ἀνάγκην ἀπὸ πολλὴν παρηγορίαν. Διὰ τοῦτο, ἀφοῦ πρῶτα τοὺς ἐκοίταξεν, εἶπεν· «Αὐτὰ ποὺ εἶναι ἀδύνατα διὰ τοὺς ἀνθρώπους, εἶναι δυνατὰ διὰ τὸν Θεόν». Ἀφοῦ λοιπὸν μὲ τὸ ἥμερον καὶ πρᾷον βλέμμα του παρηγόρησε τὴν γεμάτην ἀπὸ ταραχὴν σκέψιν των καὶ διέλυσε τὴν ἀγωνίαν των (διότι αὐτὸ τὸ ἔκανε φανερὸν ὁ εὐαγγελιστὴς μὲ τὸν λόγον του, «ἐμβλέψας»), εἰς τὴν συνέχειαν τοὺς καθησυχάζει καὶ μὲ τοὺς λόγους του, ἀφοῦ παρουσίασε τὴν δύναμιν τοῦ Θεοῦ, καὶ ἔτσι τοὺς ἐγέμισε μὲ θάρρος. Ἀλλ' ἐὰν θέλῃς νὰ μάθῃς καὶ τὸν τρόπον καὶ πῶς θὰ ἠμποροῦσε τὸ ἀδύνατον νὰ γίνῃ δυνατόν, ἄκουε. Διότι δὲν εἶπε μὲ τὸν σκοπὸν αὐτὸν τοὺς λόγους, «αὐτὰ ποὺ εἶναι ἀδύνατα διὰ τοὺς ἀνθρώπους εἶναι δυνατὰ διὰ τὸν Θεόν», διὰ νὰ ἀπελπισθῇς δηλαδὴ καὶ νὰ παραιτηθῇς μὲ τὴν σκέψιν ὅτι εἶναι ἀδύνατα, ἀλλὰ τὰ εἶπε μὲ σκοπόν, ὥστε, ἀφοῦ κατανοήσῃς τὸ μέγεθος τοῦ κατορθώματος, νὰ σπεύσῃς μὲ εὐκολίαν εἰς τὸν ἀγῶνα καὶ ἐπικαλούμενος καὶ τὴν βοήθειαν τοῦ Θεοῦ εἰς τοὺς καλοὺς αὐτοὺς ἀγῶνας σου, νὰ ἐπιτύχῃς τὴν αἰώνιον ζωήν.

3. Πῶς λοιπὸν θὰ ἠμποροῦσεν αὐτὸ νὰ ἐπιτευχθῇ; Ἂν ἀπαρνηθῇς τὰ ὑπάρχοντά σου, ἂν μοιράσῃς τὰ χρήματά σου, ἂν ἀπαλλαγῇς ἀπὸ τὴν πονηρὰν ἐπιθυμίαν σου. Τὸ ὅτι λοιπὸν αὐτὸ δὲν εἶναι ἔργον μόνον τοῦ Θεοῦ, ἀλλὰ τὸ εἶπεν αὐτὸ μὲ σκοπὸν νὰ δείξῃ τὸ μέγεθος τοῦ κατορθώματος, ἄκουσε τὰ ὅσα λέγει εἰς τὴν συνέχειαν. Διότι ὅταν ὁ Πέτρος εἶπεν, «Νὰ ἡμεῖς ἐγκατελείψαμεν τὰ πάντα καὶ σὲ ἠκολουθήσαμεν», καὶ ἠρώτησεν, «ποία λοιπὸν θὰ εἶναι ἡ ἀμοιβή μας;», ὁρίζων τὸ μισθὸν δι' ἐκείνους, προσέθεσεν· «Καὶ ὁ καθένας ποὺ ἐγκατέλειψεν οἰκίας, ἀγροὺς, ἀδελ-

ἢ ἀδελφὰς ἢ πατέρα ἢ μητέρα, ἑκατονταπλασίονα λήψεται καὶ ζωὴν αἰώνιον κληρονομήσει». Οὕτω τὸ ἀδύνατον γίνεται δυνατόν. Ἀλλὰ πῶς αὐτὸ τοῦτο γένοιτ' ἄν, φησί, τὸ ἀφεῖναι; πῶς δυνατὸν τὸν βαπτισθέντα ἅπαξ ἐπιθυμίᾳ τοιαύτῃ χρημάτων ἀνενεγκεῖν; Ἂν ἄρξηται ἐκ τῶν ὄντων κενοῦν, καὶ τὰ περιττὰ περικόπτειν. Οὕτω γὰρ καὶ περαιτέρω προβήσεται, καὶ εὐκολώτερον λοιπὸν δραμεῖται.

Μὴ τοίνυν ὑφ' ἓν τὸ πᾶν ζητήσῃς, ἀλλ' ἠρέμα καὶ κατὰ μικρὸν ἀνάβαινε τὴν κλίμακα ταύτην, τὴν εἰς τὸν οὐρανόν σε ἀνάγουσαν, εἰ δυσχερές σοι τὸ ἀθρόον φαίνεται. Καθάπερ γὰρ οἱ πυρέττοντες, δριμεῖαν χολὴν ἔνδον ἔχοντες πλεονάζουσαν, ὅταν ἐπεμβάλωσι σῖτα καὶ ποτά, οὐ μόνον οὐ κατασβεννύουσι τὸ δίψος, ἀλλὰ καὶ ἀνάπτουσι τὴν φλόγα· οὕτω καὶ οἱ φιλοχρήματοι, ὅταν τῇ πονηρᾷ ταύτῃ ἐπιθυμίᾳ καὶ τῆς χολῆς ἐκείνης δριμυτέρᾳ τὰ χρήματα ἐπεμβάλωσι, μᾶλλον αὐτὴν ἐκκαίουσιν. Οὐδὲν γὰρ αὐτὴν οὕτως ἴστησιν, ὡς τὸ ἀποστῆναι τέως τῆς τοῦ κερδαίνειν ἐπιθυμίας, ὥσπερ οὖν τὴν δριμεῖαν χολὴν ὀλιγοσιτία καὶ κένωσις. Τοῦτο δὲ αὐτὸ πόθεν ἔσται; φησίν. Ἂν ἐννοήσῃς, ὅτι πλουτῶν μὲν οὐδέποτε παύσῃ διψῶν, καὶ τηκόμενος τῇ τοῦ πλείονος ἐπιθυμίᾳ· ἀπαλλαγεὶς δὲ τῶν ὄντων, καὶ τὸ νόσημα δυνήσῃ οἰῆσαι τοῦτο.

Μὴ τοίνυν περιβάλλου πλείονα, ἵνα μὴ ἀκίχητα διώκῃς, καὶ ἀνίατα νοσῇς, καὶ πάντων ἐλεεινότερος ᾖς τοιαῦτα λυτιῶν. Ἀπόκριναί μοι, τίνα ἂν φαίημεν βασανίζεσθαι καὶ

φούς, ἀδελφάς, πατέρας ἢ μητέρα, θὰ λάβῃ ἑκατονταπλάσια καὶ θὰ κληρονομήσῃ τὴν αἰώνιον ζωήν». Ἔτσι τὸ ἀδύνατον γίνεται δυνατόν. Ἀλλὰ θὰ εἰπῇ κάποιος· πῶς αὐτὸ θὰ ἠμποροῦσε νὰ πραγματοποιηθῇ; πῶς εἶναι δυνατὸν αὐτὸς ποὺ κατεκυριεύθη μίαν φορὰν ἀπὸ τὴν ἐπιθυμίαν αὐτοῦ τοῦ εἴδους ν' ἀπαρνηθῇ τὰ χρήματά του; Ἂν ἀρχίσῃ νὰ μοιράζῃ τὰ ὑπάρχοντά του καὶ νὰ περικόπτῃ τὰ περιττὰ πράγματα. Διότι ἔτσι θὰ προχωρήσῃ καὶ πιὸ πέρα καὶ θὰ προχωρήσῃ εἰς τὸ ἑξῆς εὐκολώτερον.

Μὴ ζητήσῃς λοιπὸν νὰ ἀνεβῇς ἀμέσως, ἐὰν σοῦ φαίνεται δύσκολον τὸ διὰ μιᾶς ἀνέβασμα, ἀλλὰ ἀνέβαινε ἥρεμα καὶ ὀλίγον κατ' ὀλίγον τὴν κλίμακα αὐτὴν ποὺ σὲ ὁδηγεῖ εἰς τὸν οὐρανόν. Διότι, ὅπως ἀκριβῶς αὐτοὶ ποὺ ὑποφέρουν ἀπὸ πυρετόν, ἔχοντες μέσα των εὐκολοερέθιστον καὶ πλεονάζουσαν χολήν, ὅταν προσθέσουν τροφὰς καὶ ποτά, ὄχι μόνον δὲν σβήνουν τὴν δίψαν των, ἀλλὰ καὶ ἀνάπτουν τὴν φλόγα, ἔτσι καὶ οἱ φιλοχρήματοι, ὅταν προσθέτουν τὰ χρήματα εἰς τὴν πονηρὰν αὐτὴν ἐπιθυμίαν, ποὺ εἶναι πολὺ πιὸ εὐκολοερέθιστος ἀπὸ ἐκείνην τὴν χολήν, τὴν ἀνάπτουν ἀκόμη περισσότερον. Τίποτε λοιπὸν δὲν καθησυχάζει αὐτὴν τὴν φιλοχρηματίαν τόσον, ὅσον ἡ ἀπομάκρυνσις κατ' ἀρχὴν τῆς ἐπιθυμίας τοῦ κέρδους, ὅπως ἀκριβῶς βέβαια καὶ τὴν εὐκολοερέθιστον χολὴν τὸ ὀλίγον φαγητὸν καὶ ἡ ἀποβολή. Ἀλλά, θὰ εἰπῇ κάποιος, πῶς θὰ γίνῃ αὐτό; Ἐὰν κατανοήσῃς, ὅτι ὅσον μὲν αὐξάνονται τὰ πλούτη σου, ποτὲ δὲν θὰ σταματήσῃ ἡ δίψα σου δι' αὐτὰ καὶ νὰ βασανίζεσαι ἀπὸ τὴν ἐπιθυμίαν τοῦ περισσοτέρου, ὅταν ὅμως ἀπαλλαγῇς ἀπὸ τὰ ὑπάρχοντά σου, θὰ ἠμπορέσῃς καὶ τὴν ἀσθένειαν αὐτὴν νὰ τὴν καθησυχάσῃς.

Μὴ περιβάλλεσαι λοιπὸν ἀπὸ περισσότερα, διὰ νὰ μὴ ἐπιδιώκῃς ἀκατόρθωτα πράγματα καὶ ὑποφέρῃς ἀθεράπευτα καὶ νὰ γίνεσαι ἔτσι, ὑπὸ τὴν ἐπίδρασιν αὐτῆς τῆς λύσσας, ἐλεεινότερος ἀπὸ ὅλους. Διότι εἰπέ μου· ποῖος, θὰ ἠμποροῦσαμεν νὰ εἰποῦμεν, βασανίζεται καὶ ὑποφέρει, αὐτὸς

ὀδυνᾶσθαι, τὸν ἐπιθυμοῦντα σιτίων καὶ πότων πολυτελῶν, καὶ οὐκ ἔχοντα ἀπολαῦσαι ὡς βούλεται, ἢ τὸν οὐκ ἔχοντα ἐπιθυμίαν τοιαύτην; Εὔδηλον ὅτι τὸν ἐπιθυμοῦντα μέν, οὐ δυνάμενον δὲ μετασχεῖν ὧν ἐπιθυμεῖ. Οὕτω γάρ ἐστι τοῦτο ὀδυνηρόν, τὸ ἐπιθυμοῦντα μὴ ἀπολαύειν, καὶ διψῶντα μὴ πίνειν, ὡς καὶ τὴν γέενναν βουλόμενον ἡμῖν ὑπογράψαι τὸν Χριστόν, τοῦτον αὐτὴν ὑπογράψαι τὸν τρόπον, καὶ τὸν πλούσιον οὕτως εἰσαγαγεῖν ἀποτηγανιζόμενον· ἐπιθυμῶν γὰρ σταγόνος ὕδατος, καὶ μὴ ἀπολαύων, οὕτως ἐκολάζετο.

Οὐκοῦν ὁ μὲν χρημάτων καταφρονῶν ἔσπευσε τὴν ἐπιθυμίαν· ὁ δὲ πλουτεῖν βουλόμενος, καὶ περιβάλλεσθαι πλείω, ἀνῆψε μᾶλλον, καὶ οὐδέπω ἵσταται· ἀλλὰ κἂν μυρία λάβῃ τάλαντα, ἑτέρων τοσούτων ἐπιθυμεῖ· κἂν τούτων ἐπιτύχῃ, πάλιν δὶς τοσούτων ἄλλων ἐφίεται· καὶ προϊών, καὶ τὰ ὄρη καὶ τὴν γῆν καὶ τὴν θάλατταν καὶ πάντα εὔχεται αὐτῷ γενέσθαι χρυσόν, καινήν τινα μανίαν μαινόμενος καὶ φοβερὰν, καὶ οὐδέποτε οὕτω σβεσθῆναι δυναμένην. Καὶ ἵνα μάθῃς, ὅτι οὐ τῇ προσθήκῃ, ἀλλὰ τῇ ἀφαιρέσει τοῦτο ἵσταται τὸ κακόν· Εἴ σοι γέγονεν ἐπιθυμία ποτὲ ἄτοπος πιῆναι καὶ δι' ἀέρος ἐνεχθῆναι, πῶς ἂν τὴν ἄτοπον ταύτην ἔσβεσας ἐπιθυμίαν; ἢ τῷ πεῖσαι τὸν λογισμόν, ὅτι ἀδυνάτων ἐπιθυμεῖ, καὶ οὐδενὶ τούτων ἐπιχειρεῖν δεῖ; Εὔδηλον ὅτι τῷ πεῖσαι τὸν λογισμόν.

Ἀλλ' ἐκεῖνο, φησίν, ἀδύνατον. Ἀλλὰ καὶ τοῦτο ἀδυνατώτερον, τὸ τῆς ἐπιθυμίας ταύτης ὅρον εὑρεῖν. Καὶ γὰρ εὐ-

11. Πρβλ. Λουκᾶ 16, 19-31.

ποὺ ἐπιθυμεῖ πολυτελῆ φαγητὰ καὶ ποτὰ καὶ δὲν ἠμπορεῖ νὰ τὰ ἀπολαύσῃ ὅπως θέλει, ἢ αὐτὸς ποὺ δὲν εἶναι κυριευμένος ἀπὸ τέτοιαν ἐπιθυμίαν; Εἶναι ὁλοφάνερον ὅτι βασανίζεται αὐτὸς ποὺ ἔχει μὲν αὐτὴν τὴν ἐπιθυμίαν, ἀλλὰ δὲν ἠμπορεῖ ν' ἀπολαύσῃ αὐτὰ ποὺ ἐπιθυμεῖ. Τόσον δηλαδὴ ὀδυνηρὸν εἶναι αὐτό, τὸ νὰ μὴ ἠμπορῇ ν' ἀπολαύσῃ κανεὶς αὐτὸ ποὺ ἐπιθυμεῖ καὶ τὸ νὰ διψᾷ καὶ νὰ μὴ πίνῃ, ὥστε, θέλων ὁ Χριστὸς νὰ μᾶς παρουσιάσῃ διὰ παραδείγματος τὴν γέενναν, μὲ αὐτὸν τὸν τρόπον νὰ τὴν περιγράψῃ καὶ νὰ παρουσιάσῃ τὸν πλούσιον νὰ κατακαίεται ἔτσι[11]· ἐτιμωρεῖτο δηλαδὴ μὲ τὸ ὅτι ἐπιθυμοῦσε μίαν σταγόνα ὕδατος καὶ δὲν ἠμποροῦσε νὰ τὴν ἀπολαύσῃ.

Ἐκεῖνος λοιπὸν ποὺ περιφρονεῖ τὰ χρήματα κατέπαυσε τὴν ἐπιθυμίαν αὐτήν, ἐνῷ αὐτὸς ποὺ ἐπιθυμεῖ νὰ πλουτῇ καὶ ν' ἀποκτήσῃ περισσότερα, τὴν ἤναψε περισσότερον τὴν ἐπιθυμίαν του καὶ οὐδέποτε ἀρκεῖται εἰς αὐτὰ ποὺ ἔχει· ἀλλὰ καὶ ἂν ἀκόμη ἀποκτήσῃ ἄπειρα τάλαντα, ἐπιθυμεῖ ἄλλα τόσα· καὶ ἂν τὰ ἀποκτήσῃ καὶ αὐτά, ἐπιθυμεῖ καὶ πάλιν ἄλλα διπλάσια ἀπὸ αὐτά, καὶ προχωρῶν, εὔχεται καὶ τὰ ὄρη καὶ ἡ γῆ καὶ ἡ θάλασσα καὶ ὅλα γενικῶς νὰ γίνουν πρὸς χάριν του χρυσός, κατεχόμενος ἀπὸ μίαν νέαν μορφὴν φοβερᾶς μανίας, ποὺ δὲν ἠμπορεῖ ἔτσι νὰ σβήσῃ ποτέ. Καὶ διὰ νὰ μάθῃς, ὅτι τὸ κακὸν αὐτὸ δὲν σταματᾷ μὲ τὴν προσθήκην, ἀλλὰ μὲ τὴν ἀφαίρεσιν, πρόσεξε τὸ ἑξῆς· Ἐὰν κάποτε σοῦ ἐγεννᾶτο ἡ παράλογος ἐπιθυμία νὰ πετάξῃς καὶ νὰ μεταβῇς κάπου διὰ τοῦ ἀέρος, πῶς θὰ ἠμποροῦσες νὰ σβήσῃς αὐτὴν τὴν παράλογον ἐπιθυμίαν σου; μὲ τὸ νὰ κάνῃς πτερὰ καὶ νὰ κατασκευάσῃς ἄλλα ὄργανα, ἢ μὲ τὸ νὰ πείσῃς τὸν λογισμόν σου, ὅτι ἐπιθυμεῖ ἀκατόρθωτα πράγματα καὶ ὅτι δὲν πρέπει νὰ ἐπιχειρῇ κανένα ἀπὸ αὐτά; Ὁλοφάνερον εἶναι μὲ τὸ νὰ πείσῃς τὸν λογισμόν σου.

Ἀλλά, θὰ εἰπῇ κάποιος, ἐκεῖνο εἶναι ἀδύνατον. Ὅμως καὶ αὐτὸ εἶναι πιὸ ἀκατόρθωτον, τὸ νὰ εὕρῃς δηλαδὴ τέρμα διὰ τὴν ἐπιθυμίαν σου. Καθ' ὅσον εἶναι εὐκολώτερον, ἂν

κολώτερον ἀνθρώπους ὄνιας πιῆναι ἢ τῇ προσθήκῃ τοῦ πλείονος παῦσαι τὸν ἔρωτα. Ὅταν μὲν γὰρ ἡ δυνατὰ τὰ ἐπιθυμητά, τῇ ἀπολαύσει παραμυθεῖσθαι δυνατόν, ὅταν δὲ ἀδύνατα, ἓν δεῖ σπουδάζειν μόνον, τὸ τῆς ἐπιθυμίας ἡμᾶς αὐτοὺς ἀπαγαγεῖν, ὡς ἑτέρως γε οὐκ ἐνὸν ἀνακτήσασθαι τὴν ψυχήν. Ἵνα οὖν μὴ περιττὰ ὀδυνώμεθα, τὸν διηνεκῶς λυποῦντα ἔρωτα τῶν χρημάτων καὶ οὐδέποτε οἰγῆσαι ἀνεχόμενον ἀφέντες, ἐφ' ἕτερον μεθορμισώμεθα, τὸν καὶ μακαρίους ἡμᾶς ποιοῦντα, καὶ πολλὴν ἔχοντα τὴν εὐκολίαν, καὶ τῶν ἄνω θησαυρῶν ἐπιθυμήσωμεν. Οὔτε γὰρ πόνος ἐνταῦθα τοσοῦτος, καὶ τὸ κέρδος ἄφατον, καὶ ἀποτυχεῖν οὐκ ἔνι τὸν καὶ ὁπωσοῦν ἀγρυπνοῦντα καὶ νήφοντα καὶ τῶν παρόντων ὑπερορῶντα· ὥσπερ οὖν τὸν δουλεύοντα αὐτοῖς καὶ ἐκδεδομένον εἰσάπαξ ἀνάγκη πᾶσα ἐκπεσεῖν ἐκείνων.

4. Ταῦτ' οὖν ἅπαντα λογιζόμενος, τὴν πονηρὰν ἐπιθυμίαν ἔκβαλε τῶν χρημάτων. Οὐδὲ γὰρ τοῦτο ἔχοις ἂν εἰπεῖν, ὅτι τὰ μὲν παρόντα δίδωσι, τῶν δὲ μελλόντων ἀποστερεῖ καίτοι καὶ εἰ τοῦτο ἦν, ἐσχάτη τοῦτο κόλασις καὶ τιμωρία. Νῦν δὲ οὐδὲ τοῦτο ἔνι. Μετὰ γὰρ τῆς γεέννης καὶ πρὸ τῆς γεέννης ἐκείνης, καὶ ἐνταῦθα εἰς χαλεπωτέραν σε ἐμβάλλει κόλασιν. Καὶ γὰρ οἰκίας πολλὰς ἡ ἐπιθυμία αὕτη ἀνέτρεψε, καὶ χαλεποὺς πολέμους ἀνερρίπισε, καὶ βιαίῳ θανάτῳ καταλῦσαι τὸν βίον κατηνάγκασε· καὶ πρὸ τῶν κινδύνων δὲ τούτων τῆς ψυχῆς λυμαίνεται τὴν εὐγένειαν· καὶ δειλὸν καὶ ἄνανδρον καὶ θρασὺν καὶ ψεύστην καὶ συκοφάντην καὶ ἅρ-

καὶ εἴμεθα ἄνθρωποι, νὰ πετάξωμεν, παρὰ μὲ τὴν προσθήκην τοῦ ἐπὶ πλέον νὰ σταματήσωμεν τὴν σφοδρὰν αὐτῆν ἐπιθυμίαν. Διότι ὅταν εἶναι κατορθωτὰ αὐτὰ ποὺ ἐπιθυμοῦμεν, εἶναι δυνατὸν νὰ παρηγορηθῇ κανεὶς καὶ μὲ τὴν ἀπόλαυσιν, ὅταν ὅμως εἶναι ἀκατόρθωτα, μία πρέπει νὰ εἶναι τότε ἡ φροντίς μας, πῶς ν' ἀπομακρυνθῶμεν ἀπὸ αὐτὴν τὴν ἐπιθυμίαν μας, διότι δὲν εἶναι δυνατὸν κατ' ἄλλον τρόπον νὰ ξανακερδίσωμεν τὴν ψυχήν μας. Ὥστε λοιπὸν διὰ νὰ μὴ στενοχωρούμεθα διὰ περιττὰ πράγματα, ἀφοῦ ἀποβάλωμεν τὴν σφοδρὰν ἐπιθυμίαν διὰ τὰ χρήματα, ποὺ συνεχῶς μᾶς λυπεῖ καὶ οὐδέποτε ἀνέχεται νὰ σταματήσῃ, ἂς στραφῶμεν πρὸς ἄλλην, ποὺ μᾶς κάνει μακαρίους καὶ εἶναι πολὺ εὔκολος, καὶ ἂς ἐπιθυμήσωμεν τοὺς θησαυροὺς τῶν οὐρανῶν. Διότι πρὸς τὴν κατεύθυνσιν αὐτὴν δὲν ὑπάρχει οὔτε κόπος τόσον μεγάλος, τὸ δὲ κέρδος εἶναι ἀπερίγραπτον, καὶ δὲν εἶναι δυνατὸν ν' ἀποτύχῃ ἐκεῖνος ποὺ κατὰ κάποιον τρόπον ἐπαγρυπνεῖ, φροντίζει καὶ περιφρονεῖ τὰ παρόντα· ἐνῷ ἀντιθέτως αὐτὸς ποὺ εἶναι δοῦλος τῶν ὑλικῶν πραγμάτων καὶ ἔχει δώσει ἐξ ὁλοκλήρου τὸν ἑαυτόν του εἰς αὐτὰ ἅπαξ διὰ παντός, ὁπωσδήποτε αὐτὸς θ' ἀναγκασθῇ κάποτε νὰ τ' ἀποχωρισθῇ.

4. Ἀναλογιζόμενος λοιπὸν ὅλα αὐτά, βγάλε ἀπὸ μέσα σου τὴν πονηρὰν ἐπιθυμίαν τῶν χρημάτων. Βέβαια οὔτε καὶ αὐτὸ ἠμπορεῖς νὰ μοῦ εἰπῇς, ὅτι σοῦ δίδει μὲν αὐτὴ τὰ παρόντα, ἀλλ' ὅμως σοῦ στερεῖ τὰ μέλλοντα· καὶ ἂν ἀκόμη βέβαια συνέβαινεν αὐτό, θὰ ἦτο χειροτέρα κόλασις καὶ τιμωρία. Τώρα ὅμως οὔτε αὐτὸ εἶναι δυνατόν. Διότι μαζὶ μὲ τὴν γέενναν καὶ πρὶν ἀπὸ τὴν γέενναν ἐκείνην, καὶ εἰς τὴν ἐδῶ ζωὴν σοῦ γίνεται πρόξενος χειροτέρας κολάσεως. Καθ' ὅσον ἡ ἐπιθυμία αὐτὴ πολλὰς οἰκίας κατέστρεψε καὶ φοβεροὺς πολέμους ὑπεκίνησε καὶ ὠδήγησε κατ' ἀνάγκην τὴν ζωὴν εἰς βίαιον θάνατον· καὶ πρὶν ἀπὸ τοὺς κινδύνους δὲ αὐτοὺς καταστρέφει τὴν εὐγένειαν τῆς ψυχῆς, καὶ κατέστησε πολλὰς φοράς, αὐτὸν ποὺ διακατέχεται ἀπὸ αὐτήν,

παγα καὶ πλεονέκτην καὶ τὰ ἔσχατα πάντα τὸν ἔχοντα πολλάκις εἰργάσατο.

Ἀλλ' ἴσως τὴν λαμπηδόνα τοῦ ἀργυρίου καὶ τῶν οἰκετῶν τὸ πλῆθος καὶ τῶν οἰκοδομημάτων τὸ κάλλος καὶ τὴν θεραπείαν τὴν ἐπ' ἀγορᾶς ὁρῶν καταγοητεύσῃ; Τίς οὖν ἂν γένοιτο θεραπεία τῷ πονηρῷ τραύματι τούτῳ; Ἂν ἐννοήσῃς, πῶς σοι ταῦτα τὴν ψυχὴν διατίθησι· πῶς σκοτεινὴν καὶ ἔρημον καὶ αἰσχρὰν αὐτὴν κατασκευάζει καὶ δυσειδῆ· ἂν λογίσῃ μεθ' ὅσων ταῦτα ἐκτήθη κακῶν, μεθ' ὅσων φυλάττεται πόνων, μεθ' ὅσων κινδύνων· μᾶλλον δὲ οὐδὲ φυλάττεται μέχρι τέλους, ἀλλ' ὅταν ἁπάντων διαφύγῃ τὰς λαβάς, ὁ θάνατος ἐπελθὼν ταῦτα μὲν εἰς τὰς τῶν σῶν ἐχθρῶν πολλάκις ἐξήγαγε χεῖρας, σὲ δὲ ἔρημον λαβὼν ἅπεισιν, οὐδὲν τούτων ἐπισυρόμενον, ἀλλ' ἢ τὰ τραύματα καὶ τὰ ἕλκη μόνον, ἅπερ ἐκ τούτων λαβοῦσα ἅπεισιν ἡ ψυχή.

Ὅταν οὖν ἴδῃς τινὰ λάμποντα ἔξωθεν ἀπὸ τῶν ἱματίων καὶ τῆς πολλῆς δορυφορίας, ἀνάπτυξον αὐτοῦ τὸ συνειδός, καὶ πολλὴν εὑρήσεις τὴν ἀράχνην ἔνδον, καὶ πολλὴν τὴν κόνιν ὄψει. Ἐννόησον τὸν Παῦλον, τὸν Πέτρον· ἐννόησον τὸν Ἰωάννην, τὸν Ἠλίαν· μᾶλλον δὲ αὐτὸν Υἱὸν τοῦ Θεοῦ, τὸν οὐκ ἔχοντα ποῦ τὴν κεφαλὴν κλῖναι. Ἐκείνου ζηλωτὴς γενοῦ, καὶ τῶν ἐκείνου βούλων, καὶ τὸν ἄφατον τούτων φαντάζου πλοῦτον. Εἰ δὲ μικρὸν διαβλέψας ἐκ τούτων σκοτωθείης πάλιν, καθάπερ ἔν τινι ναυαγίῳ καταιγίδος ἐπελθούσης, ἄκουσον τῆς ἀποφάσεως τοῦ Χριστοῦ τῆς λεγούσης, ὅτι ἀδύνατον πλούσιον εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. Καὶ πρὸς τὴν ἀπόφασιν ταύτην θὲς τὰ ὄρη καὶ τὴν γῆν καὶ τὴν θάλασσαν, καὶ πάντα, εἰ βούλει, τῷ λόγῳ ποίησον εἶναι

δειλόν, ἄνανδρον, θρασύν, ψεύστην, συκοφάντην, ἅρπαγα, πλεονέκτην καὶ ὅ,τιδήποτε ἄλλο χειρότερον.

Ἀλλὰ μήπως καταγοητεύεσαι, ὅταν βλέπῃς τὴν λάμψιν τῶν χρημάτων καὶ τὸ πλῆθος τῶν ὑπηρετῶν καὶ τὸ κάλλος τῶν οἰκοδομημάτων καὶ τὰς τιμὰς ὅταν διέρχεσαι ἀπὸ τὴν ἀγοράν; Ποία λοιπὸν θεραπεία θὰ ἠμπορέσῃ νὰ εὑρεθῇ διὰ τὸ πονηρὸν αὐτὸ τραῦμα; Ἂν σκεφθῇς, πῶς καταντοῦν ὅλα αὐτὰ τὴν ψυχήν σου· πῶς τὴν καθιστοῦν σκοτεινήν, ἔρημον, αἰσχρὰν καὶ ἄσχημον· ἂν ἀναλογισθῇς μὲ τὴν βοήθειαν πόσων κακῶν ἀπεκτήθησαν αὐτά, μὲ πόσους κόπους φυλάσσονται μέχρι τέλους, ἀλλὰ καὶ ὅταν ἀκόμη ἀποφύγῃ κανεὶς ὅλων τὰς ἁρπαγάς, ἐλθὼν ὁ θάνατος, πολλὲς φορὲς ὁδηγεῖ αὐτὰ εἰς τὰ χέρια τῶν ἐχθρῶν σου, ἐσένα δὲ σὲ παίρνει γυμνὸν ἀπὸ ὅλα καὶ φεύγει, χωρὶς νὰ σύρῃς ἀπὸ ὀπίσω σου τίποτε ἀπὸ ὅλα αὐτά, παρὰ μόνον τὰ τραύματα καὶ τὰς πληγάς, τὰ ὁποῖα ἐπῆρεν ἀπὸ ὅλα αὐτὰ ἡ ψυχὴ καὶ φεύγει.

Ὅταν λοιπὸν ἰδῇς κάποιον νὰ λάμπῃ ἐξωτερικὰ ἀπὸ τὰ ἐνδύματά του καὶ τὴν μεγάλην ἀκολουθίαν του, ἀνάλυσε λεπτομερῶς τὴν συνείδησίν του, καὶ θὰ εὕρῃς μέσα της πολλὴν πονηρίαν καὶ θὰ ἰδῇς νὰ ὑπάρχῃ μέσα της πολλὴ σκόνη. Ἀναλονίσου τὸν Παῦλον, τὸν Πέτρον· σκέψου τὸν Ἰωάννην, τὸν Ἠλίαν· ἢ καλύτερα σκέψου τὸν Υἱὸν τοῦ Θεοῦ, ποὺ δὲν εἶχε ποῦ νὰ κλίνῃ τὴν κεφαλήν του. Γίνε μιμητὴς ἐκείνου καὶ τῶν δούλων ἐκείνου καὶ νὰ φέρῃς εἰς τὴν φαντασίαν σου τὸν ἀπερίγραπτον πλοῦτον αὐτῶν. Ἐὰν ὅμως διὰ μίαν στιγμὴν ρίψῃς τὸ βλέμμα σου πρὸς τὰ χρήματα καὶ σκοτισθῇ καὶ πάλιν τὸ μυαλόν σου, ὅπως ἀκριβῶς εἰς τὴν περίπτωσιν κάποιου ναυαγίου τὴν στιγμὴν ποὺ ἔρχεται ἡ καταιγίς, ἄκουσε τὴν ἀπόφασιν τοῦ Χριστοῦ ποὺ λέγει, ὅτι εἶναι ἀδύνατον ὁ πλούσιος νὰ εἰσέλθῃ εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. Καὶ ἀπέναντι ἀπὸ τὴν ἀπόφασιν αὐτὴν θέσε τὰ ὄρη, τὴν γῆν καὶ τὴν θάλασσαν καὶ κάνε τα ὅλα αὐτά, ἐὰν θέλῃς, μὲ τὴν σκέψιν σου χρυσόν· θὰ δια-

χρυσόν· οὐδὲν γὰρ ἴσον ὄψει τῆς ζημίας τῆς ἐκεῖθέν σοι γινομένης.

Καὶ σὺ μὲν πλέθρων γῆς τόσων καὶ τόσων μέμνησαι, καὶ οἰκιῶν δέκα καὶ εἴκοσιν ἢ καὶ πλειόνων, καὶ βαλανείων τοσούτων, καὶ ἀνδραπόδων χιλίων ἢ δὶς τοσούτων, καὶ ὀχημάτων ἀργυρενδέτων καὶ χρυσοπάστων, ἐγὼ δὲ ἐκεῖνό φημι· εἰ τῶν πλουτούντων ὑμῶν ἕκαστος, τὴν πενίαν ταύτην ἀφεὶς (πενία γὰρ ταῦτα πρὸς ὃ μέλλω λέγειν), ὁλόκληρον ἐκέκτητο κόσμον, καὶ ἕκαστος αὐτῶν τοσούτους εἶχεν ἀνθρώπους, ὅσοι νῦν εἰσι παντὸς τοῦ γῆς καὶ θαλάττης, καὶ οἰκουμένην ἕκαστος, καὶ γῆν καὶ θάλατταν, καὶ παντοῦ οἰκοδομήματα, καὶ πόλεις καὶ ἔθνη, καὶ παντόθεν ἀντὶ ὕδατος, ἀντὶ πηγῶν αὐτῷ χρυσίον ἐπέρρει, τριῶν ὀβολῶν οὐκ ἂν ἔφην ἀξίους εἶναι τοὺς οὕτω πλουτοῦντας, τῆς βασιλείας ἐκπεσόντας. Εἰ γὰρ νῦν χρημάτων τῶν ἀπολλυμένων ἐφιέμενοι, ὅταν μὴ ἐπιτύχωσι, βασανίζονται, εἰ λάβοιεν αἴσθησιν τῶν ἀπορρήτων ἀγαθῶν ἐκείνων, τί λοιπὸν ἀρκέσει εἰς παραμυθίαν αὐτοῖς; Οὐκ ἔστιν οὐδέν.

Μὴ τοίνυν μοι λέγε τὴν τῶν χρημάτων περιουσίαν, ἀλλ' ἐννόει τὴν ζημίαν ὅσην ἐκ ταύτης οἱ ταύτης ὑπομένουσιν ἐρασταί, ἀντὶ τούτων τοὺς οὐρανοὺς ἀπολλύντες, καὶ ταὐτὸν πάσχοντες, οἷον ἂν εἴ τις τῆς ἐν βασιλείοις μεγίστης τιμῆς ἐκπεσών, κόπρου θημωνίαν ἔχων, μέγα ἐπὶ ταύτῃ φρονοίη. Οὐδὲν γὰρ ἐκείνης ἡ τῶν χρημάτων διαφέρει ὡρεία· μᾶλλον δὲ καὶ βελτίων ἐκείνη. Ἡ μὲν γὰρ καὶ πρὸς γεωργίαν ἐπιτήδειος, καὶ πρὸς βαλανείου ἔκκαυσιν, καὶ πρὸς ἄλλα

12. Βαλανεῖον· δημόσιον ἢ ἰδιωτικὸν κατάστημα λουτρώνων, ἤτοι τὸ λουτρόν.

πιστώσῃς λοιπὸν τότε ὅτι τίποτε δὲν ἠμπορεῖ νὰ ἐξισωθῇ μὲ τὴν ζημίαν ποὺ προέρχεται ἀπὸ αὐτά.

Καὶ σὺ μὲν σκέπτεσαι τόσα καὶ τόσα στρέμματα γῆς, καὶ τὰς δέκα ἢ εἴκοσι οἰκίας ἢ καὶ περισσοτέρας, καὶ τὰ τόσα πολλὰ βαλανεῖα[12], καὶ τοὺς χιλίους δούλους ἢ τὰς δύο χιλιάδας αὐτῶν, καὶ τὰ ἀργυροστόλιστα καὶ χρυσοστόλιστα ὀχήματα, ἐγὼ ὅμως σοῦ λέγω ἐκεῖνο· Ἐὰν ὁ καθένας ἀπὸ σᾶς τοὺς πλουσίους, ἐγκατέλειπεν αὐτὴν τὴν πτωχείαν (διότι αὐτὰ εἶναι πτωχεία ἐν συγκρίσει μὲ ἐκεῖνα ποὺ πρόκειται νὰ σᾶς εἰπῶ), καὶ ἀπέκτα ὁλόκληρον κόσμον καὶ ὁ καθένας ἀπὸ αὐτοὺς εἶχε τόσους πολλοὺς ἀνθρώπους, ὅσοι τώρα κατοικοῦν εἰς ὅλα τὰ μέρη τῆς γῆς καὶ τῆς θαλάσσης, καὶ εἶχεν ὁ καθένας ὅλην τὴν οἰκουμένην, καὶ τὴν γῆν καὶ τὴν θάλασσαν, καὶ παντοῦ εἶχεν οἰκοδομήματα καὶ πόλεις καὶ ἔθνη, καὶ ἀπὸ παντοῦ ἔρρε πρὸς χάριν του ἀντὶ ὕδατος, ἀντὶ πηγῶν, χρυσός, δὲν θὰ ἠμποροῦσα νὰ εἰπῶ ὅτι αὐτοὶ ποὺ ἔχουν αὐτὰ τὰ τόσα πλούτη ὅτι ἀξίζουν τρεῖς ὀβολούς, ἐὰν ἤθελον ἀποκλεισθῇ τῆς βασιλείας τῶν οὐρανῶν· Διότι ἐὰν τώρα, ἐπιθυμοῦντες ν' ἀποκτήσουν χρήματα, βασανίζονται ὅταν δὲν ἐπιτύχουν εἰς τὴν προσπάθειάν των αὐτήν, ἐὰν ἤθελον λάβει γνῶσιν τῶν ἀπορρήτων ἐκείνων ἀγαθῶν, τί θὰ ἀρκοῦσε τότε διὰ νὰ τοὺς παρηγορήσῃ; Δὲν ὑπάρχει τίποτε.

Μὴ μοῦ προβάλλῃς λοιπὸν τὴν ἀφθονίαν τῶν χρημάτων, ἀλλὰ νὰ σκέπεσαι πόσον μεγάλη εἶναι ἡ ζημία ποὺ ὑφίστανται οἱ ἐρασταὶ αὐτῆς, οἱ ὁποῖοι ἀντὶ τούτων χάνουν τὴν βασιλείαν τῶν οὐρανῶν, καὶ παθαίνουν τὸ ἴδιο πρᾶγμα ποὺ παθαίνει κάποιος, ἐὰν ἤθελε συμβῇ νὰ ἐκπέσῃ ἀπὸ τὴν τιμητικήν του θέσιν εἰς τὰ ἀνάκτορα, ποὺ θεωρεῖ πολὺ σπουδαῖον πρᾶγμα τὴν μίαν σωρὸν κοπριᾶς ποὺ ἔχει. Καθ' ὅσον ὡς πρὸς τίποτε δὲν διαφέρει ἡ συγκέντρωσις τῶν χρημάτων ἀπὸ ἐκείνην, μᾶλλον δὲ εἶναι καὶ καλυτέρα. Διότι ἡ μὲν κοπριὰ εἶναι χρήσιμος καὶ διὰ τὴν γεωργίαν καὶ διὰ τὴν θέρμανσιν τοῦ λουτροῦ καὶ δι' ἄλλα παρόμοια, ὁ κρυμ-

τοιαῦτα, ὁ δὲ κατορωρυγμένος χρυσὸς πρὸς οὐδὲν τούτων. Καὶ εἴθε μόνον ἄχρηστος ἦν· νυνὶ δὲ καὶ πολλὰς ἀνάπτει τῷ ἔχοντι τὰς καμίνους, εἰ μὴ εἰς δέον αὐτῷ χρήσαιτο· τὰ γοῦν μυρία κακὰ ἐντεῦθεν φύεται. Διὰ τοῦτο οἱ μὲν ἔξωθεν ἀκρόπολιν κακῶν τὴν φιλαργυρίαν ἐκάλουν· ὁ δὲ μακάριος Παῦλος πολλῷ βέλτιον καὶ ἐμφαντικώτερον, ρίζαν αὐτὴν τῶν κακῶν ἁπάντων εἰπών.

Ταῦτ' οὖν ἅπαντα ἐννοοῦντες, μάθωμεν ζηλοῦν τὰ ἄξια ζήλου· μὴ τὰς λαμπρὰς οἰκοδομάς, μηδὲ τοὺς πολυτελεῖς ἀγρούς, ἀλλὰ τοὺς πολλὴν παρρησίαν πρὸς τὸν Θεὸν ἔχοντας ἄνδρας, τοὺς ἐν οὐρανῷ πλουτοῦντας, τοὺς τῶν θησαυρῶν ἐκείνων κυρίους, τοὺς ὄντως πλουσίους, τοὺς διὰ Χριστὸν πένητας, ἵνα τῶν αἰωνίων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

μένος ὅμως μέσα εἰς τὴν γῆν χρυσὸς δὲν εἶναι χρήσιμος διὰ κανένα ἀπὸ αὐτά. Καὶ μακάρι νὰ ἦτο μόνον ἄχρηστος· ὅμως τώρα ἀνάπτει καὶ πολλὰς καμίνους εἰς ἐκεῖνον ποὺ τὸν ἔχει, ἐὰν συμβῇ νὰ μὴ τὸν χρησιμοποιῇ ὅπως πρέπει· διότι τὰ περισσότερα κακὰ προέρχονται ἀπὸ αὐτόν. Διὰ τοῦτο οἱ μὲν εἰδωλολάτραι ἀπεκάλουν τὴν φιλαργυρίαν ἀκρόπολιν τῶν κακῶν, ὁ δὲ μακάριος Παῦλος τὴν ἐχαρακτήρισε κατὰ τρόπον καλύτερον καὶ παραστατικώτερον, ὀνομάσας αὐτὴν ρίζαν ὅλων τῶν κακῶν.

Ἔχοντες λοιπὸν ὑπ᾽ ὄψιν ὅλα αὐτά, ἂς μάθωμεν νὰ εἴμεθα μιμηταὶ τῶν πραγμάτων ἐκείνων ποὺ εἶναι ἄξια μιμήσεως. Ὄχι τὰς λαμπρὰς οἰκοδομάς, οὔτε τοὺς πλουσίους ἀγρούς, ἀλλὰ τοὺς ἄνδρας ἐκείνους ποὺ ἔχουν πολλὴν παρρησίαν ἐνώπιον τοῦ Θεοῦ, ἐκείνους ποὺ εἶναι πλούσιοι εἰς τὸν οὐρανόν, τοὺς κυρίους τῶν θησαυρῶν ἐκείνων, τοὺς πραγματικὰ πλουσίους, τοὺς πτωχοὺς χάριν τοῦ ὀνόματος τοῦ Χριστοῦ, ὥστε καὶ τῶν αἰωνίων ἀγαθῶν νὰ ἐπιτύχωμεν μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μετὰ τοῦ ὁποίου εἰς τὸν Πατέρα μαζὶ μὲ τὸ ἅγιον Πνεῦμα ἀνήκει δόξα, δύναμις καὶ τιμή, τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΞΔ΄

Ματθ. 19, 27 - 20, 16

«Τότε ἀποκριθεὶς ὁ Πέτρος εἶπεν αὐτῷ· Ἰδοὺ ἡμεῖς ἀφήκαμεν πάντα καὶ ἠκολουθήσαμέν σοι· τί ἄρα ἔσται ἡμῖν;».

1. Ποία πάντα, ὦ μακάριε Πέτρε; τὸν κάλαμον; τὸ δίκτυον; τὸ πλοῖον; τὴν τέχνην; Ταῦτά μοι πάντα λέγεις; Ναί, φησίν. Ἀλλ' οὐ διὰ φιλοτιμίαν ταῦτα λέγω, ἀλλ' ἵνα διὰ τῆς ἐρωτήσεως ταύτης τὸν τῶν πενήτων εἰσαγάγω δῆμον. Ἐπειδὴ γὰρ εἶπεν ὁ Κύριος, «εἰ θέλεις τέλειος εἶναι, πώλησόν σου τὰ ὑπάρχοντα καὶ δὸς πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανοῖς», ἵνα μὴ λέγῃ τις τῶν πενήτων· Τί οὖν; ἐὰν μὴ ἔχω ὑπάρχοντα, οὐ δύναμαι τέλειος εἶναι; ἐρωτᾷ Πέτρος, ἵνα σὺ μάθῃς ὁ πένης, ὅτι οὐδὲν ἐντεῦθεν ἠλάττωσαι· ἐρωτᾷ Πέτρος, ἵνα μὴ παρὰ Πέτρου μαθὼν ἀμφιβάλλῃς (καὶ γὰρ ἀτελὴς ἦν ἔτι, καὶ Πνεύματος ἔρημος), ἀλλὰ παρὰ τοῦ τοῦ Πέτρου διδασκάλου δεξάμενος τὴν ἀπόφασιν θαρρῇς. Καθάπερ γὰρ ἡμεῖς ποιοῦμεν· οἰκειούμεθα πράγματα πολλάκις ὑπὲρ ἀλλοτρίων διαλεγόμενοι· οὕτω καὶ ὁ ἀπόστολος ἐποίησεν, ὑπὲρ τῆς οἰκουμένης ἁπάσης τὴν πεῦσιν αὐτῷ ταύτην προσαγαγών. Ἐπεὶ ὅτι γε τὰ ἑαυτοῦ ᾔδει σαφῶς, δῆλον ἀπὸ τῶν ἔμπροσθεν εἰρημένων·

---

1. Ματθ. 19, 21.

ΟΜΙΛΙΑ ΞΔ΄
Ματθ. 19, 27 - 20, 16

«Ἀπεκρίθη τότε ὁ Πέτρος καὶ τοῦ εἶπε· Νά, ἡμεῖς τὰ ἀφήσαμεν ὅλα καὶ σὲ ἠκολουθήσαμεν· ποία λοιπὸν θὰ εἶναι ἡ ἀμοιβή μας;».

1. Ποῖα ὅλα, μακάριε Πέτρε; τὸν κάλαμον; τὸ δίκτυον, τὸ πλοῖον, τὴν τέχνην; Αὐτὰ εἶναι τὰ ὅλα ποὺ μοῦ λέγεις; Ναί, λέγει. Ὅμως δὲν τὰ λέγω αὐτὰ ἀπὸ φιλοδοξίαν, ἀλλὰ διὰ νὰ παρουσιάσω μὲ τὴν ἐρώτησιν αὐτὴν τὸ πλῆθος τῶν πτωχῶν ἀνθρώπων. Διότι, ἐπειδὴ ὁ Κύριος εἶπεν, «Ἐὰν θέλῃς νὰ εἶσαι τέλειος, πώλησε τὰ ὑπάρχοντά σου καὶ μοίρασέ τα εἰς τοὺς πτωχοὺς καὶ θὰ ἔχῃς θησαυρὸν εἰς τοὺς οὐρανούς»[1], διὰ νὰ μὴ λέγῃ κάποιος ἀπὸ τοὺς πτωχούς· Τί λοιπόν; ἐὰν δὲν ἔχω ὑπάρχοντα, δὲν ἠμπορῶ νὰ γίνω τέλειος;' ἐρωτᾷ ὁ Πέτρος, διὰ νὰ μάθῃς σὺ ὁ πτωχός, ὅτι δὲν ἔχεις νὰ ζημιωθῇς εἰς τίποτε ἀπὸ τὴν πτωχείαν σου αὐτήν· ἐρωτᾷ ὁ Πέτρος, διὰ νὰ μὴ ἔχῃς καμμίαν ἀμφιβολίαν, πληροφορούμενος τοῦτο ἀπὸ τὸν Πέτρον (καθ' ὅσον ἦτο ἀκόμη πνευματικὰ ἀτελὴς καὶ δὲν εἶχε λάβει τὴν χάριν τοῦ Πνεύματος), ἀλλὰ δεχόμενος τὴν ἀπόφασιν τοῦ διδασκάλου τοῦ Πέτρου νὰ πάρῃς θάρρος. Διότι ἀκριβῶς τὸ ἴδιον κάμνομεν καὶ ἡμεῖς· πολλὰς φορὰς δηλαδή, ὁμιλοῦντες διὰ λογαριασμὸν ἄλλων παρουσιάζομεν ὡς ἰδικά μας τὰ ὑπὸ συζήτησιν πράγματα· τὸ ἴδιο ἔκανε καὶ ὁ ἀπόστολος, ὁ ὁποῖος ἔκανε τὴν ἐρώτησιν αὐτὴν εἰς τὸν Κύριον ἐξ ὀνόματος ὁλοκλήρου τῆς οἰκουμένης. Διότι τὸ ὅτι βέβαια εἶχε σαφῆ γνῶσιν ὅλων τῶν σχετικῶν μὲ αὐτόν, γίνεται φανερὸν ἀπὸ τὰ ὅσα ἐλέχθησαν προηγουμένως. Αὐτὸς δηλαδὴ ποὺ ἔλαβεν ἀπὸ ἐδῶ ἀκόμη τὰ κλειδιὰ τῶν οὐρανῶν, ὁπωσδήποτε θὰ

ὁ γὰρ τὰς κλεῖς τῶν οὐρανῶν ἐντεῦθεν ἤδη δεξάμενος, πολλῷ μᾶλλον ὑπὲρ τῶν ἐκεῖ θαρρεῖν εἶχε.

Σκόπει δὲ καὶ πῶς ἀκριβῶς ἀποκρίνεται, ὡς ὁ Χριστὸς ἐπεζήτησε. Καὶ γὰρ αὐτὸς παρὰ τοῦ πλουσίου δύο ταῦτα ἤτησε· δοῦναι πτωχοῖς τὰ ὑπάρχοντα, καὶ ἀκολουθεῖν. Διὰ τοῦτο καὶ αὐτὸς τὰ δύο ταῦτα τίθησι, τὸ ἀφεῖναι καὶ ἀκολουθῆσαι· «ἰδοὺ γὰρ ἡμεῖς ἀφήκαμεν πάντα», φησί, «καὶ ἠκολουθήσαμέν σοι». Τό τε γὰρ ἀφεῖναι διὰ τὸ ἀκολουθῆσαι γέγονεν, ἥ τε ἀκολούθησις ἐκ τοῦ ἀφεῖναι εὐκολωτέρα κατέστη, καὶ ὑπὲρ τοῦ ἀφεῖναι θαρρεῖν καὶ χαίρειν αὐτοὺς παρεσκεύαζε. Τί οὖν αὐτός; «Ἀμὴν λέγω ὑμῖν, ὅτι ὑμεῖς οἱ ἀκολουθήσαντές μοι, ἐν τῇ παλιγγενεσίᾳ, ὅταν καθίσῃ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐπὶ θρόνου δόξης αὐτοῦ, καθίσεσθε καὶ ὑμεῖς ἐπὶ δώδεκα θρόνους, κρίνοντες τὰς δέκα φυλὰς τοῦ Ἰσραήλ».

Τί οὖν; καὶ Ἰούδας, φησί, καθεδεῖται; Οὐδαμῶς. Πῶς οὖν φησίν, «ὑμεῖς ἐπὶ δώδεκα θρόνους καθεδεῖσθε»; πῶς τὰ τῆς ὑποσχέσεως πληρωθήσεται; Ἄκουσον πῶς καὶ τίνι λόγῳ. Νόμος ἐστὶ παρὰ τοῦ Θεοῦ κείμενος, διὰ Ἱερεμίου τοῦ προφήτου τοῖς Ἰουδαίοις ἀναγνωσθείς, καὶ ταῦτα λέγων· «Πέρας λαλήσω ἐπὶ ἔθνος καὶ βασιλείαν, τοῦ ἐξαίρειν καὶ ἀπολλύειν· καὶ ἐὰν ἐπιστρέψῃ τὸ ἔθνος ἐκεῖνο ἀπὸ τῶν κακῶν αὐτῶν, μετανοήσω κἀγὼ ἀπὸ τῶν κακῶν, ὧν ἐλογισάμην ποιῆσαι αὐτοῖς. Καὶ πέρας λαλήσω ἐπὶ ἔθνος καὶ βασιλείαν, τοῦ ἀνοικοδομεῖν καὶ καταφυτεύειν· καὶ ἐὰν ποιήσωσι τὸ πονηρὸν ἐνώπιόν μου, τοῦ μὴ ἀκούειν τῆς φωνῆς μου, μετανοήσω κἀγὼ περὶ τῶν ἀγαθῶν, ὧν ἐλάλησα ποιῆσαι αὐτοῖς». Τὸ αὐτὸ γὰρ τοῦτο καὶ ἐπὶ τῶν χρηστῶν διά-

2. Ἱερ. 18, 7-10.

εἶχε πολὺ μεγαλυτέραν ἐλπίδα διὰ νὰ λάβῃ καὶ τὰ ἐκεῖ ἀγαθά.

Πρόσεχε δὲ τὴν ἀκριβῆ ἐρώτησιν τοῦ Πέτρου εἰς αὐτὸ ποὺ ἐζήτησεν ὁ Χριστός. Καθ' ὅσον ὁ Κύριος ἐζήτησεν ἀπὸ τὸν πλούσιον δύο πράγματα· νὰ μοιράσῃ τὰ ὑπάρχοντά του εἰς τοὺς πτωχοὺς καὶ νὰ τὸν ἀκολουθήσῃ. Διὰ τοῦτο καὶ ὁ Πέτρος προβάλλει αὐτὰ τὰ δύο, τὸ ὅτι τὰ ἄφησεν ὅλα καὶ τὸ ὅτι τὸν ἠκολούθησε· διότι λέγει· «Νὰ ἡμεῖς τὰ ἀφήσαμεν ὅλα καὶ σὲ ἠκολουθήσαμεν». Διότι καὶ ἡ ἐγκατάλειψις τῶν πάντων ἔγινε διὰ νὰ τὸν ἀκολουθήσουν, καὶ ἡ ἀκολούθησις ἔγινεν εὐκολωτέρα ἐξ αἰτίας τῆς ἐγκαταλείψεως τῶν πάντων καὶ τοὺς προετοίμαζε νὰ ἔχουν θάρρος καὶ νὰ χαίρωνται διὰ τὸ ὅτι τὰ ἐγκατέλειψαν ὅλα. Τί ἀπαντᾷ λοιπὸν ὁ Κύριος; «Ἀλήθεια σᾶς λέγω, ὅτι κατὰ τὴν ἀνακαίνισιν τῶν πάντων, ὅταν ὁ Υἱὸς τοῦ ἀνθρώπου θὰ καθήσῃ ἐπάνω εἰς τὸν θρόνον τῆς δόξης του, καὶ σεῖς ποὺ μὲ ἠκολουθήσατε θὰ καθήσετε ἐπάνω εἰς δώδεκα θρόνους καὶ θὰ κρίνετε τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ».

Τί λοιπόν; θὰ ἐρωτήσῃ κάποιος· καὶ ὁ Ἰούδας θὰ καθίσῃ ἐπάνω εἰς τὸν θρόνον; Ἀσφαλῶς ὄχι. Πῶς λοιπὸν τότε λέγει, «σεῖς θὰ καθήσετε ἐπάνω εἰς δώδεκα θρόνους»; πῶς θὰ ἐκπληρωθῇ ἡ ὑπόσχεσις αὐτή; Ἄκουσε πῶς καὶ μὲ ποῖον τρόπον θὰ γίνῃ αὐτό. Ὑπάρχει νόμος δοθεὶς ἀπὸ τὸν Θεόν, ποὺ ἀνεγνώσθη ἀπὸ τὸν προφήτην Ἱερεμίαν εἰς τοὺς Ἰουδαίους, ποὺ λέγει τὰ ἑξῆς· «Θὰ ὁμιλήσω διὰ τὸ τέλος τοῦ ἔθνους καὶ τὴν βασιλείαν, τὸ ὅτι δηλαδὴ θὰ τὰ ἐξαφανίσω καὶ θὰ τὰ καταστρέψω· καὶ ἐὰν θὰ ἐπιστρέψῃ τὸ ἔθνος ἐκεῖνο ἀπὸ τὰ κακὰ ποὺ διαπράττει, θ' ἀλλάξω καὶ ἐγὼ γνώμην διὰ τὰ κακὰ ποὺ ἐσκέφθην νὰ κάνω ἐναντίον των. Καὶ ἀκόμη θὰ ὁμιλήσω διὰ ἔθνος καὶ βασιλείαν τὸ ὁποῖον πρόκειται νὰ οἰκοδομήσω καὶ νὰ φυτεύσω· καὶ ἐὰν πράξουν πονηρὰ ἐνώπιόν μου, ὥστε νὰ ἀκούσουν τὴν φωνήν μου, θὰ ἀλλάξω καὶ ἐγὼ γνώμην διὰ τὰ καλὰ ποὺ εἶπα ὅτι θὰ τοὺς κάνω»[2]. Διότι, λέγει, διαφυλάσσω τὴν ἰδίαν μεταχείρισιν

φυλάττω ἔθος, φησί. Κἂν γὰρ εἴπω τοῦ ἀνοικοδομεῖν, ἀναξίους δὲ ἑαυτοὺς παράσχωσι τῆς ὑποσχέσεως, οὐκέτι ποιήσω. Ὅπερ γέγονεν ἐπὶ τοῦ ἀνθρώπου πλασθέντος. «Ὁ τρόμος γὰρ ὑμῶν», φησί, «καὶ ὁ φόβος ἔσται ἐπὶ τὰ θηρία», καὶ οὐκ ἐγένετο· ἀνάξιον γὰρ ἑαυτὸν τῆς ἀρχῆς ἀπέφηνεν· ὥσπερ οὖν καὶ Ἰούδας.

Ἵνα γὰρ μήτε ταῖς ἀποφάσεσι τῆς κολάσεως ἀπογνόντες τινὲς σκληρότεροι γένωνται, μήτε ταῖς τῶν χρηστῶν ὑποσχέσεσιν ἁπλῶς ῥαθυμότεροι κατασιῶσιν, ἀμφότερα ταῦτα ἰᾶται διὰ τοῦ προειρημένου, ταυτὶ λέγων· κἂν ἀπειλήσω, μὴ ἀπογνῷς· δύνασαι γὰρ μετανοῆσαι, καὶ λῦσαί μου τὴν ἀπόφασιν, ὡς Νινευῖται· κἂν ὑπόσχωμαί τι χρηστόν, μὴ ἀναπέσῃς διὰ τὴν ὑπόσχεσιν. Ἂν γὰρ ἀνάξιος φανῇς, οὐδέν σε ὠφελήσει τὸ ὑποσχέσθαι με, ἀλλὰ μᾶλλον καὶ τιμωρήσεται· ἐγὼ γὰρ ἀξίῳ ὄντι ὑπισχνοῦμαι. Διὰ τοῦτο καὶ τότε διαλεγόμενος τοῖς μαθηταῖς, οὐχ ἁπλῶς ἐπηγγείλατο· οὐδὲ γὰρ εἶπεν, ὑμεῖς, μόνον, ἀλλὰ προσέθηκεν, «οἱ ἀκολουθήσαντές μοι», ἵνα καὶ τὸν Ἰούδαν ἐκβάλῃ, καὶ τοὺς μετὰ ταῦτα ἐφελκύσηται. Οὔτε γὰρ πρὸς ἐκείνους εἴρηται μόνους, οὔτε πρὸς Ἰούδαν λοιπὸν ἀνάξιον γεγενημένον.

Τοῖς μὲν οὖν μαθηταῖς τὰ μέλλοντα ἐπηγγείλατο, λέγων, «καθίσεσθε ἐπὶ δώδεκα θρόνους», ἦσαν γὰρ ὑψηλότεροι λοιπόν, καὶ οὐδὲν τῶν παρόντων ἐζήτουν· τοῖς δὲ ἄλλοις καὶ τὰ ἐνταῦθα ὑπισχνεῖται. «Καὶ πᾶς», γάρ, φησίν, «ὅστις ἀφῆκεν ἀδελφοὺς ἢ ἀδελφὰς ἢ πατέρα ἢ μητέρα ἢ γυναῖκα ἢ τέκνα ἢ ἀγροὺς ἢ οἰκίαν, ἕνεκεν τοῦ ὀνόματός

3. Gen. 9, 2.

καὶ διὰ τοὺς ἀγαθούς. Καὶ ἂν ἀκόμη δηλαδὴ εἰπῶ ὅτι θὰ τοὺς ἀναστήσω εἰς ἔθνος μέγα, δὲν θὰ τηρήσω τὴν ὑπόσχεσίν μου, ἐὰν δὲν ἀποδειχθοῦν ἄξιοι τῆς ὑποσχέσεως ποὺ τοὺς ἔδωσα. Πρᾶγμα ποὺ συνέβη καὶ μὲ τὸν ἄνθρωπον ποὺ ἔπλασε. Διότι λέγει, «Θὰ σᾶς τρέμουν καὶ θὰ σᾶς φοβοῦνται τὰ θηρία»[3], ἀλλ' ὅμως δὲν συνέβη αὐτό, διότι ἀπέδειξε τὸν ἑαυτόν του ἀνάξιον αὐτῆς τῆς ὑποσχέσεως, ὅπως ἀκριβῶς βέβαια καὶ ὁ Ἰούδας.

Ὥστε λοιπὸν διὰ νὰ μὴν γίνουν ὡρισμένοι σκληρότεροι ἐξ αἰτίας τῆς ἀπογνώσεως τῶν διὰ τὴν ἀπόφασιν τῆς κολάσεως, οὔτε νὰ καταστοῦν ραθυμότεροι ἀρκούμενοι ἁπλῶς εἰς τὰς ἀγαθὰς ὑποσχέσεις, προλαμβάνει καὶ θεραπεύει καὶ τὰ δύο αὐτὰ μὲ αὐτὸ ποὺ προελέχθη, λέγων κατὰ κάποιον τρόπον τὸ ἑξῆς· Καὶ ἂν ἀκόμη σὲ ἀπειλήσω, μὴ ἀπελπισθῇς· διότι ἠμπορεῖς νὰ μετανοήσῃς καὶ νὰ ἀλλάξῃς τὴν ἀπόφασίν μου, ὅπως οἱ Νινευῖται· καὶ ἂν ἀκόμη σοῦ ὑπόσχομαι κάποιο ἀγαθόν, μὴ δείξῃς ἀδράνειαν ἐξ αἰτίας αὐτῆς τῆς ὑποσχέσεώς μου. Διότι ἐὰν φανῇς ἀνάξιος, δὲν θὰ σὲ ὠφελήσῃ εἰς τίποτε ἡ ὑπόσχεσίς μου, ἀλλὰ μᾶλλον καὶ θὰ σοῦ γίνῃ αἰτία νὰ τιμωρηθῇς· διότι ἐγὼ ὑπόσχομαι εἰς αὐτοὺς ποὺ εἶναι ἄξιοι. Διὰ τοῦτο καὶ τότε ὁμιλῶν πρὸς τοὺς μαθητάς του, δὲν τοὺς ὑπεσχέθη ἁπλῶς, οὔτε εἶπε σεῖς μόνον, ἀλλὰ προσέθεσε, «σεῖς ποὺ μὲ ἠκολουθήσατε», ὥστε καὶ τὸν Ἰούδαν ν' ἀποκλείσῃ ἀπὸ αὐτούς, καὶ νὰ προσελκύσῃ τοὺς μεταγενεστέρους ἀνθρώπους. Διότι οἱ λόγοι του δὲν ἀπηυθύνοντο μόνον πρὸς ἐκείνους, οὔτε πρὸς τὸν Ἰούδαν ποὺ ἀπεδείχθη εἰς τὴν συνέχειαν ἀνάξιος.

Εἰς μὲν λοιπὸν τοὺς μαθητάς του ὑπεσχέθη τὰ μελλοντικὰ ἀγαθά, λέγων, «θὰ καθήσετε εἰς δώδεκα θρόνους»; καθ' ὅσον πλέον εἶχον γίνει πνευματικώτεροι καὶ δὲν ἐζήτουν τίποτε ἀπὸ τὰ ἐπίγεια, ἐνῷ εἰς τοὺς ἄλλους ὑπόσχεται καὶ τὰ ἐπίγεια ἀγαθά. Διότι λέγει· «Καὶ ὁ καθένας ποὺ ἄφῃσεν ἀδελφοὺς ἢ ἀδελφὰς ἢ πατέρα ἢ μητέρα ἢ γυναῖκα ἢ τέκνα ἢ ἀγροὺς ἢ οἰκίαν χάριν τοῦ ὀνόματός μου, θὰ λάβῃ

μου, ἑκατονταπλασίονα λήψεται ἐν τῷ αἰῶνι τούτῳ, καὶ ζωὴν αἰώνιον κληρονομήσει». Ἵνα γὰρ μή τινες ἀκούσαντες τό, ὑμεῖς, ἐξαίρετον τῶν μαθητῶν τοῦτο εἶναι νομίσωσι (λέγω δὴ τὸ τῶν μεγίστων καὶ πρωτείων ἐν τοῖς μέλλουσιν ἀπολαύειν), ἐξέτεινε τὸν λόγον καὶ ἥπλωσε τὴν ὑποσχεσιν ἐπὶ τὴν γῆν ἅπασαν, καὶ ἀπὸ τῶν παρόντων καὶ τὰ μέλλοντα πιστοῦται. Καὶ τοῖς μαθηταῖς δὲ ἐν προοιμίοις, ὅτε ἀτελέστερον διέκειντο, ἀπὸ τῶν παρόντων διελέγετο. Ὅτε γὰρ εἵλκυσεν αὐτοὺς ἀπὸ τῆς θαλάσσης, καὶ τῆς τέχνης ἀπέστησε, καὶ ἀφεῖναι τὸ πλοῖον ἐκέλευσεν, οὐκ οὐρανῶν, οὐ θρόνων ἐμνημόνευσεν, ἀλλὰ τῶν ἐνταῦθα πραγμάτων, εἰπών· «ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων»· ἐπειδὴ δὲ ὑψηλοτέρους εἰργάσατο, τότε λοιπὸν καὶ περὶ τῶν ἐκεῖ διαλέγεται.

2. Τί δέ ἐστι, «κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ»; Τουτέστι, κατακρίνοντες. Οὐ γὰρ δικασταὶ μέλλουσι καθεδεῖσθαι· ἀλλ' ὥσπερ τὴν βασίλισσαν τοῦ νότου κατακρινεῖν τὴν γενεὰν ἐκείνην ἔφησε, καὶ οἱ Νινευῖται δὲ κατακρινοῦσιν αὐτούς· οὕτω δὴ καὶ οὗτοι. Διὰ τοῦτο οὐκ εἶπε, τὰ ἔθνη καὶ τὴν οἰκουμένην, ἀλλά, τὰς φυλὰς τοῦ Ἰσραήλ. Ἐπειδὴ γὰρ ἐν τοῖς αὐτοῖς ἦσαν τεθραμμένοι καὶ νόμοις καὶ ἔθεσι καὶ πολιτείᾳ οἵ τε Ἰουδαῖοι καὶ οἱ ἀπόστολοι, ὅταν λέγωσιν οἱ Ἰουδαῖοι, ὅτι διὰ τοῦτο οὐκ ἠδυνήθημεν πιστεῦσαι τῷ Χριστῷ, ὅτι ὁ νόμος ἐκώλυσε τὰ παραγγέλματα αὐτοῦ δέχεσθαι, τούτους εἰς μέσον παραγαγών, τοὺς τὸν αὐτὸν δεξαμένους νόμον καὶ πιστεύσαντας, κατακρινεῖ πάντας ἐκείνους· ὅπερ καὶ ἤδη ἔλεγε, «διὰ τοῦτο κριταὶ ὑμῶν αὐτοὶ ἔσονται».

Καὶ τί μέγα αὐτοῖς ἐπηγγείλατο, φησίν, εἰ ὅπερ ἔχουσιν

---

4. Ματθ. 4, 19.
5. Ματθ. 12, 42.
6. Ματθ. 12, 41.
7. Ματθ. 12, 27.

ἑκατονταπλάσια εἰς τὴν ἐδῶ ζωὴν καὶ θὰ κληρονομήσῃ καὶ τὴν αἰώνιον ζωήν». Διὰ νὰ μὴ νομίσουν δηλαδὴ ὡρισμένοι, ὅταν ἤκουσαν τὸ «σεῖς», ὅτι αὐτὸ ἀφοροῦσεν ἁπλῶς καὶ μόνον τοὺς μαθητάς του (ἐννοῶ δηλαδὴ τὸ ὅτι θὰ ἀπολαύσουν τὰ μέγιστα ἀγαθὰ καὶ τὰ πρωτεῖα εἰς τὴν μέλλουσαν ζωήν), ἐπεξέτεινε τὸν λόγον καὶ ἥπλωσε τὴν ὑπόσχεσίν του εἰς ὁλόκληρον τὴν γῆν, καὶ ἀπὸ τὰ παρόντα ἀγαθὰ ἐπιβεβαιώνει καὶ τὰ μέλλοντα. Καὶ τοὺς μαθητάς του δὲ εἰς τὴν ἀρχήν, ὅταν ἀκόμη ἦσαν πνευματικὰ ἀτελεῖς, τοὺς ὡμιλοῦσε μὲ παραδείγματα ἀπὸ τὴν παροῦσαν ζωήν. Ὅταν δηλαδὴ τοὺς ἐκάλεσεν ἀπὸ τὴν θάλασσαν καὶ τοὺς ἀπέσπασεν ἀπὸ τὴν τέχνην των καὶ τοὺς διέταξε νὰ ἐγκαταλείψουν τὸ πλοῖον, δὲν τοὺς ὡμίλησε διὰ οὐρανοὺς οὔτε διὰ θρόνους, ἀλλὰ τοὺς ὡμίλησε διὰ πράγματα τῆς ἐδῶ ζωῆς, λέγων, «θὰ σᾶς κάνω ἁλιεῖς ἀνθρώπων»[4]· ὅταν ὅμως τοὺς ἀνέβασε πνευματικά, τότε πλέον τοὺς ὁμιλεῖ καὶ διὰ τὰ πράγματα τῆς ἄλλης ζωῆς.

2. Τί σημαίνει ὅμως, «κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ»; Σημαίνει ὅτι θὰ τοὺς κατακρίνουν. Δὲν πρόκειται δηλαδὴ νὰ καθίσουν ὡσὰν δικασταί, ἀλλ᾽ ὅπως ἀκριβῶς εἶπεν, ὅτι ἡ βασίλισσα τοῦ νότου θὰ κατακρίνῃ τὴν γενεὰν ἐκείνην[5], καὶ οἱ Νινευῖται πάλιν ὅτι θὰ κατακρίνουν αὐτούς[6], ἔτσι λοιπὸν καὶ αὐτοί. Διὰ τοῦτο δὲν εἶπε, τὰ ἔθνη καὶ τὴν οἰκουμένην, ἀλλὰ τὰς φυλὰς τοῦ Ἰσραήλ. Ἐπειδὴ δηλαδὴ εἶχον ἀνατραφῆ μὲ τοὺς ἰδίους νόμους, τὰ ἔθιμα καὶ τὸ πολίτευμα καὶ οἱ Ἰουδαῖοι καὶ οἱ ἀπόστολοι, ὅταν οἱ Ἰουδαῖοι θὰ προβάλλουν ὡς ἐπιχείρημα, ὅτι διὰ τοῦτο δὲν ἠμπορέσαμεν νὰ πιστεύσωμεν εἰς τὸν Χριστόν, διὰ τὸ ὅτι ὁ νόμος μᾶς ἠμπόδισε νὰ δεχθῶμεν τὰ παραγγέλματα αὐτοῦ, θὰ παρουσιάσῃ αὐτοὺς εἰς τὸ μέσον, ποὺ ἐδέχθησαν τὸν ἴδιον νόμον καὶ ἐπίστευαν, καὶ θὰ κατακρίνῃ ὅλους ἐκείνους, πρᾶγμα ποὺ ἤδη τὸ εἶπεν εἰς ἄλλην περίπτωσιν ὅταν ἔλεγε· «διὰ τοῦτο αὐτοὶ θὰ γίνουν κριταί σας»[7].

Καὶ ποία εἶναι, θὰ εἰπῇ κάποιος, ἡ μεγάλη ὑπόσχεσις

οἱ Νινευῖται καὶ ἡ βασίλισσα τοῦ νότου, τοῦτο καὶ οὗτοι ἔξουσι; Μάλιστα μὲν καὶ ἄλλα ἔμπροσθεν αὐτοῖς πολλὰ ἐπηγγείλατο, καὶ μετὰ ταῦτα ὑπισχνεῖται· καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ ἔπαθλον. Ἄλλως δὲ καὶ ἐν τούτῳ παρῳνίξατό τι πλέον ἐκείνων. Περὶ μὲν γὰρ ἐκείνων ἁπλῶς εἶπεν, «ἄνδρες Νινευῖται ἀναστήσονται, καὶ κατακρινοῦσι τὴν γενεὰν ταύτην», καί, «βασίλισσα νότου κατακρινεῖ», περὶ δὲ τούτων, οὐχ ἁπλῶς οὕτως· ἀλλὲ πῶς· «Ὅταν καθίσῃ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐπὶ θρόνου δόξης αὐτοῦ, τότε καὶ ὑμεῖς καθίσεσθε ἐπὶ δώδεκα θρόνους», φησί· δηλῶν, ὅτι καὶ συμβασιλεύσουσι καὶ κοινωνήσουσι τῆς δόξης ἐκείνης. «Εἰ γὰρ ὑπομένομεν, φησί, καὶ συμβασιλεύσομεν». Οὐδὲ γὰρ καθέδραν οἱ θρόνοι δηλοῦσι· μόνος γὰρ αὐτός ἐστιν ὁ καθεδούμενος καὶ κρίνων· ἀλλὰ τιμὴν καὶ δόξαν ἄφατον παρεδήλωσε διὰ τῶν θρόνων.

Τούτοις μὲν οὖν ταῦτα εἶπε· τοῖς δὲ λοιποῖς πᾶσι ζωὴν αἰώνιον, καὶ ἑκατονταπλασίονα ἐντεῦθεν. Εἰ δὲ τοῖς λοιποῖς, πολλῷ μᾶλλον καὶ τούτοις, καὶ ταῦτα καὶ τὰ ἐν τῷ αἰῶνι τούτῳ. Καὶ τοῦτο γοῦν ἐξέβη. Κάλαμον γὰρ καὶ δίκτυον ἀφέντες, τὰς πάντων οὐσίας μετ' ἐξουσίας εἶχον, τὰς τιμὰς τῶν οἰκιῶν καὶ τῶν χωρίων, καὶ αὐτὰ τὰ σώματα τῶν πιστευόντων. Καὶ σφαγῆναι γὰρ ὑπὲρ αὐτῶν πολλάκις εἵλοντο, ὡς καὶ Παῦλος πολλοῖς μαρτυρεῖ, ὅταν λέγῃ· «εἰ δυνατόν, τοὺς ὀφθαλμοὺς ὑμῶν ἐξορύξαντες ἂν ἐδώκατέ μοι». Ὅταν δὲ λέγῃ, ὅτι «πᾶς ὅστις ἀφῆκε γυναῖκα», οὐ τοῦτό φησιν, ὥστε ἁπλῶς διασπᾶσθαι τοὺς γάμους· ἀλλ' ὃ

8. Ματθ. 12, 41.
9. Ματθ. 12, 42.
10. Β' Τιμ. 2, 12.
11. Γαλ. 4, 15.

ποὺ ἔδωσεν εἰς αὐτούς, ἐάν, αὐτὸ ποὺ ἔχουν οἱ Νινευῖται καὶ ἡ βασίλισσα τοῦ νότου, αὐτὸ θὰ ἔχουν καὶ αὐτοί; Ἐκτὸς αὐτὸ αὐτὰ καὶ ἄλλα πολλὰ προηγουμένως ὑπεσχέθη εἰς αὐτοὺς καὶ εἰς τὴν συνέχειαν ὑπόσχεται ἄλλα, καὶ δὲν θὰ εἶναι αὐτὸ μόνον τὸ βραβεῖον των. Ἄλλωστε καὶ μὲ τὴν ὑπόσχεσίν του αὐτὴν ὑπῃνίχθη κάτι περισσότερον ἀπὸ ἐκείνους. Διότι διὰ μὲν ἐκείνους ἁπλῶς εἶπεν, «Θ' ἀναστηθοῦν ἄνδρες Νινευῖται καὶ θὰ κατακρίνουν τὴν γενεὰν αὐτήν»[8], καί, «Ἡ βασίλισσα τοῦ νότου θὰ τὴν κατακρίνῃ»[9], ἐνῷ δι' αὐτοὺς δὲν λέγει ἁπλῶς αὐτό· ἀλλὰ τί λέγει; «Ὅταν ὁ Υἱὸς τοῦ ἀνθρώπου θὰ καθήσῃ ἐπάνω εἰς τὸν θρόνον τῆς δόξης του, τότε καὶ σεῖς θὰ καθήσετε ἐπάνω εἰς δώδεκα θρόνους», λέγει, δηλώνων, ὅτι καὶ θὰ συμβασιλεύσουν καὶ θὰ καταστοῦν κοινωνοὶ τῆς δόξης ἐκείνης. Διότι λέγει· «Ἐὰν ὑπομένωμεν, θὰ συμβασιλεύσωμεν»[10]. Οἱ θρόνοι βέβαια δὲν φανερώνουν καθέδραν, διότι ὁ Κύριος εἶναι μόνον ἐκεῖνος ποὺ θὰ καθήσῃ εἰς τὸν θρόνον καὶ θὰ κρίνῃ, ἀλλὰ διὰ τῶν θρόνων ὑπῃνίχθη ἀπερίγραπτον τιμὴν καὶ δόξαν.

Εἰς μὲν τοὺς ἀποστόλους λοιπὸν εἶπεν αὐτά, εἰς δὲ τοὺς ὑπολοίπους ὅλους γενικῶς εἶπεν ὅτι θὰ κληρονομήσουν ζωὴν αἰώνιον καὶ πολὺ περισσότερα εἰς τὴν ἐδῶ ζωήν. Ἐὰν δὲ αὐτὰ τὰ ὑπεσχέθη εἰς αὐτούς, πολὺ περισσότερον ὑπεσχέθη εἰς αὐτοὺς καὶ αὐτὰ καὶ τὰ ἀγαθὰ αὐτῆς τῆς ζωῆς. Καὶ αὐτὸ βέβαια ἐξεπληρώθη. Διότι ἐγκαταλείψαντες τὴν κάλαμον καὶ τὸ δίκτυον, ἦσαν κυρίαρχοι τῶν περιουσιῶν ὅλων τῶν ἀνθρώπων, τῶν ἀξιῶν τῶν οἰκιῶν καὶ τῶν κτημάτων καὶ αὐτῶν ἀκόμη τῶν σωμάτων τῶν πιστευόντων. Καθ' ὅσον ἐπροτίμησαν πολλὰς φορὰς καὶ ν' ἀποθάνουν χάριν αὐτῶν, καθὼς τὸ ἐπιβεβαιώνει καὶ ὁ Παῦλος διὰ πολλοὺς ἐξ αὐτῶν, ὅπως ὅταν λέγῃ· «Ἐὰν ἦτο δυνατὸν θὰ ἐβγάζατε καὶ τὰ μάτια σας ἀκόμη καὶ θὰ μοῦ τὰ ἐδίδατε»[11]. Ὅταν ὅμως λέγῃ, ὅτι «ὁ καθένας ποὺ ἄφησε τὴν γυναῖκα του», δὲν τὸ λέγει αὐτό, ὥστε εἰς τὰ καλὰ καθούμενα νὰ διαλύωνται οἱ γάμοι, ἀλλ' αὐτὸ ποὺ ἔλεγε περὶ τῆς ψυχῆς, ὅτι δηλαδὴ

περὶ τῆς ψυχῆς ἔλεγεν, ὅτι «ὁ ἀπολέσας τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ, εὑρήσει αὐτήν», οὐχ ἵνα ἀναιρῶμεν ἑαυτούς, οὐδ' ἵνα πάντων προτιμῶμεν τὴν εὐσέβειαν· τοῦτο καὶ ἐπὶ γυναικὸς καὶ ἀδελφῶν φησι.

Δοκεῖ δέ μοι καὶ τοὺς διωγμοὺς ἐνταῦθα αἰνίττεσθαι. Ἐπειδὴ γὰρ πολλοὶ ἦσαν καὶ πατέρες εἰς ἀσέβειαν ἕλκοντες παῖδας, καὶ γυναῖκες ἄνδρας· ὅταν ταῦτα κελεύουσι, φησί, μήτε γυναῖκες ἔστωσαν, μήτε πατέρες· ὅπερ οὖν καὶ ὁ Παῦλος ἔλεγεν· «εἰ δὲ ὁ ἄπιστος χωρίζεται, χωριζέσθω». Ἀναστήσας τοίνυν πάντων τὰ φρονήματα, καὶ πείσας καὶ ὑπὲρ ἑαυτῶν καὶ ὑπὲρ τῆς οἰκουμένης ἁπάσης θαρρεῖν, προσέθηκεν, ὅτι «πολλοὶ δὲ ἔσονται πρῶτοι ἔσχατοι, καὶ ἔσχατοι πρῶτοι». Τοῦτο δὲ εἰ καὶ ἀδιορίστως καὶ περὶ πολλῶν καὶ ἑτέρων εἴρηται καὶ περὶ τούτων, καὶ περὶ Φαρισαίων τῶν ἀπειθούντων· ὅπερ καὶ ἔμπροσθεν εἶπεν, ὅτι «πολλοὶ ἥξουσιν ἀπὸ ἀνατολῶν καὶ δυσμῶν, καὶ ἀνακλιθήσονται μετὰ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ· οἱ δὲ υἱοὶ τῆς βασιλείας ἔξω βληθήσονται».

Εἶτα ἐπάγει καὶ παραβολήν, εἰς πολλὴν προθυμίαν ἀλείφων τοὺς ὑστερηκότας. «Ὁμοία γάρ ἐστι», φησίν, «ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ οἰκοδεσπότῃ, ὅστις ἐξῆλθεν ἅμα πρωὶ μισθώσασθαι ἐργάτας εἰς τὸν ἀμπελῶνα αὐτοῦ. Καὶ συμφωνήσας μετ' αὐτῶν ἐκ δηναρίου τὴν ἡμέραν, ἀπέστειλεν αὐτοὺς εἰς τὸν ἀμπελῶνα. Καὶ τῇ τρίτῃ ὥρᾳ εἶδεν ἄλλους ἑστῶτας ἀργούς, κἀκείνοις εἶπεν· Ὑπάγετε καὶ ὑμεῖς εἰς τὸν ἀμπελῶνα, καὶ ὃ ἐὰν ᾖ δίκαιον, δώσω ὑμῖν.

---

12. Ματθ. 10, 39.
13. Α' Κορ. 7, 15.
14. Ματθ. 8, 11-12.
15. Ἤτοι περὶ τὴν ἑνάτην πρωϊνὴν ὥραν.
16. Δηλαδὴ τὴν δωδεκάτην μεσημβρινήν.

«αὐτὸς ποὺ θὰ χάση τὴν ζωήν του χάριν ἐμοῦ, θὰ κερδίση αὐτήν»[12], δὲν τὸ ἔλεγε διὰ νὰ φονεύωμεν τοὺς ἑαυτούς μας, οὔτε διὰ νὰ χωρίζωμεν αὐτὴν ἀπὸ τὸ σῶμα ἀπὸ ἐδῶ ἀκόμη, ἀλλὰ τὸ ἔλεγε διὰ νὰ προτιμῶμεν τὴν εὐσέβειαν ἀπὸ ὁτιδήποτε ἄλλο, τὸ ἴδιο λέγει καὶ ὅταν ὁμιλῆ περὶ ἐγκαταλείψεως τῆς γυναικὸς καὶ τῶν ἀδελφῶν.

Ἀλλ' ἔχω τὴν ἐντύπωσιν ὅτι ἐδῶ ὑπαινίσσεται καὶ τοὺς διωγμούς. Διότι, ἐπειδὴ ὑπῆρχον πολλοὶ καὶ πατέρες ποὺ προσέλκυον τὰ παιδιά των εἰς τὴν ἀσέβειαν, καὶ γυναῖκες τοὺς ἄνδρας των, ὅταν, λέγει, σᾶς διατάσσουν παρόμοια πράγματα, νὰ μὴ τοὺς θεωρῆτε οὔτε γυναῖκας οὔτε πατέρας, πρᾶγμα βέβαια ποὺ καὶ ὁ Παῦλος ἔλεγεν· «Ἐὰν ὅμως ὁ ἄπιστος σύζυγος θέλῃ νὰ χωρίσῃ, ἂς χωρίζῃ»[13]. Ἀφοῦ λοιπὸν ἐξύψωσε τὸ φρόνημα ὅλων καὶ τοὺς ἔπεισε νὰ ἔχουν θάρρος καὶ διὰ τοὺς ἑαυτούς των καὶ δι' ὁλόκληρον τὴν οἰκουμένην, προσέθεσεν, ὅτι «Πολλοὶ ποὺ εἶναι ἐδῶ πρῶτοι θὰ γίνουν ἐκεῖ τελευταῖοι, καὶ οἱ τελευταῖοι ἐδῶ θὰ γίνουν ἐκεῖ πρῶτοι». Αὐτὸ δὲ ἂν καὶ ἔχει λεχθῆ ἀορίστως καὶ διὰ πολλοὺς ἄλλους ἀνθρώπους, ἔχει λεχθῆ καὶ δι' αὐτοὺς καὶ διὰ τοὺς Φαρισαίους ποὺ δὲν ἐπίστευον, πρᾶγμα ποὺ καὶ προηγουμένως εἶπεν, ὅτι δηλαδὴ «Πολλοὶ θὰ ἔλθουν ἀπὸ τὴν ἀνατολὴν καὶ τὴν δύσιν καὶ θὰ καθήσουν μαζὶ μὲ τὸν Ἀβραάμ, τὸν Ἰσαὰκ καὶ τὸν Ἰακώβ, οἱ δὲ υἱοὶ τῆς βασιλείας θὰ ριφθοῦν ἔξω ἀπὸ αὐτήν»[14].

Ἀκολούθως προσθέτει καὶ παραβολήν, διὰ νὰ προτρέψῃ νὰ δείξουν μεγάλην προθυμίαν ἐκεῖνοι ποὺ καθυστέρησαν εἰς τὸ θέμα τῆς πίστεως. «Διότι», λέγει, «ἡ βασιλεία τῶν οὐρανῶν ὁμοιάζει μὲ ἄνθρωπον οἰκοδεσπότην, ὁ ὁποῖος ἐξῆλθε πρωὶ - πρωὶ διὰ νὰ μισθώσῃ ἐργάτας διὰ τὸ ἀμπέλι του. Καὶ ἀφοῦ συνεφώνησε μὲ αὐτοὺς ἀπὸ ἕνα δηνάριον τὴν ἡμέραν, τοὺς ἔστειλεν εἰς τὸ ἀμπέλι του. Καὶ κατὰ τὴν τρίτην ὥραν[15] εἶδεν ἄλλους χωρὶς ἐργασίαν καὶ εἶπε καὶ εἰς ἐκείνους· Πηγαίνετε καὶ σεῖς εἰς τὸ ἀμπέλι μου καὶ θὰ σᾶς δώσω αὐτὸ ποὺ δικαιοῦσθαι. Καὶ περὶ τὴν ἕκτην[16] ὥραν κα-

Καὶ περὶ ἕκτην καὶ ἐνάτην ὥραν ἐποίησεν ὡσαύτως. Περὶ δὲ τὴν ἑνδεκάτην ὥραν εἶδεν ἄλλους ἑστῶτας ἀργούς, καὶ λέγει αὐτοῖς· Τί ὧδε ἑστήκατε ὅλην τὴν ἡμέραν ἀργοί; Οἱ δὲ λέγουσιν αὐτῷ· Οὐδεὶς ἡμᾶς ἐμισθώσατο. Λέγει αὐτοῖς· Ὑπάγετε καὶ ὑμεῖς εἰς τὸν ἀμπελῶνα μου, καὶ ὃ ἐὰν ᾖ δίκαιον, λήψεσθε.

Ὀψίας δὲ γενομένης, λέγει ὁ κύριος τοῦ ἀμπελῶνος τῷ ἐπιτρόπῳ αὐτοῦ· Κάλεσον τοὺς ἐργάτας, καὶ δὸς αὐτοῖς τὸν μισθόν, ἀρξάμενος ἀπὸ τῶν ἐσχάτων ἕως τῶν πρώτων. Καὶ ἐλθόντες οἱ περὶ τὴν ἑνδεκάτην ὥραν, ἔλαβον ἀνὰ δηνάριον. Καὶ οἱ πρῶτοι ἐνόμισαν ὅτι πλείονα λήψονται, καὶ ἔλαβον καὶ αὐτοὶ ἀνὰ δηνάριον. Καὶ λαβόντες ἐγόγγυζον κατὰ τοῦ οἰκοδεσπότου, λέγοντες· Οὗτοι οἱ ἔσχατοι μίαν ὥραν ἐποίησαν, καὶ ἴσους ἡμῖν αὐτοὺς ἐποίησας, τοῖς βαστάσασι τὸ βάρος τῆς ἡμέρας καὶ τὸν καύσωνα; Ὁ δὲ ἀποκριθεὶς ἑνὶ αὐτῶν εἶπεν· Ἑταῖρε, οὐκ ἀδικῶ σε· οὐχὶ δηναρίου συνεφώνησάς με; Ἆρον τὸ σόν, καὶ ὕπαγε· θέλω δὲ καὶ τούτῳ τῷ ἐσχάτῳ δοῦναι ὡς καὶ σοί. Ἢ οὐκ ἔξεστί μοι ὃ θέλω ποιῆσαι ἐν τοῖς ἐμοῖς; Εἰ ὁ ὀφθαλμός σου πονηρός ἐστιν, ὅτι ἐγὼ ἀγαθός εἰμι; Οὕτως ἔσονται οἱ ἔσχατοι πρῶτοι, καὶ οἱ πρῶτοι ἔσχατοι. Πολλοὶ γάρ εἰσι κλητοί, ὀλίγοι δὲ ἐκλεκτοί».

3. Τί βούλεται ἡμῖν ἡ παραβολὴ αὕτη; Οὐ γὰρ συνάδει τῷ πρὸς τῷ τέλει λεχθέντι τὸ ἐξ ἀρχῆς, ἀλλὰ τοὐναντίον ἅπαν ἐμφαίνει. Ἐν ταύτῃ μὲν γὰρ δείκνυσιν ἅπαντας τῶν αὐτῶν ἀπολαύοντας, καὶ οὐ τοὺς μὲν ἐκβαλλομένους, τοὺς δὲ εἰσαγομένους· αὐτὸς δὲ καὶ πρὸ τῆς παραβολῆς καὶ μετὰ τὴν παραβολὴν τοὐναντίον εἶπεν, ὅτι «ἔσονται οἱ πρῶτοι ἔσχατοι, καὶ οἱ ἔσχατοι πρῶτοι»· τουτέστιν, ὅτι καὶ αὐτῶν

---

17. Δηλαδὴ τὴν τρίτην ἀπογευματινήν.
18. Δηλαδὴ τὴν πέμπτην ἀπογευματινήν.
19. Ματθ. 20, 1-16.

θὼς καὶ τὴν ἐνάτην[17] ἔκανε τὸ ἴδιον. Περὶ τὴν ἑνδεκάτην[18] ὥραν εἶδεν ἄλλους νὰ στέκωνται χωρὶς ἐργασίαν καὶ λέγει εἰς αὐτούς· Διατί ἔχετε μείνει ἐδῶ ὅλην τὴν ἡμέραν χωρὶς ἐργασίαν; Αὐτοὶ δὲ τοῦ λέγουν· Διότι δὲν μᾶς ἐμίσθωσε κανείς. Λέγει εἰς αὐτούς· Πηγαίνετε καὶ σεῖς εἰς τὸ ἀμπέλι μου καὶ θὰ λάβετε αὐτὸ ποὺ εἶναι δίκαιον.

Ὅταν δὲ ἐβράδυασε, λέγει ὁ ἰδιοκτήτης τοῦ ἀμπελιοῦ εἰς τὸν ἐπιστάτην του· Κάλεσε τοὺς ἐργάτας καὶ δῶσε τους τὸν μισθόν τους, ἀρχίζων ἀπὸ τοὺς τελευταίους καὶ φθάνων μέχρι τους πρώτους. Καὶ ἀφοῦ ἦλθον ἐκεῖνοι ποὺ ἐπῆγαν νὰ ἐργασθοῦν περὶ τὴν ἑνδεκάτην ὥραν, ἔλαβον ἀπὸ ἕνα δηνάριον ὁ καθένας. Ἐλθόντες δὲ οἱ πρῶτοι ἐνόμισαν ὅτι θὰ λάβουν περισσότερα, ἀλλ' ἔλαβον καὶ αὐτοὶ ἀπὸ ἕνα δηνάριον ὁ καθένας. Καὶ ἀφοῦ τὸ ἔλαβον ἐγόγγυζον ἐναντίον τοῦ οἰκοδεσπότου, λέγοντες· Αὐτοὶ ποὺ ἦλθαν τελευταῖοι, εἰργάσθησαν μίαν ὥραν καὶ τοὺς ἐπλήρωσες τὰ ἴδια ποὺ ἐπλήρωσες εἰς ἡμᾶς ποὺ ὑπεφέραμεν ὅλον τὸ βάρος τῆς ἡμέρας καὶ τὸν καύσωνα; Αὐτὸς δὲ ἀπεκρίθη εἰς κάποιον ἀπὸ αὐτοὺς καὶ τοῦ εἶπεν· Φίλε, δὲν σὲ ἀδικῶ· δὲν ἔκανες μαζί μου συμφωνίαν διὰ ἕνα δηνάριον; Πάρε τὸ ἰδικόν σου καὶ πήγαινε· θέλω δὲ καὶ εἰς αὐτὸν τὸν τελευταῖον νὰ δώσω ὅσα καὶ εἰς ἐσένα. Μήπως δὲν ἔχω τὸ δικαίωμα νὰ κάνω ὅ,τι θέλω τὰ ἰδικά μου; Ἢ τὸ μάτι σου εἶναι πονηρόν, ἐπειδὴ ἐγὼ εἶμαι ἀγαθός; Ἔτσι θὰ γίνουν οἱ τελευταῖοι πρῶτοι καὶ οἱ πρῶτοι τελευταῖοι. Διότι εἶναι πολλοὶ οἱ καλεσμένοι, ὀλίγοι ὅμως οἱ ἐκλεκτοί»[19].

3. Τί θέλει νὰ μᾶς διδάξῃ αὐτὴ ἡ παραβολή; Διότι δὲν εἶναι σύμφωνος ἡ ἀρχὴ αὐτῆς πρὸς αὐτὸ ποὺ ἐλέχθη εἰς τὸ τέλος, ἀλλὰ φανερώνει ἐντελῶς τὸ ἀντίθετον. Διότι εἰς αὐτὴν παρουσιάζονται ὅλοι νὰ ἀπολαμβάνουν τὰ ἴδια, καὶ ὄχι ἄλλοι μὲν νὰ ἐκδιώκωνται, ἄλλοι δὲ νὰ εἰσάγωνται εἰς τὴν βασιλείαν, ἐνῷ ὁ Ἴδιος καὶ πρὶν ἀπὸ τὴν παραβολὴν καὶ μετὰ τὴν παραβολὴν εἶπε τὸ ἀντίθετον, ὅτι «οἱ πρῶτοι θὰ γίνουν τελευταῖοι καὶ οἱ τελευταῖοι πρῶτοι»· δηλαδὴ θὰ γί-

τῶν πρώτων πρῶτοι, οὐχὶ πρώτων μενόντων, ἀλλ' ἐσχάτων ἐκείνων γενομένων. Ὅτι γὰρ τοῦτο δηλοῖ, ἐπήγαγε· «πολλοὶ γάρ εἰσι κλητοί, ὀλίγοι δὲ ἐκλεκτοί»· ὥστε διπλῆ κἀκείνους δακεῖν, καὶ τούτους παραμυθήσασθαι καὶ προτρέψαι. Ἡ δὲ παραβολὴ οὐ τοῦτό φησιν· ἀλλ' ὅτι τῶν εὐδοκίμων καὶ πολλὰ πεπονηκότων ἔσονται ἴσοι. «Ἴσους γὰρ αὐτοὺς ἡμῖν ἐποίησας», φησί, «τοῖς βαστάσασι τὸ βάρος τῆς ἡμέρας, καὶ τὸν καύσωνα». Τί οὖν ἐστιν ὅ φησιν ἡ παραβολή; ἀναγκαῖον γὰρ τοῦτο πρῶτον ποιῆσαι σαφές, καὶ τότε ἐκεῖνο διαλύσομεν. Ἀμπελῶνα μέν, τὰ ἐπιτάγματα τοῦ Θεοῦ φησιν εἶναι, καὶ τὰς ἐντολάς· χρόνον δὲ τῆς ἐργασίας, τὸν παρόντα βίον· ἐργάτας δέ, τοὺς διαφόρως καλουμένους ἐπὶ τὰ προστάγματα· πρωὶ δὲ καὶ περὶ τρίτην καὶ ἕκτην καὶ ἐνάτην καὶ ἑνδεκάτην ὥραν, τοὺς ἐν διαφόροις ἡλικίαις προσελθόντας καὶ εὐδοκιμήσαντας. Ἀλλὰ τὸ ζητούμενον ἐκεῖνό ἐστιν, εἰ λαμπρῶς εὐδοκιμηκότες οἱ πρῶτοι, καὶ ἀρέσαντες τῷ Θεῷ, καὶ δι' ὅλης ἡμέρας λάμψαντες ἀπὸ τῶν πόνων, τῷ ἐσχάτῳ τῆς κακίας κατέχονται πάθει, βασκανίᾳ καὶ φθόνῳ. Ἰδόντες γὰρ αὐτοὺς τῶν αὐτῶν ἀπολελαυκότας, φασίν· «οὗτοι οἱ ἔσχατοι μίαν ὥραν ἐποίησαν, καὶ ἴσους αὐτοὺς ἡμῖν ἐποίησας, τοῖς βαστάσασι τὸ βάρος τῆς ἡμέρας καὶ τὸν καύσωνα;». Καὶ ταῦτα μηδὲν μέλλοντες ζημιοῦσθαι, μηδὲ εἰς τὸν ἑαυτῶν ἐλαττοῦσθαι μισθόν, ἐδυσχέραινον καὶ ἠγανάκτουν ἐπὶ τοῖς ἀλλοτρίοις ἀγαθοῖς· ὃ φθόνου καὶ βασκανίας ἦν. Καὶ τὸ ἔτι πλέον, ὅτι καὶ ὁ οἰκοδεσπότης ὑπὲρ αὐτῶν δικαιολογούμενος καὶ πρὸς τὸν εἰρηκότα ταῦτα ἀπολογούμενος, πονηρίας αὐτὸν κρίνει καὶ βασκανίας ἐσχάτης, λέγων· «οὐχὶ δηναρίου συνε-

νουν πρῶτοι καὶ ἀπὸ αὐτοὺς ποὺ εἶναι πρῶτοι, οἱ ὁποῖοι δὲν θὰ μείνουν πρῶτοι, ἀλλὰ θὰ γίνουν τελευταῖοι. Καὶ αὐτὸ βέβαια τὸ φανερώνουν οἱ λόγοι ποὺ προσέθεσε· «Διότι πολλοὶ εἶναι οἱ καλεσμένοι, ἀλλ' εἶναι ὀλίγοι οἱ ἐκλεκτοί»· ὥστε διπλᾶ καὶ ἐκείνους νὰ λυπήσῃ καὶ αὐτοὺς νὰ παρηγορήσῃ καὶ νὰ προτρέψῃ. Ἡ παραβολὴ ὅμως δὲν λέγει τὸ ἴδιον, ἀλλ' ὅτι θὰ γίνουν ἴσοι μὲ ἐκείνους ποὺ ηὐδοκίμησαν καὶ ἔχουν κοπιάσει πάρα πολύ. Διότι λέγει· «Τοὺς ἔκανες ἴσους μὲ ἡμᾶς ποὺ ἐβαστάσαμεν τὸ βάρος τῆς ἡμέρας καὶ τὸν καύσωνα». Ποῖο λοιπὸν εἶναι αὐτὸ ποὺ λέγει ἡ παραβολή; διότι ἀνάγκη εἶναι αὐτὸ πρῶτα νὰ κάνωμεν σαφές, καὶ μετὰ νὰ ἐξηγήσωμεν ἐκεῖνο.

Ἀμπέλι μὲν λέγει ὅτι εἶναι τὰ προστάγματα καὶ αἱ ἐντολαὶ τοῦ Θεοῦ, χρόνος τῆς ἐργασίας, ὅτι εἶναι ἡ παροῦσα ζωή, ἐργάται εἶναι οἱ καλούμενοι κατὰ διάφορον τρόπον νὰ τηρήσουν τὰς ἐντολὰς τοῦ Θεοῦ, πρωὶ δέ, τρίτη, ἕκτη, ἐνάτη καὶ ἑνδεκάτη ὥρα, εἶναι οἱ ἄνθρωποι ποὺ προσῆλθον καὶ ηὐδοκίμησαν κατὰ τὰς διαφόρους ἡλικίας. Ἀλλὰ τὸ ὑπὸ ἐξέτασιν θέμα μας εἶναι τὸ ἑξῆς· Ἐὰν δηλαδὴ οἱ πρῶτοι, ποὺ ηὐδοκίμησαν εἰς μεγάλον βαθμὸν καὶ ἐφάνησαν ἀρεστοὶ εἰς τὸν Θεὸν καὶ ἔλαμψαν καθ' ὅλην τὴν ἡμέραν μὲ τοὺς κόπους των, εἶναι κυριευμένοι ἀπὸ τὸ φοβερώτερον πάθος τῆς κακίας, τὴν ζῆλειαν δηλαδὴ καὶ τὸν φθόνον. Διότι ὅταν τοὺς εἶδον νὰ ἀμείβωνται μὲ τὸν ἴδιον μισθόν, εἶπον· «Αὐτοὶ οἱ τελευταῖοι εἰργάσθησαν μίαν μόνον ὥραν καὶ τοὺς ἔκανες ἴσους μὲ ἡμᾶς, ποὺ ἐβαστάσαμεν τὸ βάρος τῆς ἡμέρας καὶ τὸν καύσωνα;». Καὶ ὅλα αὐτὰ ἂν καὶ δὲν ἐπρόκειτο νὰ ζημιωθοῦν εἰς τίποτε, οὔτε νὰ ἐλαττωθῇ ὁ μισθός των, ἀλλ' ὅμως ἐδυσανασχετοῦσαν καὶ ἀγανακτοῦσαν διὰ τὰ ξένα ἀγαθά, πρᾶγμα ποὺ ἦτο δεῖγμα τοῦ φθόνου καὶ τῆς ζηλείας των. Καὶ τὸ πιὸ σπουδαιότερον ἀκόμη εἶναι ὅτι καὶ ὁ οἰκοδεσπότης δικαιολογῶν αὐτοὺς καὶ ἀπολογούμενος πρὸς ἐκεῖνον ποὺ τοῦ εἶπεν αὐτά, τὸν κρίνει ἔνοχον πονηρίας καὶ τῆς χειροτέρας ζηλείας, λέγων· «Δὲν συνεφώ-

φώνησάς μοι; Ἆρον τὸ σὸν καὶ ὕπαγε· θέλω δὲ τῷ ἐσχάτῳ δοῦναι ὡς καὶ σοί. Εἰ ὁ ὀφθαλμός σου πονηρός ἐστιν, ὅτι ἐγὼ ἀγαθός εἰμι;».

Τί οὖν ἐστι τὸ κατασκευαζόμενον ἐκ τούτων; Καὶ γὰρ καὶ ἐφ' ἑτέρων παραβολῶν τὸ αὐτὸ τοῦτό ἐστιν ἰδεῖν. Καὶ γὰρ ὁ Υἱὸς ὁ εὐδόκιμος αὐτὸ τοῦτο εἰσάγεται πεπονθώς, ὅτε εἶδε τὸν ἄσωτον ἀδελφὸν πολλῆς ἀπολαύσαντα τιμῆς, καὶ πλείονος ἢ αὐτός. Ὥσπερ γὰρ οὗτοι πλείονος ἀπέλαυσαν τῷ πρῶτοι λαβεῖν, οὕτω καὶ ἐκεῖνος μειζόνως τῇ περιουσίᾳ τῶν δεδομένων ἐτιμᾶτο· καὶ ταῦτα αὐτὸς μαρτυρεῖ ὁ εὐδόκιμος. Τί οὖν ἐστιν εἰπεῖν; Οὐκ ἔστιν οὐδεὶς τοιαῦτα δικαιολογούμενος ἢ ἐγκαλῶν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν· ἄπαγε· φθόνου γὰρ καὶ βασκανίας τὸ χωρίον ἐκεῖνο καθαρόν. Εἰ γὰρ ἐνταῦθα ὄντες οἱ ἅγιοι καὶ τὰς ψυχὰς ἑαυτῶν ὑπὲρ τῶν ἁμαρτωλῶν διδόασι, πολλῷ μᾶλλον ὄρῶντες ἐκεῖ τούτων ἀπολαύοντας χαίρουσι, καὶ οἰκεῖα νομίζουσιν εἶναι ἀγαθά.

Τίνος οὖν ἕνεκεν οὕτως ἐσχημάτισε τὸν λόγον; Παραβολὴ τὸ λεγόμενον ἦν· διόπερ οὐδὲ χρὴ πάντα τὰ ἐν ταῖς παραβολαῖς κατὰ λέξιν περιεργάζεσθαι, ἀλλὰ τὸν σκοπὸν μαθόντας, δι' ὃν συνετέθη, τοῦτον δρέπεσθαι, καὶ μηδὲν πολυπραγμονεῖν περαιτέρω. Τίνος οὖν ἕνεκεν οὕτω συνετέθη αὕτη ἡ παραβολή, καὶ τί κατασκευάσαι βούλεται; Προθυμοτέρους ποιῆσαι τοὺς ἐν ἐσχάτῳ γήρᾳ μεταβαλλομένους καὶ γινομένους βελτίονας, μηδὲ ἀφεῖναι νομίζειν ἔλαττον ἔχειν. Διὰ δὴ τοῦτο εἰσάγει καὶ δυσχεραίνοντας ἑτέρους ἐπὶ

---

20. Πρβλ. Λουκᾶ 15, 11-32 καὶ ἰδίᾳ στ. 28-30.

νησες μαζί μου δι' ένα δηνάριον; Πάρε τὸ ἰδικόν σου καὶ πήγαινε· θέλω καὶ εἰς τὸν τελευταῖον νὰ δώσω ὅσα ἔδωσα καὶ εἰς ἐσένα. Ἂν εἶναι τὸ μάτι σου πονηρόν, ἐπειδὴ ἐγὼ εἶμαι ἀγαθός;».

Τί θέλει λοιπὸν μὲ αὐτὰ νὰ μᾶς διδάξῃ; Καθ' ὅσον καὶ εἰς ἄλλας παραβολὰς εἶναι δυνατὸν νὰ ἰδοῦμεν τὸ ἴδιο μὲ αὐτό. Διότι καὶ ὁ καλὸς υἱὸς φαίνεται νὰ παθαίνῃ ἀκριβῶς αὐτὸ τὸ ἴδιον, ὅταν εἶδε τὸν ἄσωτον ἀδελφόν του νὰ ἀπολαύῃ μεγάλης τιμῆς καὶ μάλιστα πολὺ πιὸ μεγαλυτέρας ἀπὸ ὅ,τι αὐτός[20]. Διότι ὅπως ἀκριβῶς αὐτοὶ ἀπήλαυσαν περισσότερα, ἐπειδὴ ἔλαβον πρῶτοι τὸν μισθόν, ἔτσι καὶ ἐκεῖνος ἐτιμᾶτο εἰς μεγάλον βαθμὸν μὲ τὴν ἀφθονίαν τῶν ἀγαθῶν ποὺ τοῦ προσεφέρθησαν, πρᾶγμα ποὺ ἐπιβεβαιώνεται ἀπὸ τὸν ἴδιον τὸν καλὸν υἱόν. Τί ἠμποροῦμεν λοιπὸν νὰ εἰποῦμεν; Δὲν ὑπάρχει κανεὶς ποὺ νὰ ἠμπορῇ νὰ προβάλῃ τέτοιου εἴδους δικαιολογίας ἢ κατηγορίας εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· δὲν εἶναι δυνατόν, καθ' ὅσον ὁ χῶρος ἐκεῖνος εἶναι καθαρὸς ἀπὸ φθόνον καὶ ζήλειαν. Διότι ἐὰν οἱ ἅγιοι, εὑρισκόμενοι ἐδῶ, καὶ τὰς ψυχάς των ἀκόμη δίδουν ὑπὲρ τῆς σωτηρίας τῶν ἁμαρτωλῶν, πολὺ περισσότερον χαίρουν ἐκεῖ ποὺ βλέπουν αὐτοὺς ν' ἀπολαμβάνουν ἀγαθὰ καὶ τὰ θεωροῦν ὡς ἰδικά των ἀγαθά.

Πρὸς ποῖον λοιπὸν σκοπὸν ἐπαρουσίασεν ἔτσι τὸν λόγον; Αὐτὸ ποὺ εἶπεν ἦτο παραβολή· διὰ τὸν λόγον αὐτὸν δὲν πρέπει νὰ τὰ ἐξετάζωμεν κατὰ λέξιν αὐτὰ ποὺ περιέχονται εἰς τὰς παραβολάς, ἀλλ', ἀφοῦ μάθωμεν τὸν σκοπὸν διὰ τὸν ὁποῖον ἐλέχθη ἡ παραβολή, αὐτὸν ἂς κάνωμεν κτῆμα μας καὶ νὰ μὴ ἀσχολούμεθα ἄδικα μὲ τὰ παρὰ πέρα. Πρὸς ποῖον σκοπὸν λοιπὸν παρουσιάσθη ἔτσι αὐτὴ ἡ παραβολὴ καὶ τί θέλει νὰ μᾶς διδάξῃ; Διὰ νὰ κάνῃ προθυμοτέρους αὐτοὺς ποὺ εἰς πολὺ προχωρημένην ἡλικίαν μετανοοῦν καὶ γίνονται καλύτεροι καὶ νὰ μὴ τοὺς ἀφήσῃ νὰ νομίζουν ὅτι μειονεκτοῦν ἔναντι τῶν ἄλλων. Διὰ τοῦτο λοιπὸν παρουσιάζει καὶ νὰ δυσανασχετοῦν τοὺς ἄλλους διὰ τὰ

τοῖς τούτων ἀγαθοῖς, οὐχ ἵνα δείξῃ τηκομένους καὶ δακνομένους ἐκείνους· ἄπαγε· ἀλλ' ἵνα διδάξῃ τούτους τοσαύτης ἀπολαύσαντας τιμῆς, ἢ καὶ φθόνον ἑτέροις τεκεῖν ἠδύναιο. Ὃ καὶ ἡμεῖς πολλάκις ποιοῦμεν λέγοντες, ὅτι ὁ δεῖνά μοι ἐνεκάλεσεν, ὅτι σε τοσαύτης ἠξίωσα τιμῆς· οὔτε ἐγκληθέντες, οὔτε ἐκεῖνον διαβαλεῖν θέλοντες, ἀλλά τούτῳ δεῖξαι τὸ μέγεθος τῆς δωρεᾶς ἧς ἀπήλαυσεν.

Ἀλλὰ τί δήποτε οὐ πάντας εὐθέως ἐμισθώσατο; Τὸ εἰς αὐτὸν ἧκον, ἅπαντας· εἰ δὲ οὐχ ὁμοῦ πάντες ὑπήκουσαν, τὴν διαφορὰν ἡ τῶν κληθέντων γνώμη πεποίηκε. Διὰ τοῦτο οἱ μὲν πρωί, οἱ δὲ τρίτῃ, οἱ δὲ ἕκτῃ, οἱ δὲ ἐνάτῃ ὥρᾳ καλοῦνται, οἱ δὲ ἑνδεκάτῃ, ὅτε ἔμελλον ὑπακούσεσθαι. Τοῦτο καὶ ὁ Παῦλος δηλῶν ἔλεγεν· «ὅτε δὲ εὐδόκησεν ὁ ἀφορίσας με ἐκ κοιλίας μητρός μου». Πότε δὲ εὐδόκησεν; Ὅτε ἔμελλεν ὑπακούσεσθαι. Αὐτὸς μὲν γὰρ ἐβούλετο καὶ ἐκ προοιμίων· ἐπειδὴ δὲ αὐτὸς οὐκ ἂν εἶξε, τότε εὐδόκησεν, ὅτε καὶ αὐτὸς ἔμελλε πείθεσθαι. Οὕτω καὶ τὸν λῃστὴν ἐκάλεσε, καίτοι δυνάμενος καὶ ἔμπροσθεν αὐτὸν καλέσαι· ἀλλ' ἐκεῖνος οὐκ ἂν ὑπήκουσεν. Εἰ γὰρ ὁ Παῦλος ἐξ ἀρχῆς οὐκ ἂν ὑπήκουσε, πολλῷ μᾶλλον ὁ λῃστής. Εἰ δὲ οὗτοι λέγουσιν, «οὐδεὶς ἡμᾶς ἐμισθώσατο», μάλιστα μέν, ὅπερ ἔφην, οὐ χρὴ πάντα περιεργάζεσθαι τὰ ταῖς παραβολαῖς· ἐνταῦθα δὲ οὐδὲ ὁ οἰκοδεσπότης φαίνεται τοῦτο λέγων, ἀλλ' ἐκεῖνοι· αὐτὸς δὲ αὐτοὺς οὐκ ἐλέγχει, ἵνα μὴ διαπορήσῃ, ἀλλ' ἐπισπάσηται. Ὅτι

21. Γαλ. 1, 15.

ἀγαθὰ ποὺ λαμβάνουν αὐτοί, ὄχι διὰ νὰ δείξῃ ἐκείνους νὰ λειώνουν ἀπὸ τὸν φθόνον καὶ τὴν λύπην των, μακρυὰ αὐτὴ ἡ σκέψις, ἀλλὰ διὰ νὰ διδάξῃ αὐτούς, ὅτι ἀπολαμβάνουν τόσον μεγάλην τιμήν, ποὺ θὰ ἠμποροῦσε καὶ φθόνον νὰ γεννήσῃ εἰς τοὺς ἄλλους, πρᾶγμα ποὺ καὶ ἡμεῖς κάνομεν πολλὰς φορὰς λέγοντες, ὅτι ὁ τάδε μὲ κατηγόρησε ποὺ σὲ ἐτίμησα τόσον πολύ, ἂν καὶ οὔτε κατηγορήθημεν οὔτε θέλομεν νὰ διαβάλωμεν ἐκεῖνον, ἀλλὰ τὸ λέγομεν μὲ σκοπὸν νὰ δείξωμεν εἰς ἐκεῖνον τὸ μέγεθος τῆς δωρεᾶς ποὺ ἀπήλαυσεν.

Ἀλλὰ διὰ ποῖον λόγον τέλος πάντων δὲν τοὺς ἐμίσθωσεν ὅλους μαζί; Ὅσον ἐξηρτᾶτο ἀπὸ αὐτόν, τοὺς ἐμίσθωσεν ὅλους μαζί, ἐὰν ὅμως δὲν ὑπήκουσαν ὅλοι μαζί, τὴν διαφορὰν τὴν ἐδημιούργησεν ἡ διάθεσις αὐτῶν ποὺ προσεκλήθησαν. Διὰ τοῦτο προσεκλήθησαν ἄλλοι τὸ πρωί, ἄλλοι τὴν τρίτην ὥραν, ἄλλοι τὴν ἕκτην, ἄλλοι τὴν ἐνάτην καὶ ἄλλοι τὴν ἑνδεκάτην, ὅταν δηλαδὴ ἐπρόκειτο νὰ ὑπακούσῃ ὁ καθένας. Τοῦτο δηλώνων καὶ ὁ Παῦλος ἔλεγεν· «Ὅταν δὲ εὐδόκησεν αὐτὸς ποὺ μὲ ἐξεχώρισεν ἀπὸ τὴν κοιλίαν τῆς μητρός μου»[21]. Πότε δὲ εὐδόκησεν; Ὅταν ἐπρόκειτο νὰ ὑπακούσῃ. Διότι ὁ μὲν Θεὸς ἤθελε νὰ τὸν καλέσῃ ἀπὸ τὴν ἀρχήν, ἀλλ᾽ ἐπειδὴ αὐτὸς δὲν θὰ ἠκολούθει, τότε εὐδόκησεν, ὅταν καὶ ὁ ἴδιος ἐπρόκειτο νὰ ὑπακούσῃ. Κατὰ τὸν ἴδιον τρόπον ἐκάλεσε καὶ τὸν ληστήν, ἂν καὶ ἠμποροῦσεν ἀπὸ προηγουμένως νὰ τὸν καλέσῃ, ἀλλ᾽ ἐκεῖνος δὲν θὰ ὑπήκουεν τότε. Διότι ἐὰν δὲν θὰ ὑπήκουεν ὁ Παῦλος ἀπὸ τὴν ἀρχήν, πολὺ περισσότερον δὲν θὰ ὑπήκουεν ὁ λῃστής. Ἐὰν ὅμως αὐτοὶ λέγουν, «κανεὶς δὲν μᾶς ἐμίσθωσεν», αὐτὸ εἶναι πρὸ πάντων ἐκεῖνο, ὅπως εἶπα προηγουμένως, ὅτι δηλαδὴ δὲν πρέπει νὰ περιεργαζώμεθα ὅλα ἐκεῖνα ποὺ κρύπτονται εἰς τὰς παραβολάς· ἄλλωστε ἐδῶ οὔτε ὁ οἰκοδεσπότης φαίνεται νὰ τὸ λέγῃ αὐτό, ἀλλ᾽ ἐκεῖνοι· καὶ αὐτὸς βέβαια δὲν τοὺς ἐλέγχει, διὰ νὰ μὴ τοὺς ὁδηγήσῃ εἰς ἀμηχανίαν, ἀλλὰ διὰ νὰ τοὺς προσελκύσῃ. Τὸ ὅτι

γὰρ πάντας τό γε εἰς αὐτὸν ἦκον, ἐκ πρώτης ἐκάλει, ἐδήλωσε καὶ ἡ παραβολὴ λέγουσα, ὅτι ἀπὸ πρωὶ ἐξῆλθε μισθώσασθαι.

4. Πάντοθεν οὖν δῆλον ἡμῖν, ὅτι πρὸς τοὺς ἐκ πρώτης ἡλικίας, καὶ τοὺς ἐν γήρᾳ καὶ βράδιον ἀρετῆς ἐπειλημμένους εἴρηται ἡ παραβολή· πρὸς ἐκείνους μέν, ἵνα μὴ ἀπονοῶνται, μηδὲ ὀνειδίζωσι τοῖς περὶ τὴν ἑνδεκάτην· πρὸς τούτους δέ, ἵνα μάθωσιν, ὅτι ἐστὶ καὶ ἐν βραχεῖ χρόνῳ τὸ πᾶν ἀνακτήσασθαι. Ἐπειδὴ γὰρ περὶ σφοδρότητος διελέγετο, καὶ τοῦ χρήματα ῥῖψαι, καὶ καταφρονῆσαι τῶν ὄντων ἁπάντων, πολλοῦ δὲ τοῦτο ἐδεῖτο τοῦ τόνου καὶ νεανικῆς προθυμίας, ἀνάπτων ἐν αὐτοῖς φλόγα ἀγάπης, καὶ εὔτονον ποιῶν τὴν γνώμην, δείκνυσιν ὅτι δυνατὸν καὶ ὕστερον ἐλθόντας τῆς πάσης λαβεῖν ἡμέρας τὸν μισθόν.

Ἀλλ' οὕτω μὲν οὐ λέγει, ἵνα μὴ πάλιν αὐτοὺς ἀπονοήσῃ· δείκνυσι δὲ ὅτι τῆς αὐτοῦ φιλανθρωπίας ἐστὶ τὸ πᾶν, καὶ διὰ ταύτην οὐκ ἐκπεσοῦνται, ἀλλ' ἀπολαύσονται καὶ αὐτοὶ τῶν ἀπορρήτων ἀγαθῶν. Καὶ τοῦτο μάλιστά ἐστιν ὃ βούλεται διὰ τῆς παραβολῆς κατασκευάσαι ταύτης. Εἰ δὲ ἐπάγει, ὅτι «οὕτως ἔσονται οἱ ἔσχατοι πρῶτοι, καὶ οἱ πρῶτοι ἔσχατοι· πολλοὶ γὰρ κλητοί, ὀλίγοι δὲ ἐκλεκτοί», μὴ θαυμάσῃς. Οὐ γὰρ ὡς ἐκ τῆς παραβολῆς τοῦτο συναγαγών φησιν, ἀλλὰ τοῦτο λέγει, ὅτι ὥσπερ τοῦτο συνέβη, οὕτω κἀκεῖνο συμβήσεται.

Ἐνταῦθα μὲν γὰρ οὐκ ἐγένοντο οἱ πρῶτοι ἔσχατοι, ἀλλὰ τῶν αὐτῶν πάντες ἀπήλαυσαν παρ' ἐλπίδα καὶ παρὰ προσδοκίαν. Ὥσπερ δὲ τοῦτο παρ' ἐλπίδα καὶ παρὰ προσδοκίαν ἐξέ-

λοιπὸν τοὺς ἐκάλεσεν ὅλους ἀπὸ τὴν ἀρχήν, ὅσον ἐξηρτᾶτο ἀπὸ αὐτόν, τὸ ἐδήλωσε καὶ ἡ παραβολὴ μὲ τοὺς λόγους, ὅτι ἐξῆλθεν ἀπὸ τὸ πρωὶ διὰ νὰ μισθώσῃ ἐργάτας.

4. Εἶναι ὁλοφάνερον λοιπὸν εἰς ἡμᾶς, ὅτι ἡ παραβολὴ αὐτὴ ἐλέχθη καὶ πρὸς ἐκείνους ποὺ ἀσκοῦν ἀπὸ τὴν πρώτην ἡλικίαν τὴν ἀρετὴν καὶ πρὸς ἐκείνους ποὺ ἐπέδειξαν ἐνδιαφέρον δι' αὐτὴν εἰς πολὺ μεγάλην ἡλικίαν καὶ πολὺ καθυστερημένα. Πρὸς μὲν τοὺς πρώτους διὰ νὰ μὴ ὑπερηφανεύωνται οὔτε νὰ κατηγοροῦν ἐκείνους ποὺ προσῆλθον κατὰ τὴν ἑνδεκάτην ὥραν, πρὸς δὲ τοὺς δευτέρους, διὰ νὰ μάθουν, ὅτι εἶναι δυνατὸν καὶ ἐντὸς ἐλαχίστου χρόνου νὰ ἐπανεύρουν καὶ πάλιν τὸ πᾶν. Διότι, ἐπειδὴ τοὺς ὡμιλοῦσε διὰ ὑπερβολικὴν προθυμίαν καὶ διὰ ἐγκατάλειψιν τῶν χρημάτων καὶ διὰ περιφρόνησιν ὅλων γενικῶς τῶν πραγμάτων, πρᾶγμα ποὺ ἀπαιτοῦσε πολλὴν δύναμιν καὶ νεανικὴν προθυμίαν, ἀνάπτων ἐντός των τὴν φλόγα τῆς ἀγάπης καὶ ἐνισχύων τὴν διάθεσίν των, τοὺς δεικνύει ὅτι εἶναι δυνατόν, ἔστω καὶ ἂν ἀκόμη ἔλθουν ἀργότερα, νὰ λάβουν τὸν μισθὸν ὁλοκλήρου τῆς ἡμέρας.

Δὲν τοὺς τὸ λέγει ὅμως ἔτσι, διὰ νὰ μὴ τοὺς κάνῃ πάλιν νὰ ὑπερηφανευθοῦν, ἀλλὰ τοὺς ἀποκαλύπτει ὅτι τὸ πᾶν ὀφείλεται εἰς τὴν ἰδικήν του φιλανθρωπίαν, καὶ ὅτι ἐξ αἰτίας αὐτῆς δὲν θὰ ἀποκλεισθοῦν, ἀλλὰ θ' ἀπολαύσουν καὶ αὐτοὶ τῶν ἀπορρήτων ἀγαθῶν. Καὶ αὐτὸ κατ' ἐξοχὴν εἶναι ἐκεῖνο ποὺ θέλει νὰ διδάξῃ μὲ αὐτὴν τὴν παραβολήν. Ἐὰν ὅμως προσθέτῃ, ὅτι «Καθ' ὅμοιον τρόπον λοιπὸν οἱ τελευταῖοι θὰ γίνουν πρῶτοι, καὶ οἱ πρῶτοι τελευταῖοι· διότι εἶναι πολλοὶ οἱ καλεσμένοι, ὀλίγοι ὅμως οἱ ἐκλεκτοί», μὴ θαυμάσῃς. Διότι αὐτὸ δὲν τὸ εἶπεν ὡσὰν συμπέρασμα τῆς παραβολῆς, ἀλλὰ μὲ αὐτὸ θέλει νὰ εἰπῇ, ὅτι ὅπως ἀκριβῶς αὐτὸ συνέβη, κατὰ τὸν ἴδιον τρόπον θὰ συμβῇ καὶ ἐκεῖνο.

Εἰς τὴν περίπτωσιν λοιπὸν αὐτὴν δὲν ἔγιναν οἱ πρῶτοι τελευταῖοι, ἀλλ' ὅλοι, χωρὶς νὰ τὸ ἐλπίζουν καὶ χωρὶς νὰ τὸ περιμένουν, ἀπήλαυσαν τὰ ἴδια ἀγαθά. Ὅπως ἀκριβῶς

βη, καὶ τῶν ἔμπροσθεν ἐγένοντο ἴσοι οἱ μετὰ ταῦτα· οὕτω καὶ τὸ τούτου πλέον συμβήσεται καὶ παραδοξότερον, τὸ καὶ ἔμπροσθεν γενέσθαι τῶν πρώτων τοὺς ἐσχάτους, καὶ μετὰ τούτους τοὺς πρώτους. Ὥστε ἕτερον ἐκεῖνο, καὶ ἕτερον τοῦτο. Δοκεῖ δέ μοι ταῦτα λέγειν Ἰουδαίους αἰνιττόμενος, καὶ τῶν πιστῶν τοὺς ἐξ ἀρχῆς λάμψαντας, ὕστερον δὲ ἀμελήσαντας ἀρετῆς, καὶ εἰς τοὐπίσω κατενεχθέντας· κἀκείνους πάλιν τοὺς ἀπὸ κακίας ἀνενεγκόντας, καὶ πολλοὺς ὑπερακοντίσαντας. Ὁρῶμεν γὰρ τὰς τοιαύτας μεταβολάς, καὶ ἐπὶ πίστεως καὶ ἐπὶ βίου γινομένας.

Διὸ παρακαλῶ, πολλὴν ποιησώμεθα σπουδήν, καὶ ἐπὶ τῆς πίστεως ἑστάναι τῆς ὀρθῆς, καὶ βίον ἐπιδείκνυσθαι ἄριστον. Ἂν γὰρ μὴ καὶ βίον προσθῶμεν τῆς πίστεως ἄξιον, τὴν ἐσχάτην δώσομεν δίκην. Καὶ τοῦτο ἔδειξε μὲν καὶ ἀπὸ τῶν ἄνωθεν χρόνων ὁ Μακάριος Παῦλος, ὅτε ἔλεγεν, ὅτι «πάντες τὸ αὐτὸ βρῶμα πνευματικὸν ἔφαγον, καὶ πάντες τὸ αὐτὸ πόμα πνευματικὸν ἔπιον», καὶ προσθείς, ὅτι οὐκ ἐσώθησαν· «κατεστρώθησαν γὰρ ἐν τῇ ἐρήμῳ». Ἔδειξε δὲ καὶ ἐπὶ τῶν εὐαγγελιστῶν ὁ Χριστός, ὅτε εἰσήγαγέ τινας δαίμονας ἐκβαλόντας καὶ προφητεύσαντας, καὶ εἰς κόλασιν ἀπαγομένους. Καὶ πᾶσαι δὲ αὐτοῦ αἱ παραβολαί, οἷον ἡ τῶν παρθένων, ἡ τῆς σαγήνης, ἡ τῶν ἀκανθῶν, ἡ τοῦ δένδρου τοῦ μὴ ποιοῦντος καρπόν, τὴν ἀπὸ τῶν ἔργων ἀρετὴν ἐπιζητοῦσι. Περὶ μὲν γὰρ δογμάτων ὀλιγάκις διαλέγεται· οὐδὲ γὰρ δεῖται πόνου τὸ πρᾶγμα· περὶ δὲ βίου πολλάκις, μᾶλλον δὲ πανταχοῦ· διηνεκὴς γὰρ ὁ πρὸς τοῦτο πόλεμος, διὸ καὶ ὁ πόνος.

Καὶ τί λέγω πολιτείαν ὁλόκληρον; Καὶ γὰρ μέρος αὐτῆς

22. Α' Κορ. 10, 3-5.
23. Πρβλ. Ματθ. 7, 22-23.

αὐτὸ συνέβη παρ' ἐλπίδα καὶ παρὰ προσδοκίαν καὶ ἔγιναν αὐτοὶ ποὺ ἦλθον ἀργότερα ἴσοι μὲ ἐκείνους ποὺ ἦλθον ἀπὸ τὴν ἀρχήν, ἔτσι θὰ συμβῇ καὶ αὐτὸ ποὺ εἶναι πιὸ παράδοξον ἀπὸ αὐτό, τὸ νὰ γίνουν δηλαδὴ οἱ τελευταῖοι πρῶτοι καὶ οἱ πρῶτοι τελευταῖοι. Ὥστε ἄλλο εἶναι τὸ ἕνα καὶ ἄλλο τὸ ἄλλο. Ἔχω τὴν ἐντύπωσιν ὅτι αὐτὰ τὰ λέγει ὑπονοῶν τοὺς Ἰουδαίους καὶ τοὺς πιστοὺς ἐκείνους ποὺ κατ' ἀρχὴν διαπρέπουν εἰς τὴν ἀρετήν, ἀλλ' ὕστερα γίνονται ἀδιάφοροι δι' αὐτὴν καὶ ὡδηγήθησαν εἰς χειροτέραν θέσιν, καθὼς καὶ ἐκείνους πάλιν ποὺ ἐπέστρεψαν ἀπὸ τὴν κακίαν εἰς τὴν ἀρετὴν καὶ ὑπερέβαλον πολλούς. Διότι βλέπομεν τὰς μεταβολὰς αὐτοῦ τοῦ εἴδους νὰ συμβαίνουν καὶ εἰς τὴν πίστιν καὶ εἰς τὴν ζωήν.

Διὰ τοῦτο σᾶς παρακαλῶ νὰ ἐπιδεικνύωμεν πολλὴν προθυμίαν καὶ νὰ μένωμεν ἀκλόνητοι εἰς τὴν ὀρθὴν πίστιν καὶ νὰ ἐπιδεικνύωμεν ἄριστον βίον. Διότι ἐὰν δὲν ἐπιδείξωμεν καὶ βίον ἀντάξιον τῆς πίστεως, θὰ ὑποστῶμεν τὴν πιὸ φοβερὰν τιμωρίαν. Καὶ αὐτὸ μὲν τὸ ἔδειξεν ὁ μακάριος Παῦλος καὶ ἀπὸ αὐτὰ ποὺ συνέβησαν κατὰ τοὺς πρώτους ἐκείνους χρόνους, ὅταν ἔλεγεν, ὅτι «Ὅλοι ἔφαγον τὴν ἰδίαν πνευματικὴν τροφὴν καὶ ὅλοι ἔπιον τὸ ἴδιον πνευματικὸν ποτόν», καὶ προσέθεσεν, ὅτι δὲν ἐσώθησαν· «διότι ἔπεσαν νεκροὶ εἰς τὴν ἔρημον»[22]. Ἀλλὰ τὸ ἔδειξε καὶ ὁ Χριστὸς καὶ εἰς τοὺς εὐαγγελιστάς, ὅταν παρουσίασεν ὡρισμένους ποὺ ἐξεδίωξαν δαίμονας καὶ ἐπροφήτευσαν, καὶ παρὰ ταῦτα ὡδηγήθησαν εἰς τὴν κόλασιν[23]. Ἀλλὰ καὶ ὅλαι αἱ παραβολαί του, ὅπως ἡ τῶν παρθένων, τῆς σαγήνης, τῶν ἀκανθῶν, τοῦ δένδρου ποὺ δὲν ἔκανε καρπόν, ζητοῦν τὴν ἀρετὴν ποὺ πηγάζει ἀπὸ τὰ ἔργα. Πράγματι, διὰ μὲν τὰ δόγματα ὁμιλεῖ πολὺ σπάνια, διότι αὐτὸ δὲν ἀπαιτεῖ πολὺν κόπον, ἐνῷ πολλὰς φορὰς ὁμιλεῖ περὶ τοῦ τρόπου τῆς ζωῆς, μᾶλλον δὲ πάντοτε· διότι εἶναι διαρκὴς ὁ πόλεμος πρὸς τὸν σκοπὸν αὐτόν, διὰ τοῦτο καὶ ὁ κόπος εἶναι διαρκής.

Καὶ διατί λέγω δι' ὁλόκληρον τὸν τρόπον τῆς ζωῆς τοῦ

παροφθὲν μεγάλα ἐπάγει κακά· οἷον ἐλεημοσύνη παροφθεῖσα εἰς γέενναν ἐμβάλλει τοὺς ὑστερηκότας· καίτοι οὐχ ὁλόκληρος τοῦτο ἀρετή, ἀλλὰ μέρος αὐτῆς. Ἀλλ' ὅμως καὶ αἱ παρθένοι διὰ τὸ μὴ ταύτην ἔχειν ἐκολάσθησαν· καὶ ὁ πλούσιος διὰ τοῦτο ἀπετηγανίζετο· καὶ οἱ πεινῶντα μὴ θρέψαντες ἐντεῦθεν μετὰ τοῦ διαβόλου καταδικάζονται. Πάλιν τὸ μὴ λοιδορεῖν μέρος αὐτῆς ἐστιν ἐλάχιστον· ἀλλ' ὅμως καὶ τοῦτο ἐκβάλλει τοὺς μὴ κατωρθωκότας. «Ὁ γὰρ εἰπὼν τῷ ἀδελφῷ αὐτοῦ, μωρέ, ἔνοχος ἔσται εἰς τὴν γέενναν τοῦ πυρός». Πάλιν ἡ σωφροσύνη καὶ αὐτὴ μέρος ἐστίν· ἀλλ' ὅμως χωρὶς ταύτης οὐδεὶς ὄψεται τὸν Κύριον. «Εἰρήνην» γάρ, φησί, «διώκετε, καὶ τὸν ἁγιασμόν, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον».

Καὶ ἡ ταπεινοφροσύνη δὲ ὁμοίως μόριόν ἐστιν ἀρετῆς· ἀλλ' ὅμως κἂν ἑτερά τις ἐπιτελέσῃ καλά, ταύτην δὲ μὴ κατορθώσῃ, ἀκάθαρτος παρὰ τῷ Θεῷ. Καὶ δῆλον ἐκ τοῦ Φαρισαίου, ὃς μυρίοις κομῶν ἀγαθοῖς, ἐντεῦθεν πάντα ἀπώλεσεν. Ἐγὼ δέ τι καὶ τούτων πλέον εἰπεῖν ἔχω πάλιν. Οὐ γὰρ δὴ μόνον ἕν τι αὐτῶν παροφθὲν ἀποκλείει τὸν οὐρανὸν ἡμῖν, ἀλλὰ κἂν γένηται μέν, μὴ μετὰ τῆς προσηκούσης δὲ ἀκριβείας καὶ ὑπερβολῆς, τὸ αὐτὸ τοῦτο πάλιν ποιεῖ. «Ἐὰν γὰρ μὴ περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν, φησίν, πλέον τῶν γραμματέων καὶ Φαρισαίων, οὐκ εἰσελεύσεσθε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν». Ὥστε κἂν ἐλεημοσύνην δῷς, μὴ πλείονα δὲ ἐκείνων, οὐκ εἰσελεύσῃ.

Καὶ πόσην ἐκεῖνοι παρεῖχον ἐλεημοσύνην; φησί. Τοῦτο

---

24. Ματθ. 5, 22.
25. Ἐβρ. 12, 14.
26. Ματθ. 5, 20.

ἀνθρώπου; Καθ' ὅσον καὶ μέρος αὐτῆς ἂν παραλειφθῇ, προξενεῖ μεγάλα κακά, ὅπως ἐπὶ παραδείγματι ἡ ἐλεημοσύνη ἂν παραλειφθῇ ρίπτει εἰς τὴν γέενναν αὐτοὺς ποὺ ὑστέρησαν εἰς αὐτήν, ἂν καὶ αὐτὸ δὲν εἶναι ὁλόκληρος ἡ ἀρετή, ἀλλὰ μέρος αὐτῆς. Ἀλλ' ὅμως καὶ αἱ παρθένοι ἐτιμωρήθησαν ἐπειδὴ δὲν εἶχον αὐτήν· καὶ ὁ πλούσιος διὰ τὸν λόγον αὐτὸν κατεκαίγετο· καὶ αὐτοὶ ποὺ δὲν ἔθρεψαν εἰς τὴν ἐδῶ ζωὴν πεινασμένον, καταδικάζονται μαζὶ μὲ τὸν διάβολον. Ἐπίσης τὸ νὰ μὴ λοιδορῇ κανεὶς ἀποτελεῖ ἐλάχιστον μέρος τῆς ἀρετῆς· ἀλλ' ὅμως καὶ αὐτὸ ἐκδιώκει ἀπὸ τὴν βασιλείαν ἐκείνους ποὺ δὲν τὸ κατώρθωσαν αὐτό. «Διότι αὐτὸς ποὺ θὰ εἰπῇ τὸν ἀδελφόν του, μωρέ, θὰ κριθῇ ἔνοχος καὶ θὰ ριφθῇ εἰς τὴν γέενναν τοῦ πυρός»[24]. Καὶ ἡ σωφροσύνη πάλιν καὶ αὐτὴ εἶναι μέρος τῆς ἀρετῆς, ἀλλ' ὅμως χωρὶς αὐτὴν κανεὶς δὲν θὰ ἰδῇ τὸν Κύριον. Διότι λέγει· «Προσπαθῆτε νὰ ἔχετε εἰρήνην μὲ ὅλους καὶ ἁγιασμόν, χωρὶς τὸν ὁποῖον κανεὶς δὲν θὰ ἰδῇ τὸν Κύριον»[25].

Καὶ ἡ ταπεινοφροσύνη δὲ ὁμοίως ἀποτελεῖ μόριον τῆς ἀρετῆς, ἀλλ' ὅμως καὶ ἂν ἀκόμη κανεὶς κάνῃ ἄλλα καλά, δὲν κατορθώσῃ ὅμως αὐτήν, εἶναι ἀκάθαρτος ἐνώπιον τοῦ Θεοῦ. Καὶ αὐτὸ γίνεται φανερὸν ἀπὸ τὸν Φαρισαῖον, ὁ ὁποῖος ἐκαυχᾶτο διὰ τὰ ἄπειρα καλὰ ποὺ ἔκανεν, ὅμως τὰ ἔχασεν ὅλα ἐξ αἰτίας αὐτῆς τῆς ὑπερηφανείας του. Ὅμως ἐγὼ ἔχω καὶ πάλιν νὰ σᾶς εἰπῶ κάτι ἐπὶ πλέον ἀπὸ αὐτά. Ὅτι δηλαδὴ δὲν ἀποκλείει ἀπὸ τὸν οὐρανὸν μόνον ἕνα ἂν παραλειφθῇ ἀπὸ αὐτά, ἀλλὰ καὶ ἂν ἀκόμη γίνεται ὄχι ὅμως μὲ πρέπουσαν ἀκρίβειαν καὶ ὑπερβολήν, ἔχει καὶ πάλιν τὸ ἴδιο ἀποτέλεσμα. «Διότι», λέγει, «ἐὰν ἡ ἀρετή σας δὲν ξεπεράσῃ τὴν ἀρετὴν τῶν γραμματέων καὶ τῶν Φαρισαίων, δὲν θὰ εἰσέλθετε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν»[26]. Ὥστε καὶ ἂν ἀκόμη δώσῃς ἐλεημοσύνην, ἐὰν δὲν δώσῃς περισσότερα ἀπὸ ἐκεῖνα ποὺ ἔδιδον ἐκεῖνοι, δὲν θὰ εἰσέλθῃς εἰς τὴν οὐράνιον βασιλείαν.

Ἀλλὰ θὰ εἰπῇ κάποιος· Καὶ πόσην ἐλεημοσύνην ἔδιδον

γὰρ αὐτὸ εἰπεῖν βούλομαι νῦν, ἵνα οἱ μὲν μὴ διδόντες διανασιῶσι πρὸς τὸ δοῦναι, οἱ δὲ διδόντες μὴ μέγα φρονῶσιν, ἀλλὰ προσθήκην ἐργάζωνται. Τί οὖν ἐδίδοσαν ἐκεῖνοι; Τῶν ὄντων ἁπάντων δεκάτην, καὶ πάλιν ἑτέραν δεκάτην, καὶ μετὰ ταύτην, τρίτην· ὥστε παρ' οὐδὲν τὸ τρίτον τῆς οὐσίας παρεῖχον· τρεῖς γὰρ δεκάται συντιθέμεναι τοῦτο ποιοῦσι. Καὶ μετὰ τούτων καὶ ἀπαρχάς, καὶ πρωτότοκα, καὶ ἕτερα πλείονα· οἷον τὰ ὑπὲρ ἁμαρτημάτων, τὰ ὑπὲρ καθαρισμῶν, τὰ ἐν ἑορταῖς, τὰ ἐν τῷ ἰωβηλαίῳ, τὰ ἐν ταῖς τῶν χρεῶν ἀποκοπαῖς, καὶ τῶν οἰκετῶν ἀφέσεσι, καὶ τοῖς δανείσμασι τοῖς τόκων ἀπηλλαγμένοις. Εἰ δὲ ὁ τὸ τρίτον δοὺς τῶν ὄντων, μᾶλλον δὲ τὸ ἥμισυ (μετὰ γὰρ τούτων ἐκεῖνα συντιθέμενα τὸ ἥμισύ ἐστιν), εἰ τοίνυν ὁ τὸ ἥμισυ διδούς, οὐδὲν μέγα ἐργάζεται· ὁ μηδὲ τὸ δέκατον παρέχων τίνος ἄξιος ἔσται; Εἰκότως ἔλεγεν, «ὀλίγοι οἱ σῳζόμενοι».

5. Μὴ δὴ καταφρονῶμεν τῆς κατὰ τὸν βίον ἐπιμελείας. Εἰ γὰρ μέρος αὐτοῦ καταφρονούμενον ἓν τοσαύτην φέρει τὴν ἀπώλειαν, ὅταν πανταχόθεν ὦμεν τῇ καταδικαζούσῃ ψήφῳ, πῶς διαφευξώμεθα τὴν κόλασιν; ποίαν δὲ οὐ τίσομεν δίκην; Καὶ ποία ἡμῖν σωτηρίας ἐλπίς, φησίν, εἰ τῶν ἀπηριθμημένων ἕκαστον τὴν γέενναν ἡμῖν ἀπειλεῖ; Καὶ ἐγὼ τοῦτο λέγω· πλὴν ἐὰν προσέχωμεν, δυνατὸν σωθῆναι, τὰ τῆς ἐλεημοσύνης κατασκευάζοντας φάρμακα, καὶ τὰ τραύματα θεραπεύοντας. Οὐ γὰρ οὕτως ἕλαιον σῶμα ῥώννυσιν, ὡς φιλανθρωπία ψυχὴν καὶ ῥώννυσι, καὶ ἀχείρωτον πᾶσιν ἐργάζεται, καὶ ἀνάλωτον τῷ διαβόλῳ ποιεῖ. Ὅπου γὰρ ἂν κατάσχῃ,

ἐκεῖνοι; Αὐτὸ λοιπὸν θέλω καὶ ἐγὼ νὰ σᾶς εἰπῶ τώρα, ὥστε αὐτοὶ μὲν ποὺ δὲν δίδουν νὰ παρακινηθοῦν νὰ δίδουν, ἐνῷ αὐτοὶ ποὺ δίδουν νὰ μὴ μεγαλοφρονοῦν, ἀλλὰ νὰ τὴν αὐξάνουν συνεχῶς. Τί λοιπὸν ἔδιδον ἐκεῖνοι; Ἔδιδον τὸ ἕνα δέκατον ὅλης τῆς περιουσίας των καὶ πάλιν ἄλλο ἕνα δέκατον, καὶ μετὰ ἀπὸ αὐτὴν τρίτον δέκατον· ὥστε ἔδιδον σχεδὸν τὸ ἕνα τρίτον τῆς περιουσίας των· διότι ἐὰν προστεθοῦν τὰ τρία δέκατα κάνουν αὐτό. Καὶ μαζὶ μὲ αὐτὰ προσέφερον καὶ τὰς ἀπαρχὰς καὶ τὰ πρωτότοκα καὶ πολλὰ ἄλλα, ὅπως ἐπὶ παραδείγματι τὰς ὑπὲρ τῶν ἁμαρτημάτων προσφοράς, τὰς ὑπὲρ τῶν καθαρισμῶν, τὰς κατὰ τὰς ἑορτάς, τὰς κατὰ τὸ ἰωβηλαῖον ἔτος, τὰς προσφορὰς παραγραφῆς τῶν χρεῶν, τὴν ἀπελευθέρωσιν τῶν δούλων καὶ τὰ ἀπηλλαγμένα τόκων δάνεια. Ἐὰν δὲ αὐτὸς ποὺ δίδει τὸ τρίτον τῆς περιουσίας του, ἢ καλύτερα τὸ ἥμισυ (διότι προστιθέμενα αὐτὰ μαζὶ μὲ ἐκεῖνα κάνουν τὸ ἥμισυ τῆς περιουσίας), ἐὰν λοιπὸν αὐτὸς ποὺ δίδει τὸ ἥμισυ, δὲν κάνει τίποτε τὸ σπουδαῖον, αὐτὸς ποὺ δὲν δίδει οὔτε κἂν τὸ δέκατον τῆς περιουσίας του τίνος ἄξιος θὰ εἶναι; Εἶχε δίκαιον λοιπὸν ποὺ ἔλεγεν, «εἶναι ὀλίγοι οὗτοι ποὺ σώζονται».

5. Ἂς μὴ περιφρονοῦμεν λοιπὸν τὴν φροντίδα διὰ τὸν τρόπον τῆς ζωῆς μας. Διότι ἐὰν μόνον ἕνα μέρος αὐτῆς περιφρονούμενον ὁδηγεῖ εἰς τόσον μεγάλην ἀπώλειαν, ὅταν εἴμεθα ὑπεύθυνοι ἀπέναντι τῆς καταδικαζούσης ἀποφάσεως ἀπὸ παντοῦ, πῶς θ' ἀποφύγωμεν τὴν τιμωρίαν; ποίαν τιμωρίαν δὲν θὰ ὑποστῶμεν; Καὶ ποία ἐλπὶς σωτηρίας, λέγει, ὑπάρχει δι' ἡμᾶς, ἐὰν τὸ καθένα ἀπὸ αὐτὰ ποὺ ἀριθμήσαμεν μᾶς ἀπειλῇ μὲ τὴν γέενναν; Καὶ ἐγὼ αὐτὸ λέγω· ἐκτὸς βέβαια ἐὰν προσέχωμεν, ὁπότε εἶναι δυνατὸν νὰ σωθῶμεν, παρασκευάζοντες τὰ φάρμακα τῆς ἐλεημοσύνης καὶ θεραπεύοντες τὰ τραύματα. Διότι δὲν τονώνει τὸ σῶμα τόσον πολὺ τὸ λάδι, ὅσον ἐνδυναμώνει τὴν ψυχὴν ἡ φιλανθρωπία, ποὺ τὴν καθιστᾷ ἀκατανίκητον ἀπὸ ὅλους καὶ ἀπόρθητον ἀπὸ τὸν διάβολον. Καθ' ὅσον ἀπὸ ὅπου καὶ ἂν τὴν πιά-

διολισθαίνει λοιπόν, οὐκ ἐῶντος τοῦ ἐλαίου τούτου τοῖς νώτοις τοῖς ἡμετέροις ἐνιζάνειν τὰς ἐκείνου λαβάς. Τούτῳ τοίνυν ἑαυτοὺς συνεχῶς ἀλείφωμεν τῷ ἐλαίῳ. Καὶ γὰρ ὑγιείας ἐστὶν ὑπόθεσις, καὶ φωτὸς χορηγία, καὶ φαιδρότητος ἀφορμή. Ἀλλ' ὁ δεῖνα, φησί, τόσα καὶ τόσα ἔχει τάλαντα χρυσίου, καὶ οὐδὲν προΐεται. Καὶ τί τοῦτο πρὸς σέ; Οὕτω γὰρ θαυμαστότερος σὺ φανήσῃ, ὅταν ἀπὸ πενίας φιλοτιμότερος ἐκείνου γένῃ. Οὕτω καὶ Μακεδόνας ὁ Παῦλος ἐθαύμασεν· οὐχ ὅτι παρέσχον, ἀλλ' ὅτι καὶ ἐν πτωχείᾳ ὄντες παρέσχον. Μὴ δὴ πρὸς τούτους ἴδῃς, ἀλλὰ πρὸς τὸν κοινὸν ἁπάντων διδάσκαλον, ὃς οὐκ εἶχε ποῦ τὴν κεφαλὴν κλῖναι.

Καὶ διατί, φησίν, ὁ δεῖνα καὶ ὁ δεῖνα τοῦτο οὐ ποιεῖ; Μὴ κρῖνε ἕτερον, ἀλλὰ σεαυτὸν ἀπάλλαξον τῆς κατηγορίας. Ἐπεὶ μείζων ἡ κόλασις, ὅταν καὶ ἑτέροις ἐγκαλῇς, καὶ αὐτὸς μὴ ποιῇς· ὅταν ἄλλους κρίνων, τῷ αὐτῷ κρίματι πάλιν ὑπεύθυνος ᾖς καὶ αὐτός. Εἰ γὰρ οὐδὲ κατορθοῦντας κρίνειν ἐφίεται ἑτέρους, πολλῷ μᾶλλον πταίοντας. Μὴ τοίνυν κρίνωμεν ἑτέρους, μηδὲ πρὸς ἑτέρους ῥᾳθυμοῦντας βλέπωμεν, ἀλλὰ πρὸς τὸν Ἰησοῦν, καὶ ἐκεῖθεν τὰ ὑποδείγματα φέρωμεν. Μὴ γὰρ ἐγώ σε εὐηργέτησα; μὴ γὰρ ἐγώ σε ἐλυτρωσάμην, ἵνα πρὸς ἐμὲ βλέπῃς; Ἕτερός ἐστιν ὁ ταῦτά σοι παρασχών. Τί τὸν δεσπότην ἀφεὶς, πρὸς τὸν σύνδουλον ὁρᾷς; Οὐκ ἤκουσας αὐτοῦ λέγοντος, «μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ»; καὶ πάλιν, «ὁ θέλων ἐν ὑμῖν εἶναι πρῶτος, ἔστω πάντων διάκονος»; καὶ πάλιν, «καθὼς ὁ Υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθε διακονηθῆναι, ἀλλὰ διακονῆσαι»;

---

27. Ματθ. 11, 29.
28. Ματθ. 20, 26.

σῃ, ξεγλιστρᾷ πλέον, διότι δὲν ἀφήνει τὸ λάδι αὐτὸ τὰ χέρια του νὰ συγκρατήσουν τὰ νῶτα μας. Ἂς ἀλείφωμεν λοιπῶν συνεχῶς τοὺς ἑαυτούς μας μὲ αὐτὸ τὸ λάδι. Διότι εἶναι ὑπόθεσις ὑγείας, χορηγία φωτὸς καὶ ἀφορμὴ χαρᾶς.

Ἀλλ' ὁ τάδε, θὰ εἰπῇ κάποιος, ἔχει τόσα πολλὰ τάλαντα χρυσοῦ καὶ δὲν δίδει τίποτε. Καὶ τί σχέσιν ἔχει αὐτὸ μὲ σένα; Διότι ἔτσι θὰ φανῇς θαυμαστότερος, ἀφοῦ θὰ γίνῃς πιὸ γενναιόδωρος, ἂν καὶ εἶσαι πτωχός. Διὰ τὸν ἴδιον λόγον καὶ ὁ Παῦλος ἐθαύμασε τοὺς Μακεδόνας, ὄχι ἐπειδὴ προσέφερον, ἀλλ' ἐπειδὴ προσέφερον, μολονότι ἦσαν πτωχοί. Μὴ βλέπῃς λοιπὸν αὐτούς, ἀλλὰ βλέπε τὸν κοινὸν διδάσκαλον ὅλων γενικῶς, ὁ ὁποῖος δὲν εἶχε ποῦ νὰ γείρῃ τὸ κεφάλι του.

Καὶ διατί, θὰ εἰπῇ κάποιος, ὁ τάδε καὶ ὁ τάδε δὲν τὸ κάνει αὐτό; Μὴ κρίνῃς ἄλλον, ἀλλὰ τὸν ἑαυτόν σου ἀπάλλαξε ἀπὸ τὴν κατηγορίαν. Διότι ἡ κόλασις εἶναι μεγαλυτέρα, ὅταν καὶ τοὺς ἄλλους κατηγορῇς διὰ κάτι καὶ ὁ ἴδιος δὲν τὸ πράττῃς· ὅταν κρίνων τοὺς ἄλλους εἶσαι καὶ σὺ ὁ ἴδιος ὑπεύθυνος διὰ τὸ ἴδιο πράπτωμα. Ἐὰν λοιπὸν δὲν ἐπιτρέπῃ οὔτε τοὺς ἐναρέτους νὰ κρίνουν τοὺς ἄλλους, πολὺ περισσότερον δὲν ἐπιτρέπει νὰ τὸ κάνουν αὐτὸ αὐτοὶ ποὺ ὑποπίπτουν εἰς πταίσματα. Ἂς μὴ κρίνωμεν λοιπὸν τοὺς ἄλλους, οὔτε νὰ βλέπωμεν τοὺς ἄλλους ποὺ δείχνουν ἀδιαφορίαν, ἀλλὰ νὰ ἔχωμεν τὸ βλέμμα μας ἐστραμμένον πρὸς τὸν Ἰησοῦν καὶ ἀπὸ ἐκεῖνον νὰ παίρνωμεν τὰ παραδείγματα. Διότι, μήπως ἐγὼ σὲ εὐεργέτησα; μήπως ἐγὼ σὲ ἐλύτρωσα, ὥστε νὰ ἔχῃς ἐστραμμένην τὴν προσοχήν σου πρὸς ἐμένα; Ἄλλος εἶναι αὐτὸς ποὺ σοῦ τὰ ἐχάρισεν αὐτά. Διατί ἀφήνεις τὸν Κύριον καὶ βλέπεις πρὸς τὸν σύνδουλον; Δὲν τὸν ἤκουσες ποὺ λέγει, «Μάθετε ἀπὸ ἐμένα, ὅτι εἶμαι πρᾷος καὶ ταπεινὸς κατὰ τὴν καρδίαν»[27]; καὶ πάλιν· «αὐτὸς ποὺ θέλει νὰ εἶναι πρῶτος μεταξύ σας, ὀφείλει νὰ εἶναι δοῦλος ὅλων»;[28] καὶ πάλιν· «Ὅπως ἀκριβῶς ὁ Υἱὸς τοῦ ἀνθρώπου δὲν ἦλθε διὰ νὰ ὑπηρετηθῇ, ἀλλὰ διὰ νὰ ὑπηρε-

Καὶ μετὰ ταῦτα πάλιν, ἵνα μὴ προσπταίων τοῖς ῥαθύμοις τῶν συνδούλων μένῃς ἐν ὀλιγωρίᾳ, ἀφέλκων σε τούτων φησίν· «ὑπόδειγμα ἔδωκα ὑμῖν ἐμαυτόν, ἵνα καθὼς ἐποίησα, καὶ ὑμεῖς ποιῆτε».

Ἀλλ' οὐκ ἔστι σοι διδάσκαλος ἀρετῆς τῶν συνόντων ἀνθρώπων οὐδείς, οὐδὲ οἷος εἰς ταῦτα ἐνάγειν; Οὐκοῦν πλείων ὁ ἔπαινος, μεῖζον τὸ ἐγκώμιον, ὅτι μηδὲ διδασκάλων εὐπορῶν γέγονας σὺ θαυμαστός. Καὶ γὰρ δυνατὸν τοῦτο καὶ σφόδρα ῥάδιον, ἐὰν θέλωμεν· καὶ δηλοῦσιν οἱ πρῶτοι ταῦτα κατορθώσαντες· οἷον Νῶε, Ἀβραάμ, ὁ Μελχισεδέκ, ὁ Ἰώβ, καὶ οἱ καὶ' ἐκείνους ἅπαντες ἄνθρωποι· πρὸς οὓς ἀναγκαῖον καθ' ἑκάστην ἡμέραν ὁρᾶν, ἀλλὰ μὴ πρὸς τούτους, οὓς οὐδέποτε παύεσθε ζηλοῦντες, καὶ ἐν τοῖς συλλόγοις τοῖς ἡμετέροις περιφέροντες. Καὶ γὰρ οὐδὲν ἄλλο παντιαχοῦ λεγόντων ἀκούω, ἀλλ' ἢ ταυτὶ τὰ ῥήματα· Ὁ δεῖνα ἐκτήσατο πλέθρα γῆς τόσα καὶ τόσα, ὁ δεῖνα πλουτεῖ, οἰκοδομεῖ.

Τί κέχηνας, ἄνθρωπε, ἔξω; τί πρὸς ἑτέρους βλέπεις; Εἰ βούλει πρὸς ἑτέρους ἰδεῖν, τοὺς κατορθοῦντας βλέπε, τοὺς εὐδοκιμοῦντας, τοὺς τὸν νόμον μετὰ ἀκριβείας ἀποπληροῦντας, μὴ τοὺς προσκεκρουκότας καὶ ἠτιμωμένους. Ἂν γὰρ πρὸς τούτους βλέπῃς, πολλὰ ἐντεῦθεν συλλέξεις κακά, εἰς ῥαθυμίαν ἐμπίπτων, εἰς ἀπόνοιαν, εἰς τὸ καταδικάζειν ἑτέρους· ἐὰν δὲ τοὺς κατορθοῦντας ἀριθμῇς, εἰς ταπεινοφροσύνην, εἰς σπουδήν, εἰς κατάνυξιν, εἰς τὰ μυρία σεαυτὸν εἰσάξεις ἀγαθά. Ἄκουσον τί ἔπαθεν ὁ Φαρισαῖος, ἐπειδὴ τοὺς κατορθοῦντας ἀφείς, τὸν πταίσαντα εἶδεν· Ἄκουσον καὶ φοβήθητι. Βλέπε πῶς θαυμαστὸς ἐγένετο ὁ Δαυΐδ, ἐπειδὴ

29. Ματθ. 20, 28.
30. Ἰω. 13, 15.

τήσῃ»[29]; Καὶ εἰς τὴν συνέχειαν μετὰ ἀπὸ αὐτά, διὰ νὰ μὴ παίρνῃς ἀφορμὴν ἀπὸ τοὺς ἀδιαφόρους συνδούλους σου καὶ μένῃς ἀδιάφορος καὶ σύ, σὲ ἀπομακρύνει ἀπὸ αὐτοὺς μὲ τοὺς λόγους του· «Σᾶς ἔδωσα ὡς παράδειγμα τὸν ἑαυτόν μου, ὥστε, ὅπως ἐγὼ ἔπραξα, καὶ σεῖς νὰ πράττετε»[30].

Ἀλλὰ δὲν ὑπάρχει κανεὶς διδάσκαλος τῆς ἀρετῆς δι' ἐσένα ἀπὸ τοὺς γύρω σου συνανθρώπους, οὔτε κάποιος σχετικὸς ποὺ νὰ σοῦ ὑποδείξῃ αὐτά; Τότε λοιπὸν θὰ εἶναι μεγαλύτερος ὁ ἔπαινος καὶ μεγαλύτερον τὸ ἐγκώμιον, διότι ἔγινες σὺ θαυμαστὸς χωρὶς νὰ ἔχῃς διδασκάλους. Καὶ αὐτὸ βέβαια εἶναι δυνατὸν καὶ πάρα πολὺ εὔκολον, ἐὰν θέλωμεν ἡμεῖς, καὶ τὸ ἐπιβεβαιώνουν αὐτοὶ ποὺ πρῶτοι τὸ κατώρθωσαν αὐτό, ὅπως ἐπὶ παραδείγματι ὁ Νῶε, ὁ Ἀβραάμ, ὁ Μελχισεδέκ, ὁ Ἰὼβ καὶ ὅλοι οἱ παρόμοιοι μὲ αὐτοὺς ἄνθρωποι, πρὸς τοὺς ὁποίους πρέπει καθημερινῶς νὰ ἔχωμεν ἐστραμμένα τὰ βλέμματά μας, καὶ ὄχι πρὸς αὐτούς, τοὺς ὁποίους δὲν παύετε ποτὲ νὰ μιμῆσθε καὶ νὰ τοὺς προβάλλετε διαρκῶς εἰς τὰς συγκεντρώσεις σας. Καθ' ὅσον παντοῦ, τίποτε ἄλλο δὲν ἀκούω νὰ λέγουν, παρὰ αὐτὰ ἐδῶ τὰ λόγια· Ὁ τάδε ἀπέκτησε τόσα καὶ τόσα πλέθρα γῆς, ὁ τάδε εἶναι πλούσιος, ὁ τάδε κτίζει σπίτια.

Διατί, ἄνθρωπέ μου, μένεις μὲ ἀνοικτὸν τὸ στόμα σου βλέπων τοὺς ἔξω; διατί προσέχεις τοὺς ἄλλους; Ἐὰν θέλῃς νὰ προσέχῃς τοὺς ἄλλους, πρόσεχε τοὺς ἐναρέτους, αὐτοὺς ποὺ ἐπρόκοψαν εἰς τὴν ἀρετήν, αὐτοὺς ποὺ τηροῦν μὲ ἀκρίβειαν τὸν νόμον, καὶ ὄχι τοὺς καταπατοῦντας καὶ περιφρονοῦντας αὐτόν. Διότι ἐὰν προσέχῃς αὐτούς, θ' ἀποκομίσῃς ἀπὸ αὐτοὺς πολλὰ κακά, θὰ γίνῃς ἀδιάφορος, ἐγωιστής, καταδικαστὴς τῶν ἄλλων, ἐνῷ ἐὰν ἀπαριθμῇς τοὺς ἐναρέτους θὰ ὁδηγήσῃς τὸν ἑαυτόν σου εἰς ταπεινοφροσύνην, εἰς προθυμίαν, εἰς κατάνυξιν, εἰς τὰ ἄπειρα ἀγαθά. Ἄκουσε τί ἔπαθεν ὁ Φαρισαῖος, ἐπειδὴ παρέβλεψε τοὺς ἐναρέτους καὶ ἐπρόσεξε τὸν ἁμαρτωλόν· ἄκουσε καὶ φοβήσου. Πρόσεχε πῶς ὁ Δαυὶδ ἔγινε θαυμαστός, ἐπειδὴ εἶχεν ἐστραμμένον τὸ

πρὸς τοὺς προγόνους αὐτοῦ τοὺς κατ' ἀρετὴν ἔβλεπε. «Πάροικος γάρ», φησίν, «ἐγώ εἰμι καὶ παρεπίδημος, καθὼς πάντες οἱ πατέρες μου». Καὶ γὰρ οὗτος, καὶ πάντες οἱ κατ' αὐτόν, τοὺς ἡμαρτηκότας ἀφέντες, τοὺς εὐδοκιμηκότας ἐνενόουν. Τοῦτο καὶ σὺ ποίει. Οὐδὲ γὰρ δικαστὴς αὐτὸς κάθησαι τῶν ἑτέροις πεπλημμεληκότων, οὐδὲ ἐξεταστὴς τῶν ἄλλοις ἁμαρτανομένων· σαυτῷ κρίνειν, οὐχ ἑτέροις ἐπετάγης. «Εἰ γὰρ ἑαυτοὺς ἐκρίνομεν, φησίν, οὐκ ἂν ἐκρινόμεθα· κρινόμενοι δέ, ὑπὸ Κυρίου παιδευόμεθα». Σὺ δὲ τὴν τάξιν ἀνέτρεψας, σαυτὸν μὲν οὐ μεγάλων, οὐ μικρῶν πταισμάτων ἀπαιτῶν εὐθύνας, τὰ δὲ ἑτέρων μετὰ ἀκριβείας περιεργαζόμενος.

Ἀλλὰ μηκέτι τοῦτο ποιῶμεν, ἀλλὰ ταύτην ἀφέντες τὴν ἀταξίαν, δικαστήριον ἐν ἡμῖν αὐτοῖς καθίσωμεν τῶν ἐν ἡμῖν αὐτοῖς ἁμαρτανομένων, αὐτοὶ κατήγοροι καὶ δικασταὶ καὶ δήμιοι τῶν πλημμελημάτων γινόμενοι.

Εἰ βούλει καὶ τὰ ἑτέρων πολυπραγμονεῖν, τὰ κατορθώματα, μὴ τὰ ἁμαρτήματα περιεργάζου· ἵνα καὶ ἐκ τῆς μνήμης τῶν οἰκείων πλημμελημάτων, καὶ ἐκ τοῦ ζήλου τῶν ἑτέροις κατορθουμένων, καὶ ἐκ τῆς τοῦ ἀπαραιτήτου δικαστηρίου παρασάσεως, καθ' ἑκάστην ὥσπερ πλήκτρῳ τινὶ τῇ συνειδήσει νυττόμενοι, εἰς ταπεινοφροσύνην καὶ μείζονα σπουδὴν ἑαυτοὺς εἰσάγοντες, τῶν μελλόντων ἐπιτευξώμεθα ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

31. Ψαλμ. 38, 13.
32. Α' Κορ. 11, 31-32.

βλέμμα του πρὸς τοὺς προγόνους του ποὺ ἔζησαν ἐνάρετα. Διότι λέγει· «Ἐγὼ εἶμαι πάροικος καὶ παρεπίδημος, ὅπως ὅλοι οἱ πρόγονοί μου»[31]. Πράγματι καὶ αὐτὸς καὶ ὅλοι οἱ παρόμοιοι μὲ αὐτὸν παρέβλεψαν τοὺς ἁμαρτωλοὺς καὶ ἐσκέπτοντο αὐτοὺς ποὺ προέκοψαν εἰς ἀρετήν.

Αὐτὸ κάμνε καὶ σύ. Διότι δὲν κάθεσαι σὺ ὡς δικαστὴς τῶν παραπτωμάτων τῶν ἄλλων, οὔτε ὡς ἐξεταστὴς τῶν ἁμαρτημάτων τῶν ἄλλων· ἔλαβες ἐντολὴν νὰ κρίνῃς τὸν ἑαυτόν σου καὶ ὄχι τοὺς ἄλλους. «Διότι», λέγει, «ἐὰν κρίνωμεν τοὺς ἑαυτούς μας, δὲν θὰ ἦτο δυνατὸν νὰ καταδικασθῶμεν· ὅταν δὲ κρινώμεθα, παιδαγωγούμεθα ὑπὸ τοῦ Κυρίου»[32]. Σὺ ὅμως ἀνέτρεψες τὴν τάξιν, καὶ διὰ μὲν τὸν ἑαυτόν σου δὲν ζητεῖς εὐθύνας οὔτε διὰ τὰ μεγάλα, οὔτε διὰ τὰ μικρὰ ἁμαρτήματα, τὰ παραπτώματα ὅμως τῶν ἄλλων τὰ περιεργάζεσαι μὲ λεπτομέρειαν.

Ἂς μὴ τὸ κάνωμεν λοιπὸν εἰς τὸ ἑξῆς αὐτό, ἀλλ' ἀφοῦ τὴν ἐγκαταλείψωμεν αὐτὴν τὴν ἀταξίαν, ἂς θέσωμεν μέσα μας δικαστήριον διὰ τὰ ἰδικά μας ἁμαρτήματα, καὶ ἂς γίνωμεν οἱ ἴδιοι κατήγοροι καὶ δικασταὶ καὶ δήμιοι τῶν παραπτωμάτων μας.

Ἐὰν δὲ θέλῃς νὰ ἀσχολῆσαι καὶ μὲ τὰ θέματα τῶν ἄλλων, ἐξέταζε τότε τὰ κατορθώματά των καὶ ὄχι τὰ ἁμαρτήματά των, ὥστε καὶ μὲ τὴν ἀνάμνησιν τῶν ἰδικῶν μας παραπτωμάτων καὶ μὲ τὸν ζῆλον ποὺ θὰ ἐπιδεικνύωμεν διὰ τὰ κατορθώματα τῶν ἄλλων, καὶ μὲ τοὺς ἐλέγχους τοῦ ἀπαραιτήτου δικαστηρίου κεντούμενοι ὡσὰν μὲ πλῆκτρον καθημερινὰ εἰς τὴν συνείδησίν μας, ὁδηγοῦντες τοὺς ἑαυτούς μας εἰς ταπεινοφροσύνην καὶ μεγαλυτέραν προθυμίαν, θὰ ἐπιτύχωμεν τὰ μελλοντικὰ ἀγαθά, μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μετὰ τοῦ ὁποίου εἰς Πατέρα συγχρόνως δὲ καὶ εἰς τὸ ἅγιον Πνεῦμα ἀνήκει δόξα, δύναμις καὶ τιμή, τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΞΕ΄
Ματθ. 20, 17 - 28

«Καὶ ἀναβαίνων εἰς Ἰεροσόλυμα ὁ Ἰησοῦς, παρέλαβε τοὺς δώδεκα μαθητὰς κατ᾽ ἰδίαν ἐν τῇ ὁδῷ, καὶ εἶπεν αὐτοῖς· ἰδοὺ ἀναβαίνομεν εἰς Ἰεροσόλυμα, καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου παραδοθήσεται τοῖς ἀρχιερεῦσι καὶ γραμματεῦσι, καὶ κατακρινοῦσιν αὐτὸν θανάτῳ· καὶ παραδώσουσιν αὐτὸν τοῖς ἔθνεσιν εἰς τὸ ἐμπαῖξαι καὶ μαστιγῶσαι καὶ σταυρῶσαι· καὶ τῇ τρίτῃ ἡμέρᾳ ἐγερθήσεται».

1. Οὐκ ἀθρόον ἀναβαίνει εἰς Ἰεροσόλυμα ἐκ τῆς Γαλιλαίας ἐλθών· ἀλλὰ πρότερον θαυματουργήσας καὶ ἐπισιωμίσας Φαρισαίους, καὶ διαλεχθεὶς τοῖς μαθηταῖς περὶ ἀκτημοσύνης, «Εἰ γὰρ θέλεις τέλειος εἶναι», φησί, «πώλησόν σου τὰ ὑπάρχοντα», καὶ περὶ παρθενίας, «Ὁ δυνάμενος χωρεῖν, χωρείτω», καὶ περὶ ταπεινοφροσύνης, «Ἐὰν μὴ στραφῆτε γὰρ καὶ γένησθε ὡς τὰ παιδία, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν», καὶ περὶ ἀντιδόσεως τῶν ἐνταῦθα, «Ὅστις γὰρ ἀφῆκεν οἰκίας ἢ ἀδελφοὺς ἢ ἀδελφὰς ἑκατονταπλασίονα λήψεται ἐν τῷ αἰῶνι τούτῳ», καὶ περὶ τῶν ἀμοιβῶν τῶν ἐκεῖ, «Καὶ ζωὴν» γάρ, φησίν, «αἰώνιον κληρονομήσει», τότε προσβάλλει τῇ πόλει λοιπόν, καὶ μέλλων ἀνιέναι, πάλιν περὶ τοῦ πάθους διαλέγεται. Ἐπειδὴ γὰρ εἰκὸς ἦν αὐτούς, διὰ τὸ μὴ βούλεσθαι τοῦτο συμβῆναι, ἐπιλανθάνεσθαι, συνεχῶς αὐτοὺς ἀναμιμνήσκει, ἐγγυμνάζων αὐτῶν τὴν διάνοιαν τῇ πυκνότητι τῆς ἀναμνήσεως, καὶ τὴν λύπην ὑποτεμνόμενος. Κατ᾽ ἰδίαν δὲ αὐτοῖς διαλέγεται ἀναγκαίως· οὔ γὰρ ἔδει εἰς πολλοὺς ἐξενεχθῆναι τὸν περὶ

---

1. Ματθ. 19, 21.
2. Ματθ. 19, 12.
3. Ματθ. 18, 3.
4. Ματθ. 19, 29.
5. Ματθ. 19, 29.

ΟΜΙΛΙΑ ΞΕ΄
Ματθ. 20, 17 - 28

«Καὶ ὅταν ἀνέβαινεν ὁ Ἰησοῦς εἰς τὰ Ἱεροσόλυμα, παρέλαβε τοὺς δώδεκα μαθητάς του ἰδιαιτέρως καὶ καθὼς ἐβάδιζαν τοὺς εἶπεν· Ἰδοὺ ἀνεβαίνομεν εἰς τὰ Ἱεροσόλυμα καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου πρόκειται νὰ παραδοθῇ εἰς τοὺς ἀρχιερεῖς καὶ γραμματεῖς καὶ θὰ τὸν καταδικάσουν εἰς θάνατον. Καὶ θὰ τὸν παραδώσουν εἰς τοὺς ἐθνικοὺς διὰ νὰ τὸν ἐμπαίξουν καὶ νὰ τὸν μαστιγώσουν, ἀλλὰ τὴν τρίτην ἡμέραν, μετὰ ἀπὸ τὸν θάνατόν του, θὰ ἀναστηθῇ».

1. Δὲν ἀνεβαίνει ἀμέσως εἰς τὰ Ἱεροσόλυμα, ὅταν ἦλθεν ἀπὸ τὴν Γαλιλαίαν, ἀλλ' ἀφοῦ πρῶτα ἔκανε θαύματα καὶ ἀπεστόμωσε τοὺς Φαρισαίους καὶ ὡμίλησεν εἰς τοὺς μαθητάς του περὶ ἀκτημοσύνης, «Διότι», λέγει, «ἐὰν θέλῃς νὰ εἶσαι τέλειος, πώλησε τὰ ὑπάρχοντά σου»[1], καὶ περὶ παρθενίας, «Αὐτὸς ποὺ ἠμπορεῖ νὰ τὰ ἐφαρμόσῃ αὐτά, ἂς τὰ ἐφαρμόσῃ»[2], καὶ περὶ ταπεινοφροσύνης, «Διότι, ἐὰν δὲν ἀλλάξετε διαγωγὴν καὶ δὲν γίνετε ὡσὰν τὰ παιδιά, δὲν θὰ εἰσέλθετε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν»[3], καὶ περὶ τῆς ἀνταποδόσεως ἐδῶ εἰς τὸν κόσμον, «Διότι αὐτὸς ποὺ ἄφησεν οἰκίας ἢ ἀδελφοὺς ἢ ἀδελφὰς νὰ λάβῃ πολλαπλάσια εἰς τὴν παροῦσαν ζωήν»[4], καὶ περὶ τῶν ἀμοιβῶν εἰς τὴν ἄλλην ζωήν, «Διότι», λέγει, θὰ κληρονομήσῃ ζωὴν αἰώνιον»[5], τότε πλέον ἔρχεται εἰς τὴν πόλιν καὶ ὁμιλεῖ πάλιν διὰ τὸ πάθος του ὅταν ἐπρόκειτο ν' ἀνεβῇ εἰς αὐτήν. Διότι, ἐπειδὴ ἦτο φυσικὸν οἱ μαθηταί του, ποὺ δὲν ἤθελαν νὰ συμβῇ αὐτό, νὰ τὸ λησμονοῦν, διὰ τοῦτο τοὺς τὸ ὑπενθυμίζει συνεχῶς, γυμνάζοντας ἔτσι τὸ μυαλό τους μὲ τὰς συχνὰς ὑπενθυμίσεις καὶ μειώνοντας τὴν λύπην τους. Ἀλλ' ὅμως κατ' ἀνάγκην ὁμιλεῖ τοὺς μαθητάς του ἰδιαιτέρως, ἐπειδὴ δὲν ἔ-

τούτων λόγον, οὐδὲ σαφῶς λεχθῆναι· οὐδὲν γὰρ ἐκ τούτου πλέον ἐγίνετο. Εἰ γὰρ οἱ μαθηταὶ ἐθορυβοῦντο ταῦτα ἀκούοντες, πολλῷ μᾶλλον ὁ τῶν πολλῶν δῆμος.

Τί οὖν; οὐκ ἐλέχθη τοῖς πολλοῖς; φησίν. Ἐλέχθη μὲν καὶ πρὸς τοὺς πολλούς, οὐχ οὕτω δὲ σαφῶς. «Λύσατε» γάρ, φησί, «τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν», καί· «Σημεῖον ἐπιζητεῖ ἡ γενεὰ αὕτη, καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ, εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ»· καὶ πάλιν· «Ἔτι μικρὸν χρόνον μεθ' ὑμῶν εἰμι, καὶ ζητήσετέ με, καὶ οὐχ εὑρήσετε». Τοῖς δὲ μαθηταῖς οὐχ οὕτως, ἀλλ' ὥσπερ τὰ ἄλλα σαφέστερον ἔλεγεν, οὕτω καὶ τοῦτο εἶπε.

Καὶ τίνος ἕνεκεν, εἰ μὴ συνίεσαν οἱ πολλοὶ τῶν λεγομένων τὴν δύναμιν, καὶ ἐλέγετο; Ἵνα μάθωσι μετὰ ταῦτα, ὅτι προειδὼς ἐπὶ τὸ πάθος ἦει καὶ ἑκών, οὐκ ἀγνοῶν, οὐδὲ ἀναγκαζόμενος. Τοῖς μαθηταῖς δὲ οὐ διὰ τοῦτο μόνον προὔλεγεν, ἀλλ', ὅπερ ἔφην, ἵνα ἐγγυμνασθέντες τῇ προσδοκίᾳ, ῥᾴδιον ἐνέγκωσι τὸ πθος, καὶ μὴ ἀμελέτητον ἐπελθὸν ταράξῃ σφόδρα αὐτούς. Διά τοι τοῦτο ἐξ ἀρχῆς μὲν τὸν θάνατον ἔλεγε μόνον, ὅτε δὲ ἐμελέτησαν καὶ ἐνεγυμνάσαντο, καὶ τὰ ἄλλα προστίθησιν· οἷον, ὅτι παραδώσουσι τοῖς ἔθνεσιν, ὅτι ἐμπαίξουσι καὶ μαστιγώσουσι· τούτου τε ἕνεκεν, καὶ ἵνα ὅταν τὰ σκυθρωπὰ ἐξελθόντα ἴδωσι, καὶ τὴν ἀνάστασιν ἐντεῦθεν προσδοκήσωσιν. Ὁ γὰρ τὰ λυποῦντα οὐκ ἀποκρυ-

6. Ἰω. 2, 19.
7. Ματθ. 12, 39.
8. Ἰω. 7, 33-34.

πρεπε τὰ πλήθη νὰ γνωρίσουν τὸν λόγον του σχετικὰ μὲ αὐτά, οὔτε ἔπρεπε νὰ λεχθοῦν αὐτὰ καθαρά, ἀφοῦ δὲν ἐπρόκειτο νὰ προκύψῃ ἀπὸ αὐτὸ τίποτε τὸ ἐπὶ πλέον. Διότι ἐὰν οἱ μαθηταί του, ἀκούοντες αὐτά, ἐθορυβοῦντο, πολὺ περισσότερον θὰ συνέβαινεν αὐτὸ εἰς τὰ πλήθη τοῦ λαοῦ.

Τί λοιπόν; θὰ ἐρωτήσῃ κάποιος· δὲν ἐλέχθη αὐτὸ εἰς τὸ πλῆθος τοῦ λαοῦ; Ἐλέχθη βέβαια καὶ εἰς τὰ πλήθη τοῦ λαοῦ, ὄχι ὅμως τόσον καθαρά. Διότι, λέγει, «Κρημνίσατε αὐτὸν τὸν ναὸν καὶ εἰς τρεῖς ἡμέρας θὰ τὸν ἀνεγείρω»[6], καί· «Ἡ γενεὰ αὐτὴ ζητεῖ θαῦμα, καὶ ὅμως δὲν θὰ τῆς δοθῇ θαῦμα, παρὰ μόνον τὸ θαῦμα τοῦ Ἰωνᾶ»[7]· καὶ πάλιν· «Ὀλίγον χρόνον ἀκόμη εἶμαι μαζί σας, καὶ θὰ μὲ ζητήσετε, ἀλλὰ δὲν θὰ μὲ εὕρετε»[8]. Εἰς τοὺς μαθητάς του ὅμως δὲν ὡμίλησε κατ' αὐτὸν τὸν τρόπον, ἀλλ' ὅπως ἀκριβῶς τοὺς ἔλεγε σαφέστερον τὰ ἄλλα, ἔτσι ἀκριβῶς τοὺς εἶπε καὶ αὐτό.

Διατί ὅμως τοὺς τὸ ἔλεγεν αὐτό, ἐφ' ὅσον δὲν ἐπρόκειτο οἱ περισσότεροι νὰ ἀντιληφθοῦν τὸ βαθύτερον νόημα τῶν λόγων; Διὰ νὰ ἀντιληφθοῦν ἀργότερα, ὅταν θὰ συνέβαιναν αὐτά, ὅτι ἐβάδιζε πρὸς τὸ πάθος του προγνωρίζοντας αὐτὸ καὶ μὲ τὴν θέλησίν του, καὶ ὄχι χωρὶς νὰ τὸ γνωρίζῃ, οὔτε ὑποκινούμενος ἀπὸ κάποιαν ἀνάγκην. Ἀλλ' ὅμως εἰς τοὺς μαθητάς του δὲν τὰ προέλεγεν αὐτὰ δι' αὐτὸν καὶ μόνον τὸν λόγον, ἀλλά, ὅπως εἶπα προηγουμένως, ἀσκούμενοι μὲ τὴν προσδοκίαν, νὰ ἠμπορέσουν νὰ ὑποφέρουν εὐκολώτερα τὸ πάθος, καὶ νὰ μὴ συγκλονισθοῦν εἰς μεγάλον βαθμὸν ἐὰν αὐτὸ ἤρχετο ἐντελῶς ἀπροσδόκητα. Καὶ ἀκριβῶς διὰ τοῦτο, εἰς τὴν ἀρχὴν τοὺς ἔλεγε μόνον διὰ τὸν θάνατον, ὅταν ὅμως τὸ ἐσυνειδητοποίησαν αὐτὸ καὶ προητοιμάσθησαν καταλλήλως, τότε πλέον προσθέτει καὶ τὰ ἄλλα, ὅπως, ἐπὶ παραδείγματι, ὅτι θὰ τὸν παραδώσουν εἰς τοὺς ἐθνικούς, ὅτι θὰ τὸν ἐμπαίξουν καὶ θὰ τὸν μαστιγώσουν. Καὶ ἐξ αἰτίας αὐτοῦ λοιπόν, ἀλλὰ καὶ ὅταν θὰ ἔβλεπαν νὰ περνοῦν τὰ δυσάρεστα, νὰ ἀνέμεναν, ἐξ αἰτίας τῆς πραγματοποιήσεως τοῦ πάθους του, νὰ ἰδοῦν μὲ ἀγωνίαν καὶ τὴν ἀνάστασίν του. Καθ'

ψάμενος, καὶ τὰ δοκοῦντα εἶναι ἐπονείδιστα, εἰκότως ἔμελλε καὶ περὶ τῶν χρηστῶν πιστεύεσθαι.

Σκόπει δέ μοι, πῶς καὶ ἀπὸ τοῦ καιροῦ σαφῶς τὸ πρᾶγμα οἰκονομεῖ. Οὔτε γὰρ ἐξ ἀρχῆς αὐτοῖς εἶπεν, ἵνα μὴ διαταράξῃ· οὔτε πρὸς αὐτῷ τῷ καιρῷ, ἵνα μὴ κἀντεῦθεν θορυβήσῃ· ἀλλ' ὅτε πεῖραν αὐτοῦ τῆς δυνάμεως ἔλαβον ἀρκοῦσαν, ὅτε μεγάλας ἔδωκε τὰς ἐπαγγελίας περὶ τῆς ζωῆς τῆς αἰωνίου, τότε καὶ τὸν περὶ τούτων ἐμβάλλει λόγον, καὶ ἅπαξ καὶ δὶς καὶ πολλάκις, ἐνυφαίνων αὐτὸν τοῖς θαύμασι καὶ ταῖς διδασκαλίαις.

Ἕτερος δὲ εὐαγγελιστής φησιν, ὅτι καὶ τοὺς προφήτας παρῆγε μάρτυρας· ἄλλος δέ φησιν, ὅτι καὶ αὐτοὶ οὐ συνίεσαν τὰ λεγόμενα, ἀλλ' ἦν κεκρυμένον τὸ ῥῆμα ἀπ' αὐτῶν, καὶ ὅτι ἐθαμβοῦντο ἀκολουθοῦντες αὐτῷ. Οὐκοῦν ἀνήρηται, φησί, τῆς προρρήσεως τὸ κέρδος. Εἰ γὰρ μὴ ἤδεσαν ἅπερ ἤκουον, οὐδὲ προσδοκᾶν εἶχον· μὴ προσδοκῶντες δέ, οὐδέ γυμνάζεσθαι ταῖς ἐλπίσιν. Ἐγὼ δὲ καὶ ἕτερον τούτου ἀπορώτερόν φημι, ὅτι εἰ μὴ ἤδεσαν, πῶς ἐλυποῦντο; Καὶ γὰρ ἕτερός φησιν, ὅτι ἐλυποῦντο. Εἰ τοίνυν μὴ ἤδεσαν, πῶς ἐλυποῦντο; πῶς Πέτρος ἔλεγεν· «Ἵλεώς σοι, οὐ μὴ ἔσται σοι τοῦτο;».

Τί οὖν ἐστιν εἰπεῖν; Ὅτι μὲν ἀποθανεῖται, ἤδεσαν, εἰ καὶ μὴ σαφῶς τῆς οἰκονομίας ἠπίσταντο τὸ μυστήριον· οὔτε δὲ τὴν ἀνάστασιν σαφῶς ἠπίσταντο, οὔτε ἅπερ ἔμελλε κα-

---

9. Πρβλ. Λουκᾶ 18, 31.
10. Πρβλ. Λουκᾶ 18, 34.
11. Πρβλ. Μάρκ. 10, 32.
12. Πρβλ. Ματθ. 17, 23.
13. Ματθ. 16, 22.

ὅσον αὐτὸς ποὺ δὲν ἀπέκρυψε τὰ δυσάρεστα καὶ αὐτὰ ποὺ ἐφαίνοντο ὅτι ἦσαν πολὺ ἀτιμωτικὰ δι' αὐτόν, πολὺ φυσικὸν ἦτο νὰ γίνῃ πιστευτὸς καὶ διὰ τὰ εὐχάριστα πράγματα.

Ἀλλ' ὅμως, σὲ παρακαλῶ, πρόσεξε πῶς οἰκονομεῖ τὰ πράγματα κατὰ τρόπον ἄριστον καὶ ἀπὸ αὐτὸν τὸν χρόνον ἀκόμη. Διότι οὔτε ἀπὸ τὴν πρώτην στιγμὴν τοὺς τὸ εἶπε, διὰ νὰ μὴ τοὺς κλονίσῃ, οὔτε ὅταν ἐπλησίασεν ἀρκετὰ τὸ πάθος του, διὰ νὰ μὴ τοὺς θορυβήσῃ καὶ πάλιν, ἀλλὰ ὅταν ἐσυνειδητοποίησαν εἰς ἱκανοποιητικὸν βαθμὸν τὴν δύναμίν του καὶ τοὺς ἔδωσε μεγάλας ὑποσχέσεις περὶ τῆς αἰωνίου ζωῆς, τότε πλέον τοὺς ὁμιλεῖ καὶ διὰ τὸ πάθος του μίαν φοράν, δύο καὶ πολλάκις, συνυφαίνοντας τοὺς λόγους του αὐτοὺς περὶ τοῦ πάθους μὲ τὰ θαύματα καὶ τὴν διδασκαλίαν του.

Ἄλλος δὲ εὐαγγελιστὴς λέγει, ὅτι παρουσίαζεν ὡς μάρτυρας περὶ τοῦ πάθους του καὶ τοὺς προφήτας[9]. Ἄλλος πάλιν λέγει, ὅτι οἱ μαθηταί του δὲν ἀντελήφθησαν τοὺς λόγους του, ἀλλ' ἦτο κρυμμένον εἰς αὐτοὺς τὸ νόημα τῶν λόγων του[10], καὶ ὅτι τὸν ἀκολουθοῦσαν κατάπληκτοι[11]. Ἄρα λοιπόν, θὰ εἰπῇ κάποιος, δὲν εἶχαν καμμίαν ὠφέλειαν ἀπὸ τὴν πρόρρησίν του. Διότι, ἐὰν δὲν κατενόουν αὐτὰ ποὺ ἤκουον, δὲν θὰ εἶχαν καὶ καμμίαν προσδοκίαν, μὴ ἔχοντες δὲ καμμίαν προσδοκίαν, οὔτε καὶ θὰ ἐγυμνάζοντο μὲ τὰς ἐλπίδας. Ἀλλ' ἐγὼ λέγω καὶ κάτι ἄλλο ποὺ εἶναι ἄξιον μεγαλυτέρας ἀπορίας, ὅτι δηλαδὴ ἐὰν δὲν κτενόουν τοὺς λόγους του, πῶς τότε ἐλυποῦντο; Καθ' ὅσον ἄλλος εὐαγγελιστὴς λέγει, ὅτι ἐλυποῦντο[12]. Ἐὰν λοιπὸν δὲν κατενόουν τοὺς λόγους του, πῶς ἐλυποῦντο; πῶς ὁ Πέτρος ἔλεγεν· «Ὁ Θεὸς νὰ σὲ λυπηθῇ καὶ νὰ σὲ φυλάξῃ, Κύριε, ἀπὸ τὰ κακὰ αὐτά· ὄχι δὲν πρέπει νὰ σοῦ συμβοῦν αὐτὰ ποὺ εἶπε»[13].

Ποίαν ἀπάντησιν λοιπὸν ἠμποροῦμεν νὰ δώσωμεν; Ἐγνώριζαν μὲν ὅτι θὰ ἀποθάνῃ, ἂν καὶ βέβαια δὲν ἦσαν εἰς θέσιν νὰ κατανοήσουν πλήρως τὸ μυστήριον τῆς οἰκονομίας τοῦ Θεοῦ· οὔτε τὴν ἀνάστασίν του ἐγνώριζαν πλήρως, οὔτε αὐτὰ ποὺ ἐπρόκειτο νὰ κάνῃ· καὶ αὐτὰ ἀκόμη ἦ-

τορθοῦν· καὶ τοῦτο ἦν κεκρυμμένον ἀπ' αὐτῶν. Διὰ τοῦτο καὶ ἤλγουν. Ἑτέρους μὲν γὰρ ὑφ' ἑτέρων ἀναστάντας εἶδον· αὐτὸν δέ τινα ἀναστήσαντα ἑαυτόν, καὶ οὕτως ἀναστήσαντα ὡς μηκέτι λοιπὸν ἀποθανεῖν, οὐδέποτε εἶδον. Τοῦτο οὖν οὐ συνίεσαν πολλάκις λεγόμενον· ἀλλ' οὐδὲ αὐτὸς οὗτος ὁ θάνατος τί ποτέ ἐστι, καὶ πῶς ἐπελεύσεται, σαφῶς ἠπίστατο. Διὸ καὶ ἐθαμβοῦντο ἀκολουθοῦντες αὐτῷ· οὐ διὰ τοῦτο δὲ μόνον, ἀλλ' ἔμοιγε δοκεῖ καὶ ἐκπλήττειν αὐτοὺς περὶ τοῦ πάθους διαλεγόμενος.

2. Ἀλλ' ὅμως οὐδὲν τούτων ἐποίει θαρρεῖν αὐτούς, καὶ ταῦτα συνεχῶς περὶ τῆς ἀναστάσεως ἀκούοντας. Καὶ γὰρ μετὰ τοῦ θανάτου καὶ τοῦτο μάλιστα αὐτοὺς ἐθορύβει, τὸ ἀκούειν ὅτι ἐμπαίξουσι καὶ μαστιγώσουσι, καὶ ὅσα τοιαῦτα. Ὅτε γὰρ ἐνενόησαν τὰ θαύματα, τοὺς δαιμονῶντας οὓς ἠλευθέρωσε, τοὺς νεκροὺς οὓς ἤγειρε, τὰ ἄλλα πάντα ἅπερ ἐθαυματούργει, εἶτα ἤκουσαν τούτων, ἐξεπλήττοντο, εἰ ὁ ταῦτα ποιῶν ταῦτα πείσεται. Διὰ τοῦτο καὶ εἰς ἀπορίαν ἐνέπιπτον, καὶ νῦν μὲν ἐπίστευον, νῦν δὲ ἠπίστουν, καὶ νοῆσαι οὐκ εἶχον τὰ λεγόμενα. Οὕτω γοῦν οὐ συνῆκαν σαφῶς τὸ λεγόμενον, ὡς τοὺς υἱοὺς Ζεβεδαίου παραυτὰ προσελθεῖν, καὶ περὶ προεδρίας αὐτῷ διαλεχθῆναι. «Θέλομεν» γάρ, φησίν, «ἵνα εἷς ἐκ δεξιῶν σου καθίσῃ, καὶ εἷς ἐξ εὐωνύμων». Πῶς οὖν οὗτος ὁ εὐαγγελιστής φησιν, ὅτι ἡ μήτηρ προσῆλθεν; Ἀμφότερα γενέσθαι εἰκός. Τὴν γὰρ μητέρα παρέλαβον, ὡς μείζονα τὴν ἱκετηρίαν ἐργασόμενοι, καὶ ταύ-

14. Μάρκ. 10, 35-38.
15. Πρβλ. Ματθ. 20, 20.

σαν κρυμμένα δι' αὐτούς. Καὶ ἀκριβῶς διὰ τοῦτο καὶ ἐλυποῦντο. Διότι εἶδαν ἄλλους νὰ ἀνασταίνωνται ἀπὸ ἄλλους, ἀλλ' δὲν εἶχαν ἰδεῖ ἀκόμη κάποιον νὰ ἀνασταίνῃ τὸν ἑαυτόν του, καὶ μάλιστα νὰ τὸν ἀνασταίνῃ κατὰ τοιοῦτον τρόπον, ὥστε εἰς τὸ ἑξῆς πλέον νὰ μὴ εἶναι δυνατὸν ν' ἀποθάνῃ. Αὐτὸ λοιπόν, ἂν καὶ τοὺς τὸ ἔλεγε πολλὲς φορές, ὅμως δὲν ἠμπόρεσαν νὰ τὸ ἀντιληφθοῦν. Ἀλλὰ οὔτε καὶ αὐτὸν τὸν ἴδιον τὸν θάνατον, τί τέλος πάντων εἶναι καὶ πῶς ἐπρόκειτο νὰ συμβῇ δὲν τὸ ἐγνώριζαν καθαρά. Διὰ τοῦτο καὶ τὸν ἀκολουθοῦσαν γεμᾶτοι ἀπὸ θαυμασμόν. Καὶ ὄχι δὲ μόνον δι' αὐτό, ἀλλὰ ἐγὼ τουλάχιστον νομίζω ὅτι ἐξεπλήσσοντο ἀκούοντες τοὺς λόγους του περὶ τοῦ πάθους του.

2. Ἀλλ' ὅμως τίποτε ἀπὸ ὅλα αὐτὰ δὲν τοὺς ἔκανε νὰ λαμβάνουν θάρρος, μολονότι ἤκουαν συνεχῶς νὰ τοὺς ὁμιλῇ περὶ τῆς ἀναστάσεώς του. Καθ' ὅσον μαζὶ μὲ τὸν θάνατόν του ἤτο καὶ αὐτὸ ποὺ κατ' ἐξοχὴν τοὺς ἔκανε ν' ἀνησυχοῦν, τὸ ὅτι ἤκουαν, ὅτι θὰ τὸν ἐμπαίξουν καὶ θὰ τὸν μαστιγώσουν καὶ ὅλα τὰ παρόμοια. Διότι ὅταν ἐνεθυμήθησαν τὰ θαύματα ποὺ ἔκανε, τοὺς δαιμονισμένους ποὺ ἠλευθέρωσε, τοὺς νεκροὺς ποὺ ἀνέστησε καὶ ὅλα τὰ ἄλλα θαύματα ποὺ ἐπιτελοῦσε καὶ ἤκουσαν ἐν συνεχείᾳ τὰ λόγια του αὐτά, κατελήφθησαν ἀπὸ ἔκπληξιν, ἐὰν ἦτο δυνατὸν νὰ πάθῃ αὐτά, αὐτὸς ποὺ ἐνήργει ὅλα αὐτά. Διὰ τοῦτο καὶ κατελαμβάνοντο ἀπὸ ἀπορίαν, καὶ ἄλλοτε μὲν ἐπίστευαν, ἄλλοτε δὲ ἔδειχναν δυσπιστίαν καὶ δὲν ἠμποροῦσαν νὰ κατανοήσουν τὰ λόγια του. Εἰς τόσον μεγάλον βαθμὸν μάλιστα ἔφθασεν ἡ ἀδυναμία των ν' ἀντιληφθοῦν καθαρὰ τὰ λόγια τοῦ Κυρίου, ὥστε εὐθὺς ἀμέσως νὰ τὸν πλησιάσουν οἱ υἱοὶ τοῦ Ζεβεδαίου καὶ νὰ συζητήσουν μαζί του διὰ τὴν πρωτοκαθεδρίαν. Διότι, λέγει, εἶπαν· «Θέλομεν νὰ καθίσωμεν ὁ ἕνας ἀπὸ τά δεξιὰ καὶ ὁ ἄλλος ἀπὸ τὰ ἀριστερά σου»[14]. Πῶς τότε λοιπὸν ὁ εὐαγγελιστὴς Ματθαῖος λέγει, ὅτι ἐπλησίασε τὸν Κύριον ἡ μητέρα αὐτῶν;[15] φυσικὸν ἦτο καὶ τὰ δύο νὰ συνέβησαν. Διότι παρέλαβαν τὴν μητέρα τους, μὲ σκοπὸν νὰ με-

τῃ τὸν Χριστὸν δυσωπήσοντες. Ὅτι γὰρ τοῦτο ἀληθές, ὅπερ ἔφην, καὶ αὐτῶν μᾶλλον ἡ αἴτησις ἦν, καὶ αἰσχυνόμενοι προβάλλονται τὴν τεκοῦσαν, σκόπει πῶς πρὸς αὐτοὺς ἀποτείνει τὸν λόγον ὁ Χριστός. Μᾶλλον δὲ μάθωμεν τί πρότερον αἰτοῦσι, καὶ ἀπὸ ποίας γνώμης, καὶ πόθεν ἐπὶ τοῦτο ἦλθον.

Πόθεν οὖν ἐπὶ τοῦτο ἦλθον; Ἑώρων ἑαυτοὺς τιμωμένους παρὰ τοὺς ἄλλους, καὶ προσεδόκησαν ἐντεῦθεν ἐπιτεύξασθαι καὶ τῆς αἰτήσεως ταύτης. Ἀλλὰ τί ποτέ ἐστιν ὃ αἰτοῦσιν; Ἄκουσον ἑτέρου εὐαγγελιστοῦ τοῦτο σαφῶς ἐκκαλύπτοντος. «Διὰ γὰρ τὸ ἐγγὺς εἶναι», φησί, «τῆς Ἰερουσαλήμ, καὶ δοκεῖν ὅτι ἡ βασιλεία τοῦ Θεοῦ ἤδη ἀποφανεῖται», ταῦτα ἤτουν. Ἐνόμιζον γάρ, ὅτι ἐπὶ θύραις αὕτη καὶ αἰσθητή, καὶ ἀπολαύσαντες ὧν ἤτουν, οὐδὲν ὑποστήσονται τῶν λυπηρῶν. Οὐδὲ γὰρ δι' αὐτὴν μόνον αὐτὴν ἐζήτουν, ἀλλ' ὡς καὶ διαφευξόμενοι τὰ δυσχερῆ. Διὸ καὶ ὁ Χριστὸς τούτων πρῶτον αὐτοὺς ἀπάγει τῶν λογισμῶν, κελεύων σφαγὰς καὶ κινδύνους καὶ τὰ ἔσχατα ἀναμένειν δεινά. «Δύνασθε» γάρ, φησί, «πιεῖν τὸ ποτήριον ὃ ἐγὼ πίνω;».

Ἀλλὰ μηδεὶς θορυβείσθω, τῶν ἀποστόλων οὕτως ἀτελῶς διακειμένων. Οὔπω γὰρ ὁ σταυρὸς ἦν τελεσθείς, οὔπω πνεύματος χάρις δοθεῖσα. Εἰ δὲ βούλει μαθεῖν αὐτῶν τὴν ἀρετήν, μετὰ ταῦτα αὐτοὺς κατάμαθε, καὶ ὄψει παντὸς πάθους ἀνωτέρους. Διὰ γὰρ τοῦτο ἐκκαλύπτει αὐτῶν τὰ ἐλαττώμα-

16. Λουκᾶ 19, 11.

γαλώσουν τὴν παράκλησίν τους, καὶ κατ' αὐτὸν τὸν τρόπον νὰ συγκινήσουν τὸν Χριστόν. Τὸ ὅτι λοιπὸν εἶναι ἀληθινὸν αὐτὸ ποὺ εἶπα καὶ ὅτι ἡ παράκλησις ἦτο μᾶλλον ἰδική τους, ἀλλὰ παρουσιάζουν ἀπὸ ἐντροπὴν τὴν μητέραν τους, πρόσεξε πῶς ὁ Χριστὸς ἀπευθύνει πρὸς αὐτοὺς τὸν λόγον. Καλύτερα ὅμως ἂς προσπαθήσωμεν νὰ γνωρίσωμεν κατὰ πρῶτον ποῖον εἶναι αὐτὸ ποὺ ζητοῦν, μὲ ποίαν διάθεσιν τὸ ζητοῦν καὶ τί ἦτο ἐκεῖνο ποὺ τοὺς ὠδήγησε νὰ ἐνεργήσουν κατ' αὐτὸν τὸν τρόπον.

Ἀπὸ τί λοιπὸν παρακινούμενοι ἔφθασαν εἰς αὐτὴν τὴν ἐνέργειάν τους; Ἔβλεπαν ὅτι ἔχαιρον ἐκτιμήσεως ἐκ μέρους τῶν ἄλλων ἀνθρώπων καὶ ἤλπισαν ὅτι ἐξ αἰτίας αὐτοῦ θὰ ἐπιτύχουν νὰ ἐκπληρωθῇ καὶ αὐτὴ ἡ αἴτησίς τους. Ἀλλὰ τί τέλος πάντων εἶναι αὐτὸ τὸ ὁποῖον ζητοῦν; Ἄκουσε ἄλλον εὐαγγελιστὴν ὁ ὁποῖος ἀποκαλύπτει αὐτὸ πολὺ καθαρά. Διότι, λέγει, ἐζητοῦσαν αὐτὰ «ἐπειδὴ ἐπλησίαζαν εἰς τὰ Ἱεροσόλυμα καὶ ἐνόμιζαν ὅτι ἀμέσως θ' ἀποκαλυφθῇ ἡ βασιλεία τοῦ Θεοῦ»[16]. Ἐνόμιζαν δηλαδή, ὅτι ἡ βασιλεία τοῦ Θεοῦ εὑρίσκεται πλησίον τους καὶ ὅτι εἶναι αἰσθητή, καὶ ὅτι δὲν ἐπρόκειτο νὰ ὑποστοῦν τίποτε τὸ δυσάρεστον, ἐὰν ἤθελαν ἐπιτύχει αὐτὸ ποὺ ἐζητοῦσαν. Διότι δὲν ἐζητοῦσαν τὴν βασιλείαν τοῦ Θεοῦ μόνον δι' αὐτὴν καθ' ἑαυτήν, ἀλλὰ καὶ διὰ νὰ ἀποφύγουν τὰ δυσάρεστα. Διὰ τοῦτο καὶ ὁ Χριστὸς κατ' ἀρχὴν τοὺς ἀπαλλάσσει ἀπὸ αὐτὰς τὰς σκέψεις λέγοντάς τους ὅτι πρέπει ν' ἀναμένουν σφαγάς, κινδύνους καὶ τὰ πιὸ φοβερώτερα κακά. Διότι, λέγει, «Ἠμπορεῖτε νὰ πίετε τὸ ποτήριον ποὺ πίνω ἐγώ;».

Ἀλλὰ κανεὶς ἂς μὴ ἀνησυχῇ, ἐπειδὴ εἶναι τόσον ἀτελὴς ἡ πνευματικὴ κατάστασις τῶν μαθητῶν. Διότι δὲν εἶχεν ἀκόμη λάβει χώραν τὸ σταυρικὸν πάθος τοῦ Κυρίου καὶ οὔτε εἶχεν ἀκόμη δοθῇ ἡ χάρις τοῦ ἁγίου Πνεύματος. Ἐὰν ὅμως θέλῃς νὰ γνωρίσῃς τὴν ἀρετήν τους, ἐξέτασέ τους μετὰ ἀπὸ αὐτὰ τὰ γεγονότα, καὶ θὰ τοὺς εὕρῃς νὰ εἶναι ἀνώτεροι ἀπὸ κάθε πάθος. Διότι ἀκριβῶς διὰ τοῦτο φανερώνει τὰ ἐ-

τα, ἵνα μετὰ ταῦτα γνῷς, τίνες ἀπὸ τῆς χάριτος ἐγένοντο. Ὅτι μὲν οὖν οὐδὲν πνευματικὸν ἤτουν, οὐδὲ ἔννοιαν τῆς ἄνω βασιλείας εἶχον, δῆλον ἐντεῦθεν. Πλὴν ἴδωμεν καὶ πῶς προσέρχονται καὶ τί λέγουσι.

«Θέλομεν», φησίν, «ἵνα ὃ ἐὰν αἰτήσωμέν σε ποιήσῃς ἡμῖν». Καὶ πρὸς αὐτοὺς ὁ Χριστός· «Τί θέλετε;»· οὐκ ἀγνοῶν, ἀλλ' ἵνα ἀναγκάσῃ ἀποκρίνασθαι, καὶ ἀνακαλύψῃ τὸ ἕλκος, καὶ οὕτως ἐπιθῇ τὸ φάρμακον. Οἱ δὲ ἐρυθριῶντες καὶ αἰσχυνόμενοι, ἐπειδὴ ὑπὸ πάθους ἀνθρωπίνου πρὸς τοῦτο ἦεσαν, καθ' ἰδίαν ἐκτὸς τῶν μαθητῶν λαβόντες αὐτὸν ἠρώτησαν. Προεπορεύθησαν γάρ, φησίν, ὥστε μὴ γενέσθαι αὐτοῖς κατάδηλον, καὶ οὕτως εἶπον ἅπερ ἐβούλοντο. Ἐβούλοντο δέ, ὡς ἔγωγε οἶμαι, ἐπειδὴ ἤκουον, ὅτι «Ἐπὶ δώδεκα θρόνους καθεδεῖσθε», τὴν προεδρίαν τῆς καθέδρας ταύτης λαβεῖν. Καὶ ὅτι μὲν τῶν ἄλλων πλέον εἶχον, ἤδεσαν· ἐδεδοίκεσαν δὲ Πέτρον, καὶ λέγουσιν· «εἰπέ, ἵνα εἷς ἐκ δεξιῶν σου καθίσῃ καὶ εἷς ἐξ εὐωνύμων»· καὶ κατεπείγουσι λέγοντες, «εἰπέ».

Τί οὖν αὐτός; Δηλῶν, ὅτι οὐδὲν πνευματικὸν ἤτουν, οὔτε εἰ ἤδεσαν πάλιν ὅπερ ἤτουν, ἐτόλμησαν ἂν τοσοῦτον αἰτῆσαι, φησίν· «Οὐκ οἴδατε τί αἰτεῖσθε»· πῶς μέγα, πῶς θαυμαστόν, πῶς ὑπερβαῖνον καὶ τὰς ἄνω δυνάμεις. Εἶτα ἐπάγει· «Δύνασθε πιεῖν τὸ ποτήριον, ὃ ἐγὼ μέλλω πίνειν, καὶ τὸ βάπτισμα, ὃ ἐγὼ βαπτίζομαι, βαπτισθῆναι;». Εἶδες πῶς εὐθέως ἀπήγαγε τῆς ὑπονοίας, ἀπὸ τῶν ἐναντίων αὐ-

17. Μάρκ. 10, 35.
18. Μάρκ. 10, 36.
19. Μάρκ. 10, 35.
20. Ματθ. 19. 28.

λαττώματά τους, ὥστε εἰς τὴν συνέχειαν νὰ γνωρίσῃς ποῖοι ἔγιναν μὲ τὴν ἐνίσχυσιν τῆς χάριτος τοῦ Θεοῦ. Τὸ ὅτι λοιπὸν δὲν ἐζητοῦσαν τίποτε τὸ πνευματικόν, οὔτε εἶχαν καμμίαν ἰδέαν διὰ τὴν οὐράνιον βασιλείαν, γίνεται φανερὸν ἀπὸ τὰ ὅσα ἐλέχθησαν. Πλὴν ὅμως ἐμεῖς ἂς ἐξετάσωμεν καὶ πῶς τὸν πλησιάζουν καὶ τί τοῦ λέγουν.

«Θέλομεν», λέγει, «νὰ πραγματοποιήσῃς αὐτὸ ποὺ θὰ σοῦ ζητήσωμεν»[17]. Καὶ ὁ Χριστὸς ἀπαντᾷ πρὸς αὐτούς· «Τί θέλετε;»[18]· ὄχι ἐπειδὴ τὸ ἀγνοοῦσεν, ἀλλὰ διὰ νὰ τοὺς ἐξαναγκάσῃ ν' ἀπαντήσουν διὰ νὰ ἀποκαλύψῃ τὸ τραῦμα, καὶ ἔτσι νὰ θέσῃ τὸ φάρμακον. Ἐκεῖνοι ὅμως, κατακόκκινοι ἀπὸ ἐντροπήν, ἐπειδὴ ἔφθασαν εἰς αὐτὴν τὴν ἐνέργειάν τους ὑποκινούμενοι ἀπὸ ἀνθρώπινον πάθος, τὸν ἐπῆραν ἰδιαιτέρως μακρυὰ ἀπὸ τοὺς ἄλλους μαθητὰς καὶ τὸν ἠρώτησαν. Διότι, λέγει, ἐπλησίασαν πολὺ κοντά του[19], ὥστε νὰ μὴ τοὺς ἀντιληφθοῦν οἱ ἄλλοι μαθηταί, καὶ ἔτσι τοῦ εἶπαν αὐτὰ ποὺ ἤθελαν. Ἤθελαν δέ, κατὰ τὴν γνώμην μου, ἐπειδὴ ἤκουαν, ὅτι «Θὰ καθίσετε ἐπάνω εἰς δώδεκα θρόνους»[20], νὰ λάβουν τὴν προεδρίαν αὐτῆς τῆς καθέδρας. Καὶ τὸ ἐγνώριζαν βέβαια ὅτι ἔχαιρον ἰδιαιτέρας ἐκτιμήσεως ἀπὸ τὸν Κύριον ἔναντι τῶν ἄλλων μαθητῶν, ἀλλ' ἐφοβοῦντο τὸν Πέτρον καὶ ἔτσι τοῦ λέγουν· «Δῶσε ἐντολήν, ὥστε νὰ καθίσῃ ἕνας εἰς τὰ δεξιά σου καὶ ὁ ἄλλος εἰς τὰ ἀριστερά σου»· καὶ τὸν ἐκβιάζουν, λέγοντές του, «δῶσε ἐντολήν».

Τί κάνει λοιπὸν ὁ Κύριος; Διὰ ν' ἀντιληφθοῦν, ὅτι δὲν ἐζητοῦσαν τίποτε τὸ πνευματικόν, οὔτε πάλιν, ἐὰν ἐγνώριζαν αὐτὸ ποὺ ἐζητοῦσαν, θὰ ἐτολμοῦσαν νὰ τὸ ζητήσουν κατὰ τέτοιον τρόπον, τοὺς λέγει· «Δὲν γνωρίζετε τί ζητεῖτε», διότι αὐτὸ εἶναι πολὺ μεγάλο, πάρα πολὺ ἄξιον θαυμασμοῦ, ποὺ ὑπερβαίνει καὶ τὰς οὐρανίους δυνάμεις. Ἀκολούθως προσθέτει· «Ἠμπορεῖτε νὰ πίετε τὸ ποτήριον, τὸ ὁποῖον ἐγὼ πρόκειται νὰ πίω, καὶ νὰ βαπτισθῆτε μὲ τὸ βάπτισμα, μὲ τὸ ὁποῖον ἐγὼ θὰ βαπτισθῶ;». Βλέπεις πῶς τοὺς ἀπήλλαξεν ἀπὸ τὴν σκέψιν αὐτήν, ὁμιλώντας τους διὰ τὰ

τοῖς διαλεχθείς; Ὑμεῖς μὲν γὰρ περὶ τιμῆς καὶ στεφάνων μοι διαλέγεσθε, φησίν, ἐγὼ δὲ περὶ ἀγώνων ὑμῖν καὶ ἱδρώτων. Οὐ γάρ ἐστιν οὗτος ὁ τῶν ἐπάθλων καιρός, οὐδὲ νῦν ἡ δόξα μου φανεῖται ἐκείνη, ἀλλὰ σφαγῆς καὶ πολέμων καὶ κινδύνων τὰ παρόντα. Καὶ ὅρα πῶς τῷ τρόπῳ τῆς ἐρωτήσεως καὶ προτρέπει καὶ ἐφέλκεται. Οὐ γὰρ εἶπε, Δύνασθε σφαγῆναι; δύνασθε τὸ αἷμα ὑμῶν ἐκχεεῖν;' ἀλλὰ πῶς; «Δύνασθε πιεῖν τὸ ποτήριον;». Εἶτα ἐφελκόμενός φησιν· «ὃ ἐγὼ μέλλω πίνειν», ἵνα τῇ πρὸς αὐτὸν κοινωνίᾳ προθυμότεροι γένωνται. Καὶ βάπτισμα αὐτὸ πάλιν καλεῖ, δεικνὺς μέγαν ἀπὸ τῶν γινομένων τὸν καθαρμὸν ἐσόμενον τῇ οἰκουμένῃ.

«Λέγουσιν αὐτῷ· δυνάμεθα». Ἀπὸ τῆς προθυμίας εὐθέως ἐπηγγείλαντο, οὐδὲ τοῦτο εἰδότες ὅπερ εἶπον, ἀλλὰ προσδοκῶντες ἀκούσασθε ὅπερ ᾔτησαν. Τί οὖν αὐτός; «Τὸ μὲν ποτήριόν μου πίεσθε, καὶ τὸ βάπτισμα, ὃ ἐγὼ βαπτίζομαι, βαπτισθήσεσθε». Μεγάλα αὐτοῖς προεφήτευσεν ἀγαθά· τουτέστι, μαρτυρίου καταξιωθήσεσθε, καὶ ταῦτα πείσεσθε ἅπερ ἐγώ· διαίῳ θανάτῳ τὴν ζωὴν καταλύσετε καὶ τούτων μοι κοινωνήσετε. «Τὸ δὲ καθίσαι ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων οὐκ ἔστιν ἐμὸν δοῦναι, ἀλλ' οἷς ἡτοίμασται παρὰ τοῦ Πατρός μου».

3. Ἐπάρας αὐτῶν τὰς ψυχάς, καὶ ὑψηλοτέρας ποιήσας, καὶ πρὸς λύπην ἀχειρώτους ἐργασάμενος, τότε διορθοῦται αὐτῶν τὴν αἴτησιν. Ἀλλὰ τί ποτέ ἐστι τὸ νῦν εἰρημένον; Καὶ γὰρ δύο ἐστὶ τὰ ζητούμενα παρὰ πολλῶν· ἓν μέν, εἰ

ἀντίθετα ἀπὸ αὐτὰ ποὺ ἐζήτησαν; Διότι, λέγει, σεῖς μὲν μοῦ ὁμιλεῖτε περὶ τιμῆς καὶ στεφάνων, ἐνῷ ἐγὼ σᾶς ὁμιλῶ δι' ἀγῶνας καὶ ἱδρῶτας. Καθ' ὅσον ὁ παρὼν καιρὸς δὲν εἶναι καιρὸς ἐπάθλων, οὔτε τώρα πρόκειται ν' ἀποκαλυφθῇ ἡ δόξα μου ἐκείνη, ἀλλ' ὁ παρὼν καιρὸς εἶναι καιρὸς σφαγῆς, πολέμων καὶ κινδύνων. Καὶ πρόσεξε πῶς, μὲ τὴν ἐρώτησιν ποὺ τοὺς κάνει, καὶ τοὺς προτρέπει καὶ τοὺς προσελκύει; Διότι δὲν εἶπεν, "Ἠμπορεῖτε νὰ σφαγῆτε; ἠμπορεῖτε νὰ χύσετε τὸ αἷμα σας;", ἀλλὰ τί τοὺς εἶπεν; «Ἠμπορεῖτε νὰ πίετε τὸ ποτήριον;». Ἔπειτα διὰ νὰ τοὺς προσελκύσῃ λέγει· «τὸ ὁποῖον πρόκειται ἐγὼ νὰ πίω;», ὥστε νὰ τοὺς κάνῃ προθυμοτέρους εἰς τὰς σχέσεις τους μὲ αὐτόν. Καὶ εἰς τὴν συνέχειαν τὸ ὀνομάζει καὶ βάπτισμα τὸ πάθος του, διὰ νὰ δείξῃ ὅτι θὰ εἶναι πολὺ μεγάλος ὁ καθαρισμὸς τῆς οἰκουμένης ποὺ θὰ προέλθῃ ἀπὸ αὐτὰ ποὺ θὰ συμβοῦν.

«Λέγουν εἰς αὐτόν· ἠμποροῦμεν». Λόγῳ τῆς προθυμίας των ὑπεσχέθησαν ἀμέσως, χωρὶς νὰ γνωρίζουν οὔτε καὶ αὐτὸ ποὺ εἶπαν τί ἐσήμαινεν, ἀλλὰ τὸ εἶπαν μὲ τὴν ἐλπίδα ν' ἀκούσουν αὐτὸ ποὺ ἐζήτησαν. Τί λοιπὸν τοὺς ἀπαντᾷ ἐκεῖνος; «Τὸ μὲν ποτήριόν μου θὰ τὸ πίετε καὶ ἐσεῖς, καὶ τὸ βάπτισμα μὲ τὸ ὁποῖο θὰ βαπτισθῶ ἐγώ, θὰ βαπτισθῆτε καὶ ἐσεῖς». Μὲ τοὺς λόγους αὐτοὺς τοὺς προεφήτευσε πολὺ μεγάλα ἀγαθά· δηλαδή, θὰ ἀξιωθῆτε νὰ ὑποστῆτε καὶ ἐσεῖς τὸ μαρτύριόν μου καὶ θὰ πάθετε αὐτὰ ποὺ θὰ ὑποστῶ ἐγώ, διότι θὰ τελειώσετε τὴν· ζωήν σας μὲ βίαιον θάνατον, καὶ ἔτσι θὰ γίνετε μέτοχοι τῶν παθημάτων μου. «Τὸ νὰ καθήσετε ὅμως εἰς τὰ δεξιά μου καὶ εἰς τὰ ἀριστερά μου δὲν ἐξαρτᾶται ἀπὸ ἐμένα, ἀλλ' αὐτὸ θὰ δοθῇ εἰς ἐκείνους ποὺ ἔχει ἑτοιμασθῇ ἀπὸ τὸν Πατέρα μου».

3. Ἀφοῦ δηλαδὴ ἐγέμισε τὰς ψυχὰς των μὲ θάρρος καὶ τὰς ἀνύψωσε πνευματικὰ καὶ τὰς ἔκανε ἀκαταβλήτους ἀπὸ τὴν λύπην, τότε πλέον διορθώνει καὶ τὸ αἴτημά τους. Ἀλλὰ τί τέλος πάντων σημαίνουν οἱ λόγοι αὐτοὶ τοῦ Κυρίου; Καθ' ὅσον δύο εἶναι αἱ ἐξηγήσεις ποὺ δίδουν οἱ πολ-

ἡτοίμασταί τισι τὸ καθίσαι ἐκ δεξιῶν αὐτοῦ· ἕτερον δέ, εἰ ὁ πάντων Κύριος ἐκείνοις, οἷς ἡτοίμασται, κύριος οὐκ ἔστι παραοχεῖν. Τί οὖν ἐστι τὸ εἰρημένον; Ἂν τὸ πρότερον λύσωμεν, τότε καὶ τὸ δεύτερον τοῖς ζητοῦσιν ἔσται σαφές. Τί οὖν ἐστι τοῦτο; Οὐδεὶς ἐκ δεξιῶν αὐτοῦ καθεδεῖται, οὐδὲ ἐξ εὐωνύμων. Ἄβατος γὰρ πᾶσιν ὁ θρόνος ἐκεῖνος· οὐκ ἀνθρώποις λέγω καὶ ἁγίοις καὶ ἀποστόλοις, ἀλλὰ καὶ ἀγγέλοις καὶ ἀρχαγγέλοις καὶ πάσαις ταῖς ἄνω δυνάμεσιν. Ὡς γοῦν ἐξαίρετον τοῦ Μονογενοῦς τίθησιν αὐτὸ ὁ Παῦλος λέγων· «Πρὸς τίνα δὲ τῶν ἀγγέλων εἴρηκέ ποτε· Κάθου ἐκ δεξιῶν μου; Καὶ πρὸς μὲν τοὺς ἀγγέλους φησίν· Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα· πρὸς δὲ τὸν Υἱόν, Ὁ θρόνος σου, ὁ Θεός».

Πῶς οὖν φησι, «Τὸ καθίσαι ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων οὐκ ἔστιν ἐμὸν δοῦναι», ὡς ὄντων τινῶν τῶν καθεδουμένων; Οὐχ ὡς ὄντων, ἄπαγε· ἀλλὰ πρὸς τὴν ὑπόνοιαν ἀπεκρίνατο τῶν ἐρωτώντων, συγκαταβαίνων αὐτῶν τῇ διανοίᾳ. Οὐδὲ γὰρ ἤδεσαν τὸν ὑψηλὸν θρόνον ἐκεῖνον καὶ τὴν ἐκ δεξιῶν τοῦ Πατρὸς καθέδραν, ὅπου γε καὶ τὰ πολλῷ τούτων καταδεέστερα καὶ καθ' ἡμέραν αὐτοῖς ἐνηχούμενα ἠγνόουν· ἀλλ' ἓν ἐζήτουν μόνον, τῶν πρωτείων ἀπολαῦσαι καὶ πρὸ τῶν ἄλλων οἰῆναι καὶ μηδένα εἶναι πρὸ αὐτῶν παρ' αὐτῷ· ὅπερ καὶ ἤδη ἔφθην εἰπών, ὅτι ἐπειδὴ δώδεκα θρόνους ἤκουσαν, ἀγνοήσαντες ὅ τι ποτέ ἐστι τὸ εἰρημένον, τὴν

21. Ἐφ. 1, 13, 7-8.

λοί. Τὸ πρῶτον εἶναι, ἐὰν ἔχῃ ἑτοιμασθῇ δι' ὡρισμένους νὰ καθίσουν εἰς τὰ δεξιά του, τὸ δὲ δεύτερον, ἐὰν ὁ Κύριος ὅλων ἐκείνων, διὰ τοὺς ὁποίους ἔχουν ἑτοιμασθῇ, δὲν ἔχῃ τὴν δύναμιν νὰ τοὺς τὰ παράσχῃ. Τί λοιπὸν σημαίνουν οἱ λόγοι αὐτοὶ τοῦ Κυρίου; Ἐὰν λύσωμεν τὸ πρῶτον ἐρώτημα, τότε θὰ γίνῃ σαφὲς εἰς τοὺς ἐρευνητὰς καὶ τὸ δεύτερον. Ποία λοιπὸν ἡ σημασία αὐτοῦ; Κανεὶς δὲν θὰ καθίσῃ εἰς τὰ δεξιά του, οὔτε εἰς τὰ ἀριστερά του. Διότι ὁ θρόνος ἐκεῖνος εἶναι ἀπλησίαστος δι' ὅλους γενικῶς· καὶ δὲν ἐννοῶ διὰ τοὺς ἀνθρώπους, τοὺς ἁγίους καὶ τοὺς ἀποστόλους, ἀλλὰ καὶ διὰ τοὺς ἀγγέλους καὶ ἀρχαγγέλους καὶ δι' ὅλας γενικῶς τὰς οὐρανίους δυνάμεις, καθὼς βέβαια καὶ ὁ Παῦλος παρουσιάζει αὐτὸ ὡς ἀποκλειστικὸν γνώρισμα τοῦ Μονογενοῦς Υἱοῦ μὲ τοὺς λόγους του· «Πρὸς ποῖον δὲ ἀπὸ τοὺς ἀγγέλους ἔχει εἰπεῖ ποτέ· Κάθεσε εἰς τὰ δεξιά μου; Καὶ πρὸς μὲν τοὺς ἀγγέλους λέγει· Ἐκεῖνος ποὺ κάνει τοὺς ἀγγέλους του ὡσὰν τοὺς ἀνέμους· πρὸς δὲ τὸν Υἱόν· Ὁ θρόνος σου, Θεέ μου»[21].

Πῶς λοιπὸν λέγει, «Τὸ νὰ καθίσῃ εἰς τὰ δεξιά μου καὶ εἰς τὰ ἀριστερά μου δὲν ἐξαρτᾶται ἀπὸ ἐμένα νὰ τὸ δώσω», ὡσὰν νὰ ὑπάρχουν ὡρισμένοι ποὺ ἤδῃ κάθονται ἐκεῖ; Δὲν τὸ λέγει ὡσὰν νὰ ὑπάρχουν ἐκεῖ καθισμένοι· μακρυὰ ἀπὸ ἐδῶ αὐτὴ ἡ σκέψις· ἀλλ' ἀπήντησεν εἰς τὴν σκέψιν αὐτῶν ποὺ τὸν ἠρώτησαν, δείχνοντας συγκατάβασιν εἰς τὴν ἀτελῆ ἀκόμη πνευματικότητά των. Διότι δὲν ἐγνώριζαν ἀκόμη τὸν ὑψηλὸν ἐκεῖνον θρόνον καὶ τὴν εἰς τὰ δεξιὰ τοῦ Πατρὸς καθέδραν τοῦ Υἱοῦ, καθ' ἣν στιγμὴν ἀγνοοῦσαν ἀκόμη καὶ ἐκεῖνα ποὺ ἦσαν κατὰ πολὺ κατώτερα αὐτῶν καὶ ἤκουαν καθημερινῶς νὰ τοὺς ὁμιλῇ δι' αὐτά. Ἀλλ' ἕνα μόνον ἐζητοῦσαν· ν' ἀπολαύσουν τὰ πρωτεῖα καὶ νὰ τοποθετηθοῦν μπροστὰ ἀπὸ τοὺς ἄλλους καὶ νὰ μὴ εἶναι κανεὶς πρὶν ἀπὸ αὐτοὺς κοντὰ εἰς τὸν Κύριον. Καὶ ὅπως προανέφερα, ἐπειδὴ ἤκουσαν νὰ τοὺς ὁμιλῇ διὰ δώδεκα θρόνους, μὴ ἀντιληφθέντες τὸ βαθύτερον νόημα τῶν λόγων του, ἐζήτησαν νὰ

προεδρίαν ἐπεζήτησαν.

Ὅ τοίνυν φησὶν ὁ Χριστός, τοῦτό ἐστιν· ἀποθανεῖσθε μὲν δι' ἐμὲ καὶ σφαγήσεσθε τοῦ κηρύγματος ἕνεκεν καὶ κοινωνήσετέ μοι κατὰ τὸ πάθος· οὐ μὴν ἀρκεῖ τοῦτο ποιῆσαι τῆς προεδρίας ὑμᾶς ἀπολαῦσαι, καὶ τὴν πρώτην τάξιν κατασχεῖν. Ἂν γάρ τις ἕτερος ἔλθῃ μετὰ τοῦ μαρτυρίου καὶ τὴν ἄλλην ἅπασαν ἀρετὴν κεκτημένος πολλῷ πλείονα ὑμῶν, οὐκ ἐπειδὴ φιλῶ νῦν ὑμᾶς, καὶ τῶν ἄλλων προκρίνω, διὰ τοῦτο παρωσάμενος ἐκεῖνον τὸν ἀπὸ τῶν ἔργων κηρυττόμενον, ὑμῖν δώσω τὰ πρωτεῖα. Ἀλλ' οὕτω μὲν οὐκ εἶπεν, ὥστε μὴ λυπῆσαι· αἰνιγματωδῶς δὲ τὸ αὐτὸ τοῦτο αἰνίττεται λέγων· «Τὸ μὲν ποτήριόν μου πίεσθε, καὶ τὸ βάπτισμα, ὃ ἐγὼ βαπτίζομαι, βαπτισθήσεσθε· τὸ δὲ καθίσαι ἐκ δεξιῶν μου καὶ ἐξ εὐωνύμων οὐκ ἔστιν ἐμὸν τοῦτο δοῦναι, ἀλλ' οἷς ἡτοίμασται».

Τίσι δὲ ἡτοίμασται; Τοῖς ἀπὸ τῶν ἔργων δυναμένοις γενέσθαι λαμπροῖς. Διὰ τοῦτο οὐκ εἶπεν, οὐκ ἔστιν ἐμὸν δοῦναι, ἀλλὰ τοῦ Πατρός μου, ἵνα μὴ ἀσθενεῖν, μηδὲ ἀτονεῖν αὐτὸν φαίη τις πρὸς τὴν ἀντίδοσιν· ἀλλὰ πῶς; «Οὐκ ἔστιν ἐμόν, ἀλλ' ἐκείνων οἷς ἡτοίμασται». Ἵνα δὲ καὶ σαφέστερον ὃ λέγω γένηται, ἐπὶ ὑποδείγματος αὐτὸ γυμνάσωμεν, καὶ ὑποθώμεθα εἶναί τινα ἀγωνοθέτην, εἶτα ἀθλητὰς ἀρίστους πολλοὺς εἰς τὸν ἀγῶνα κατιέναι τοῦτον, καί τινας δύο προσελθόντας τῶν ἀθλητῶν τῶν μάλιστα ὠκειωμένων τῷ ἀγωνοθέτῃ λέγειν, ὅτι ποίησον ἡμᾶς στεφανωθῆναι καὶ ἀνακηρυχθῆναι, θαρροῦντας τῇ πρὸς αὐτὸν εὐνοίᾳ καὶ φι-

τοὺς δοθῇ ἡ πρωτοκαθεδρία.

Οἱ λόγοι τοῦ Χριστοῦ ἔχουν τὴν ἐξῆς σημασίαν. Θ' ἀποθάνετε βέβαια δι' ἐμένα καὶ θὰ σφαγῆτε χάριν τοῦ κηρύγματος καὶ θὰ ὑποστῆτε τὸ ἴδιον πάθος μὲ τὸ ἰδικόν μου, ἀλλ' αὐτὸ δὲν ἀρκεῖ διὰ νὰ σᾶς κάνῃ ν' ἀπολαύσετε τὴν πρωτοκαθεδρίαν καὶ νὰ καταλάβετε τὴν πρώτην θέσιν. Διότι ἐὰν ἔλθῃ κάποιος ἄλλος, ὁ ὁποῖος, μαζὶ μὲ τὸν μαρτυρικὸν θάνατον, ἔχει ἀποκτήσει καὶ ὅλην τὴν ἄλλην γενικῶς τὴν ἀρετὴν κατὰ πολὺ περισσότερον ἀπὸ σᾶς, δὲν σημαίνει, ἐπειδὴ σᾶς ἀγαπῶ τώρα ἐσᾶς καὶ σᾶς προτιμῶ ἀπὸ τοὺς ἄλλους, ὅτι θὰ παραβλέψω ἐξ αἰτίας αὐτοῦ ἐκεῖνον ποὺ λάμπει μὲ τὰ ἔργα του, καὶ θὰ δώσω εἰς ἐσᾶς τὰ πρωτεῖα. Ὅμως δὲν τοὺς ὡμίλησεν ἔτσι, διὰ νὰ μὴ τοὺς λυπήσῃ, ἀλλὰ κατὰ τρόπον αἰνιγματικὸν τοὺς εἶπε τὸ ἴδιο πρᾶγμα, λέγοντάς τους· «Τὸ μὲν ποτήριόν μου θὰ τὸ πίετε, καὶ τὸ βάπτισμα, τὸ ὁποῖο ἐγὼ βαπτίζομαι, θὰ βαπτισθῆτε· ὅμως τὸ νὰ καθήσετε εἰς τά δεξιά μου καὶ ἀριστερά μου, αὐτὸ δὲν ἐξαρτᾶται ἀπὸ ἐμένα, ἀλλὰ θὰ δοθῇ εἰς ἐκείνους διὰ τοὺς ὁποίους ἔχει ἑτοιμασθῆ».

Διὰ ποίους ὅμως ἔχει ἑτοιμασθῆ; Δι' ἐκείνους ποὺ ἠμποροῦν νὰ γίνουν ἔνδοξοι μὲ τὰ ἔργα τους. Διὰ τοῦτο δὲν εἶπε, 'Δὲν ἐξαρτᾶται ἀπὸ ἐμένα νὰ τὸ δώσω αὐτό', ἀλλ' εἶπε, τοῦτο εἶναι δικαίωμα τοῦ Πατρός μου, ὥστε νὰ μὴ ἠμπορῇ κανεὶς νὰ εἰπῇ ὅτι αὐτὸς δὲν ἠμπορεῖ ἢ ὅτι δὲν ἔχει τὴν δύναμιν τῆς ἀνταποδόσεως ἀγαθῶν. Ἀλλὰ ποίαν ἀπάντησιν ἔδωσεν; «Δὲν ἐξαρτᾶται ἀπὸ ἐμένα, ἀλλὰ θὰ δοθῇ εἰς ἐκείνους διὰ τοὺς ὁποίους ἔχει ἑτοιμασθῆ». Διὰ νὰ γίνῃ ὅμως ἀκόμη πιὸ σαφὲς αὐτὸ ποὺ λέγω, ἂς τὸ ἐξηγήσωμεν βάσει ἑνὸς παραδείγματος, καὶ ἂς ὑποθέσωμεν ὅτι ὑπάρχει κάποιος ἀγωνοθέτης καὶ ὅτι εἰς τὴν συνέχειαν προσῆλθαν πολλοὶ ἄριστοι ἀθληταὶ διὰ νὰ μετάσχουν εἰς τὸν ἀγῶνα. Δύο δὲ ἀπὸ τοὺς ἀθλητάς, ποὺ ἦσαν πάρα πολὺ γνωστοὶ εἰς τὸν ἀγωνοθέτη, στηριζόμενοι εἰς τὴν εὔνοιαν καὶ φιλίαν αὐτοῦ, πλησιάσαντες αὐτὸν τοῦ εἶπαν νὰ ἐνεργήσῃ ἔτσι,

λίᾳ· ἐκεῖνον δὲ πρὸς αὐτοὺς λέγειν, οὐκ ἔστιν ἐμὸν τοῦτο δοῦναι, ἀλλ' οἷς ἡτοίμασται ἀπὸ τῶν πόνων καὶ τῶν ἱδρώτων· ἆρ' οὖν καταγνωσόμεθα αὐτοῦ ἀσθένειαν; Οὐδαμῶς; ἀλλ' ἀποδεξόμεθα αὐτὸν τῆς δικαιοσύνης καὶ τοῦ ἀπροσωπολήπτου.

Ὥσπερ οὖν ἐκεῖνον οὐκ ἂν φαίημεν ἀτονοῦντα μὴ διδόναι τὸν στέφανον, ἀλλὰ μὴ βουλόμενον διαφθεῖραι τῶν ἀγώνων τὸν νόμον, μηδὲ συνταράξαι τοῦ δικαίου τὴν τάξιν· οὕτω δὴ καὶ τὸν Χριστὸν εἴποιμι ἂν τοῦτο εἰρηκέναι, πανταχόθεν αὐτοὺς συνελαύνοντα, μετὰ τὴν τοῦ Θεοῦ χάριν, εἰς τὴν τῶν οἰκείων κατορθωμάτων ἐπίδειξιν τὰς ἐλπίδας τῆς σωτηρίας καὶ τῆς εὐδοκιμήσεως ἔχειν. Διὰ τοῦτό φησιν, «οἷς ἡτοίμασται». Τί γάρ, φησίν, ἐὰν ἕτεροι φανῶσιν ὑμῶν βελτίους; τί δὲ ἂν μείζονα ἐργάσωνται; Μὴ γὰρ ἐπειδὴ μαθηταί μου γεγόνατε, διὰ τοῦτο τῶν πρωτείων ἀπολαύσεσθε, ἐὰν μὴ τῆς ἐκλογῆς αὐτοὶ ἄξιοι φανῆτε;

Ὅτι γὰρ αὐτὸς Κύριός ἐστι τοῦ παντός, δῆλον ἐξ ὧν αὐτὸς πᾶσαν ἔχει τὴν κρίσιν. Καὶ γὰρ Πέτρῳ οὕτω φησίν· «Ἐγώ σοι δώσω τὰς κλεῖς τῶν οὐρανῶν». Καὶ ὁ Παῦλος δὲ τοῦτο δηλῶν ἔλεγε· «Λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος, ὃν ἀποδώσει μοι ὁ Κύριος ὁ δίκαιος κριτὴς ἐν ἐκείνῃ τῇ ἡμέρᾳ· οὐ μόνον δὲ ἐμοί, ἀλλὰ καὶ πᾶσι τοῖς ἠγαπηκόσι τὴν ἐπιφάνειαν αὐτοῦ». Ἐπιφάνεια δὲ τοῦ Χριστοῦ γέγονεν. Ὅτι δὲ Παύλου οὐδεὶς πρῶτος στήσεται, παντί που δῆλον. Εἰ δὲ ἀσαφέστερον ταῦτα εἴρηκε, μὴ θαυμάσῃς. Παραπεμπόμενός τε γὰρ αὐτοὺς οἰκονομικῶς,

22. Ματθ. 16, 19.
23. Β' Τιμ. 4, 8.

ὥστε νὰ στεφανωθοῦν καὶ νὰ ἀνακηρυχθοῦν νικηταί. Ἐκεῖνος ὅμως λέγει πρὸς αὐτούς, ὅτι αὐτὸς δὲν ἔχει δικαίωμα νὰ τὸ πράξῃ αὐτό, ἀλλὰ ἡ νίκη θὰ δοθῇ εἰς ἐκείνους διὰ τοὺς ὁποίους ἔχει ἑτοιμασθῇ, οἱ ὁποῖοι θὰ κοπιάσουν καὶ θὰ ἱδρώσουν. Ἠμποροῦμεν ἄρα γε νὰ τοῦ καταλογίσωμεν ἀδυναμίαν; Ἀσφαλῶς ὄχι· ἀλλ' ἀντιθέτως θ' ἀναγνωρίσωμεν ὅτι αὐτὸς εἶναι δίκαιος καὶ ἀμερόληπτος.

Ὅπως ἀκριβῶς λοιπὸν δὲν θὰ ἠμπορούσαμεν νὰ εἰποῦμεν ὅτι αὐτὸς δὲν ἔχει δύναμιν, ἐπειδὴ δὲν δίδει τὸν στέφανον, μὲ σκοπὸν νὰ μὴ καταλύσῃ τὸν νόμον τῶν ἀγώνων, καὶ νὰ μὴ διαταράξῃ τὴν τάξιν τοῦ δικαίου, ἔτσι λοιπὸν θὰ ἠμποροῦσα νὰ εἰπῶ ὅτι καὶ ὁ Χριστὸς τὸ εἶπεν αὐτὸ μὲ σκοπὸν νὰ τοὺς παρακινήσῃ μὲ κάθε τρόπον νὰ στηρίζουν τὰς ἐλπίδας τῆς σωτηρίας των καὶ τῆς προκοπῆς των εἰς τὴν ἀρετὴν εἰς τὰ προσωπικά των κατορθώματα ποὺ γίνονται μὲ τὴν χάριν τοῦ Θεοῦ. Διὰ τοῦτο λέγει, «εἰς ἐκείνους διὰ τοὺς ὁποίους ἔχει ἑτοιμασθῇ». Διότι, λέγει, τί θὰ συμβῇ ἐὰν παρουσιασθοῦν ἄλλοι καλύτεροι ἀπὸ σᾶς; τί δέ, ἐὰν ἐπιτελέσουν μεγαλύτερα ἔργα; Ἢ νομίζετε, ἐπειδὴ ἔχετε γίνει μαθηταί μου, ὅτι θ' ἀπολαύσετε ἐξ αἰτίας αὐτοῦ καὶ τὰ πρωτεῖα, ἐὰν δὲν φανῆτε σεῖς οἱ ἴδιοι ἄξιοι τῆς ἐκλογῆς;

Τὸ ὅτι λοιπὸν αὐτὸς εἶναι Κύριος τοῦ σύμπαντος, εἶναι φανερὸν ἀπὸ τὸ ὅτι αὐτὸς κρίνει τὸ σύμπαν. Καθ' ὅσον λέγει τὰ ἑξῆς εἰς τὸν Πέτρον· «Ἐγὼ θὰ σοῦ δώσω τὰ κλειδιὰ τῶν οὐρανῶν»[22]. Καὶ ὁ Παῦλος δέ, διὰ νὰ δηλώσῃ αὐτό, ἔλεγε· «Τώρα πλέον μοῦ ἀπομένει ὁ στέφανος τῆς δικαιοσύνης, τὸν ὁποῖον θὰ μοῦ δώσῃ ὁ Κύριος ὁ δίκαιος κριτὴς κατὰ τὴν ἡμέραν ἐκείνην τῆς κρίσεως· καὶ δὲν θὰ τὸν δώσῃ μόνον εἰς ἐμένα, ἀλλὰ καὶ εἰς ὅλους ἐκείνους ποὺ ἔχουν ἀγαπήσει τὴν ἐμφάνισίν του»[23]. Ἡ ἐμφάνισις τοῦ Χριστοῦ εἰς τὸν κόσμον ἔχει γίνει. Τὸ ὅτι δὲ κανεὶς δὲν θὰ σταθῇ πρὶν ἀπὸ τὸν Παῦλον, εἶναι φυσικὰ ὁλοφάνερον. Ἐὰν ὅμως αὐτὰ τὰ ἔχῃ εἰπεῖ κατὰ τρόπον μὴ σαφῆ, μὴ ἀπορῇς. Διότι ἤθελε, δείχνοντας ὅλην τὴν συγκατάβασίν του, νὰ τοὺς

ὥστε μὴ ὑπὲρ πρωτείων ἐνοχλεῖν εἰκῇ καὶ μάτην (καὶ γὰρ ἀπὸ πάθους τοῦτο ἔπασχον ἀνθρωπίνου), καὶ μὴ λυπῆσαι βουλόμενος αὐτούς, τῇ ἀσαφείᾳ ἀμφότερα ταῦτα κατορθοῖ.

«Τότε ἠγανάκτησαν οἱ δέκα περὶ τῶν δύο». Τότε, πότε; Ὅτε ἐπετίμησεν αὐτοῖς. Ἕως μὲν γὰρ τοῦ Χριστοῦ ἡ ψῆφος ἦν, οὐκ ἠγανάκτουν, ἀλλ' ὁρῶντες αὐτοὺς προτιμωμένους, ἔστεργον καὶ ἐσίγων, αἰδούμενοι τὸν διδάσκαλον καὶ τιμῶντες· καὶ εἰ κατὰ διάνοιαν ἤλγουν, ἀλλ' εἰς μέσον τοῦτο ἐξενεγκεῖν οὐκ ἐτόλμων. Καὶ πρὸς Πέτρον δέ τι παθόντες ἀνθρώπινον, ὅτε τὰ δίδραχμα ἔδωκεν, οὐκ ἐδυσχέραναν, ἀλλ' ἠρώτησαν μόνον «Τίς ἄρα μείζων ἐστίν;». Ἐπειδὴ δὲ τῶν μαθητῶν ἐνταῦθα ἡ αἴτησις ἦν, ἀγανακτοῦσι. Καὶ οὐδὲ ἐνταῦθα εὐθέως ἀγανακτοῦσιν, ὅτε ἤτησαν, ἀλλ' ὅτε αὐτοῖς ἐπετίμησεν ὁ Χριστὸς καὶ ἔφησεν οὐκ ἀπολαύσεσθαι τῶν πρωτείων αὐτούς, εἰ μὴ παράσχοιεν ἑαυτοὺς τούτων ἀξίους.

4. Εἶδες πῶς ἀτελέστερον πάντες διέκειντο, καὶ οὗτοι κατεξανιστάμενοι τῶν δέκα, καὶ ἐκεῖνοι φθονοῦντες τοῖς δυσίν; Ἀλλ', ὅπερ ἔφην, μετὰ ταῦτά μοι αὐτοὺς δεῖξον, καὶ ὄψει πάντων τούτων ἀπηλλαγμένους τῶν παθῶν. Ἄκουσον γοῦν πῶς οὗτος αὐτὸς ὁ Ἰωάννης, ὁ νῦν προσελθὼν ὑπὲρ τούτων, πανταχοῦ τῶν πρωτείων τῷ Πέτρῳ παραχωρεῖ, καὶ δημηγοροῦντι καὶ θαυματουργοῦντι ἐν ταῖς Πράξεσι τῶν ἀποστόλων. Καὶ οὐκ ἀποκρύπτει αὐτοῦ τὰ κατορθώματα, ἀλλὰ καὶ τὴν ὁμολογίαν λέγει, ἣν πάντων σιγώντων ἐπεδείξατο, καὶ τὴν εἰς τὸν τάφον εἴσοδον, καὶ προ-

24. Πρβλ. Ματθ. 17, 24-27.
25. Ματθ. 18, 1.
26. Πρβλ. Πράξ. 3, 1ἑ.

προφυλάξῃ μὲ τοὺς λόγους του, ὥστε νὰ μὴ τὸν ἐνοχλοῦν ἄδικα καὶ ἄσκοπα διὰ τὰ πρωτεῖα (καθ' ὅσον αὐτὸ συνέβαινεν εἰς αὐτοὺς ἀπὸ ἀνθρωπίνην ἀδυναμίαν), καὶ ἐπειδὴ δὲν ἤθελε νὰ τοὺς στενοχωρήσῃ· καὶ μὲ τὴν ἀσάφειαν αὐτὴν ἐπιτυγχάνει καὶ τὰ δύο.

«Τότε ἠγανάκτησαν οἱ δέκα ὑπόλοιποι μαθηταὶ διὰ τὴν διαγωγὴν αὐτῶν τῶν δύο». Τότε· πότε; Ὅταν τοὺς ἐπέπληξεν. Διότι, ὅσον χρόνον ἡ προτίμησις ἀποτελοῦσεν ἀπόφασιν τοῦ Χριστοῦ, δὲν ἀγανακτοῦσαν, ἀλλὰ βλέποντες αὐτοὺς νὰ προτιμῶνται, τὸ ἀπεδέχοντο καὶ ἐσιωποῦσαν, ἐπειδὴ ἐσέβοντο τὸν διδάσκαλον καὶ τὸν ἐτιμοῦσαν· ἀλλὰ καὶ ἂν ἀκόμη ἐλυποῦντο εἰς τὴν σκέψιν των, ὅμως δὲν ἐτολμοῦσαν νὰ τὸ φανερώσουν αὐτό. Καὶ εἰς τὴν περίπτωσιν δὲ τοῦ Πέτρου, ὅταν τοῦ ἔδωσε τὰ δίδραχμα[24], μολονότι παρουσίασαν κάποιαν ἀνθρωπίνην ἀδυναμίαν, ὅμως δὲν ἐλυπήθησαν, ἀλλ' ἁπλῶς τὸν ἠρώτησαν, «Ποῖος λοιπὸν εἶναι ὁ μεγαλύτερος;»[25]. Ἐπειδὴ ὅμως εἰς τὴν περίπτωσιν αὐτὴν τὸ αἴτημα ἦτο τῶν μαθητῶν, ἀγανακτοῦν. Ἀλλὰ οὔτε καὶ πάλιν ἀγανακτοῦν ἀμέσως, μόλις τὸ ἐζήτησαν, ἀλλ' ὅταν ὁ Χριστὸς τοὺς ἐπέπληξε καὶ τοὺς εἶπεν, ὅτι δὲν θὰ ἀπολαύσουν τὰ πρωτεῖα, ἐὰν δὲν κάνουν τοὺς ἑαυτούς των ἀξίους δι' αὐτά.

4. Εἶδες πόσον ἀτελὴς ἦτο ἡ πνευματικότης ὅλων τῶν μαθητῶν του, ὥστε καὶ αὐτοὶ οἱ δύο νὰ ἐπιχειροῦν νὰ ἐπιβληθοῦν τῶν δέκα, καὶ ἐκεῖνοι νὰ φθονοῦν τοὺς δύο; Ἀλλά, ὅπως προανέφερα, σὲ παρακαλῶ νὰ μοῦ τοὺς δείξῃς μετὰ ἀπὸ ὅλα αὐτὰ καὶ θὰ τοὺς ἰδῇς ὅλους νὰ εἶναι ἀπηλλαγμένοι ἀπὸ τὰ πάθη τους αὐτά. Ἄκουσε λοιπὸν πῶς αὐτὸς ὁ ἴδιος ὁ Ἰωάννης, ποὺ τώρα προσῆλθε καὶ ἤθελε νὰ ἐξουσιάσῃ αὐτούς, εἰς κάθε περίπτωσιν παραχωρεῖ τὰ πρωτεῖα εἰς τὸν Πέτρον, καὶ εἰς τὸ κήρυγμα καὶ εἰς τὴν ἐπιτέλεσιν θαυμάτων εἰς τὰς Πράξεις τῶν Ἀποστόλων[26]. Καὶ δὲν ἀποκρύπτει τὰ κατορθώματα αὐτοῦ, ἀλλὰ καὶ τὴν ὁμολογίαν τῆς πίστεώς του διακηρύττει, πρᾶγμα ποὺ τὸ ἔκανεν ὅταν ὅλοι ἐσιωποῦσαν, καὶ τὴν εἴσοδόν του εἰς τὸν τάφον

τίθησιν ἑαυτοῦ τὸν ἀπόστολον. Ἐπειδὴ γὰρ ἀμφότεροι παρέμειναν σταυρουμένῳ, τὸ ἑαυτοῦ ἐγκώμιον ὑποτεμνόμενός φησιν, ὅτι γνώριμος ἦν ὁ μαθητὴς ἐκεῖνος τῷ ἱερεῖ». Ὁ δὲ Ἰάκωβος μακρὸν μὲν οὐκ ἐπέζησε χρόνον· ἐκ προοιμίων δὲ οὕτω διεθερμάνθη, καὶ πάντα τὰ ἀνθρώπινα ἄφεις πρὸς ὕψος ἀνέδραμεν ἄφατον, ὡς εὐθέως σφαγῆναι. Οὕτω πάντων ἕνεκεν μετὰ ταῦτα ἄκροι ἐγένοντο. Ἀλλὰ τότε ἠγανάκτησαν.

Τί οὖν ὁ Χριστός; «Προσκαλεσάμενος αὐτούς φησιν· οἱ ἄρχοντες τῶν ἐθνῶν κατακυριεύουσιν αὐτῶν». Ἐπειδὴ γὰρ ἐθορυβήθησαν καὶ ἐταράχθησαν, τῇ κλήσει πρὸ τοῦ λόγου αὐτοὺς καταπραΰνει, καὶ τῷ πλησίον αὐτοὺς ἐπισπάσασθαι. Καὶ γὰρ οἱ δύο, τοῦ χοροῦ τῶν δέκα ἑαυτοὺς ἀπορρήξαντες, ἐγγύτερον εἱστήκεσαν ἰδιολογούμενοι. Διὰ τοῦτο καὶ τούτους πλησίον ἄγει· τούτῳ τε αὐτῷ, καὶ τῷ τὸ εἰρημένον ἐκπομπεῦσαι καὶ εἰς τοὺς ἄλλους ἐξαγαγεῖν, παραμυθούμενος τὸ πάθος καὶ τούτων κἀκείνων. Καὶ οὐχ ὡς ἔμπροσθεν, οὕτω καὶ νῦν καταστέλλει. Πρότερον μὲν γὰρ παιδία ἄγει εἰς μέσον, καὶ τὸ ἀφελὲς αὐτῶν καὶ τὸ ταπεινὸν μιμεῖσθαι κελεύει· ἐνταῦθα δὲ πληκτικώτερον ἀπὸ τοῦ ἐναντίου ἐντρέπει λέγων· «Οἱ ἄρχοντες τῶν ἐθνῶν κατακυριεύουσιν αὐτῶν, καὶ οἱ μεγάλοι κατεξουσιάζουσι· παρὰ δὲ ὑμῖν οὐκ ἔσται οὕτως· ἀλλ' ὁ θέλων ἐν ὑμῖν γενέσθαι μέγας, οὕτως ἔστω πάντων διάκονος, καὶ ὁ θέλων εἶναι πρῶτος, ἔστω πάντων ἔσχατος», δεικνὺς ὅτι ἐθνικῶν τὸ τοιοῦτον, τὸ τῶν πρωτείων ἐρᾶν.

27. Ἰω. 18, 16.

ἀναφέρει καὶ παρουσιάζει πρὶν ἀπὸ τὸν ἑαυτόν του τὸν Πέτρον. Ἐπειδὴ δηλαδὴ καὶ οἱ δύο παρευρέθησαν πλησίον τοῦ Κυρίου κατὰ τὴν ὥραν τῆς σταυρώσεώς του, μειώνων τὸ ἰδικόν του ἐγκώμιον, λέγει, ὅτι «ὁ μαθητὴς ἐκεῖνος ἦτο γνωστὸς εἰς τὸν ἀρχιερέα»[27]. Ὁ δὲ Ἰάκωβος δὲν ἔζησε μὲν ἐπὶ μακρὸν χρόνον, ἀλλὰ εὐθὺς ἐξ ἀρχῆς ἔδειξε τόσην θέρμην πίστεως καὶ ἐγκαταλείψας ὅλα τὰ ἀνθρώπινα, ἔφθασεν εἰς ὕψος ἀπερίγραπτον, ὥστε ἀμέσως νὰ σφαγῇ. Ἔτσι ἀργότερα ἐξ αἰτίας ὅλων αὐτῶν ἔφθασαν εἰς τὰς ἀνωτέρας βαθμίδας τῆς ἀρετῆς. Ἀλλὰ τότε ἠγανάκτησαν.

Τί κάνει λοιπὸν ὁ Χριστός; «Ἀφοῦ τοὺς προσεκάλεσε, λέγει· Οἱ ἄρχοντες τῶν ἐθνῶν κατατυραννοῦν τοὺς λαούς των». Διότι ἐπειδὴ ἐθορυβήθησαν καὶ ἐταράχθησαν, τοὺς καθησυχάζει, πρὶν νὰ τοὺς ὁμιλήσῃ, μὲ τὴν πρόσκλησίν του καὶ μὲ τὸ ὅτι τοὺς ἐκάλεσε πλησίον του. Καθ' ὅσον οἱ δύο, ἐπειδὴ εἶχαν ἀποσπασθῇ ἀπὸ τὴν ὁμάδα τῶν δέκα, ἐστέκοντο πλησιέστερα πρὸς αὐτόν, συνομιλοῦντες μὲ αὐτὸν ἰδιαιτέρως. Διὰ τοῦτο καὶ αὐτοὺς τοὺς προσκαλεῖ πλησίον του, θέλοντας μαζὶ μὲ αὐτὸ καὶ τὸ αἴτημά των νὰ διαπομπεύσῃ καὶ νὰ τὸ ἀνακοινώσῃ εἰς τοὺς ἄλλους, θεραπεύοντας τὸ πάθος καὶ αὐτῶν καὶ ἐκείνων. Καὶ δὲν θεραπεύει τὸ πάθος των αὐτὸ εἰς τὴν περίπτωσιν αὐτὴν ὅπως τὸ ἔκανε προηγουμένως. Διότι εἰς τὴν προηγουμένην περίπτωσιν ὁδηγεῖ παιδιὰ εἰς τὸ μέσον καὶ τοὺς παροτρύνει νὰ μιμοῦνται τὴν ἀφέλειαν καὶ τὴν ταπείνωσιν αὐτῶν, ἐνῷ εἰς τὴν περίπτωσιν αὐτὴν ἡ προτροπὴ γίνεται μὲ αὐστηρότερον τόνον, καὶ μὲ ἀντίθετα παραδείγματα, λέγοντάς τους· «Οἱ ἄρχοντες τῶν ἐθνῶν κατατυραννοῦν τοὺς λαούς των καὶ οἱ μεγάλοι ἀξιωματοῦχοι τοὺς μεταχειρίζονται ὡσὰν δούλους των. Δὲν πρέπει ὅμως νὰ συμβῇ τὸ ἴδιο μεταξύ σας, ἀλλ' αὐτὸς ποὺ θέλει ἀπὸ σᾶς νὰ γίνῃ μεγάλος, αὐτὸς πρέπει νὰ γίνῃ ὑπηρέτης ὅλων, καὶ αὐτὸς ποὺ θέλει νὰ εἶναι πρῶτος, ὀφείλει νὰ γίνῃ δοῦλος ὅλων», ἀποδεικνύοντας, ὅτι εἶναι ἴδιον γνώρισμα τῶν ἐθνικῶν τὸ νὰ ἐπιδιώκουν μὲ μανίαν τὰ πρωτεῖα.

Καὶ γὰρ τυραννικὸν τὸ πάθος, καὶ συνεχῶς ἐνοχλοῦν καὶ μεγάλοις ἀνδράσι· διὰ τοῦτο καὶ σφοδροτέρας δεῖται πληγῆς. Διὸ καὶ αὐτὸς βαθύτερον αὐτῶν καθικνεῖται, τῇ τῶν ἐθνῶν παραθέσει φλεγμαίνουσαν αὐτῶν τὴν ψυχὴν ἐντρέπων· καὶ τῶν μὲν τὸν φθόνον, τῶν δὲ τὴν ἀπόνοιαν ὑποτέμνεται, μόνον οὐχὶ λέγων· μὴ ἀγανακτεῖτε ὡς ὑβρισμένοι. Ἑαυτοὺς γὰρ μάλιστα βλάπτουσί τε καὶ καταισχύνουσιν οἱ οὕτω τὰ πρωτεῖα ζητοῦντες· ἐν γὰρ τοῖς ἐσχάτοις εἰσίν. Οὐ γάρ ἐστι τὰ παρ' ἡμῖν οἷα τὰ ἔξωθεν. Οἱ μὲν γὰρ ἄρχοντες τῶν ἐθνῶν κατακυριεύουσιν αὐτῶν· παρ' ἐμοὶ δὲ ὁ ἔσχατος οὗτος πρῶτός ἐστιν.

Ὅτι δὲ οὐχ ἁπλῶς ταῦτα λέγω, δι' ὧν ποιῶ καὶ πάσχω λάβε τὴν ἀπόδειξιν τῶν εἰρημένων. Ἐγὼ γάρ τι καὶ πλέον ἐποίησα. Βασιλεὺς γὰρ τῶν ἄνω δυνάμεων ὤν, ἄνθρωπος ἠβουλήθην γενέσθαι καὶ καταφρονηθῆναι κατεδεξάμην καὶ ὑβρισθῆναι. Καὶ οὐδὲ τούτοις ἠρκέσθην, ἀλλὰ καὶ ἐπὶ θάνατον ἦλθον. Διὰ τοῦτό φησιν· «Ὥσπερ ὁ Υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθε διακονηθῆναι, ἀλλὰ διακονῆσαι, καὶ δοῦναι τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν». Οὐδὲ γὰρ μέχρι τούτου ἔστην, φησίν, ἀλλὰ καὶ τὴν ψυχὴν ἔδωκα λύτρον· καὶ ὑπὲρ τίνων; Τῶν ἐχθρῶν. Σὺ δὲ ἂν ταπεινωθῇς, ὑπὲρ σαυτοῦ, ἐγὼ δὲ ὑπὲρ σοῦ.

Μὴ τοίνυν φοβηθῇς, ὡς τῆς τιμῆς σου καθαιρουμένης. Ὅσον γὰρ ἂν ταπεινωθῇς, οὐ δύνασαι τοσοῦτον κατελθεῖν,

Πράγματι εἶναι τυραννικὸν τὸ πάθος αὐτὸ καὶ συνεχῶς ἐνοχλεῖ καὶ τοὺς μεγάλους ἄνδρας, καὶ ἀκριβῶς διὰ τοῦτο χρειάζεται καὶ βαθυτέραν πληγήν. Ἔτσι λοιπὸν προχωρεῖ εἰς μεγαλύτερον βάθος, καὶ καταπραΰνει τὴν ὠργισμένην ψυχήν των, παραθέτοντας τὸ παράδειγμα τῶν ἐθνικῶν. Καὶ θεραπεύει τῶν μὲν τὸν φθόνον, τῶν δὲ τὴν ἀλαζονείαν, λέγοντάς τους σχεδόν· Μὴ ἀγανακτῆτε ὡσὰν νὰ ἔχετε ὑβρισθῆ. Διότι αὐτοὶ ποὺ ζητοῦν τὰ πρωτεῖα κατ' αὐτὸν τὸν τρόπον, βλάπτουν κατ' ἐξοχὴν καὶ κατεντροπιάζουν τοὺς ἑαυτούς των, διότι τοποθετοῦν τοὺς ἑαυτούς των μεταξὺ τῶν τελευταίων. Δὲν εἶναι ὅμως τὰ ἰδικά μας διδάγματα ὅμοια μὲ τὰ τῶν ἐθνικῶν. Διότι οἱ μὲν ἄρχοντες τῶν ἐθνικῶν κατατυραννοῦν τοὺς λαούς των, ἐνῷ σύμφωνα μὲ τὰ ἰδικά μας διδάγματα αὐτὸς ποὺ εἶναι δοῦλος τῶν ἄλλων, εἶναι πρῶτος εἰς ἀξίαν.

Τὸ ὅτι δὲ αὐτὰ δὲν ἀποτελοῦν ἁπλῶς λόγον, λάβε ὡς ἀπόδειξιν τῶν λόγων μου αὐτὰ τὰ ὁποῖα κάνω καὶ πάσχω. Ἀλλ' ἐγὼ ἔκανα καὶ κάτι περισσότερον. Διότι μολονότι ἤμουν βασιλεὺς τῶν οὐρανίων δυνάμεων, ἠθέλησα νὰ γίνω ἄνθρωπος καὶ κατεδέχθην νὰ περιφρονηθῶ καὶ νὰ ὑβρισθῶ. Καὶ οὔτε καὶ εἰς αὐτὰ ἠρκέσθην, ἀλλὰ καὶ ἔφθασα μέχρι καὶ εἰς αὐτὸν τὸν θάνατον. Διὰ τοῦτο λέγει· «Ὅπως ἀκριβῶς ὁ Υἱὸς τοῦ ἀνθρώπου, δὲν ἦλθε διὰ νὰ ὑπηρετηθῇ, ἀλλὰ νὰ ὑπηρετήσῃ καὶ νὰ δώσῃ τὴν ζωήν του ὡς λύτρον χάριν τῆς σωτηρίας τῶν πολλῶν ἀνθρώπων». Δὲν ἐσταμάτησα δηλαδή, λέγει, μέχρις εἰς αὐτὸ τὸ σημεῖον, ἀλλὰ καὶ τὴν ψυχήν μου ἔδωσα ὡς λύτρον. Καὶ χάριν ποίων ἔκανα αὐτὴν τὴν θυσίαν; Χάριν τῶν ἐχθρῶν. Καὶ σὺ μὲν ἐὰν ταπεινωθῇς, τὸ κάνεις χάριν τοῦ ἑαυτοῦ σου, ἐνῷ ἐγὼ ἐταπεινώθην πρὸς χάριν σου.

Ἑπομένως μὴ φοβηθῇς μὲ τὴν σκέψιν ὅτι χάνεται ἡ ἀξιοπρέπειά σου. Διότι ὅσον καὶ ἂν ταπεινωθῇς, δὲν ἠμπορεῖς νὰ κατέλθῃς εἰς τόσον χαμηλὸν σημεῖον, εἰς τὸ ὁποῖον

ὅσον ὁ Δεσπότης σου. Ἀλλ' ὅμως ἡ καταβασις αὕτη πάντων ἀνάβασις γέγονε, καὶ τὴν δόξαν ἐκλάμψαι πεποίηκε τὴν ἑαυτοῦ. Πρὸ μὲν γὰρ τοῦ γενέσθαι ἄνθρωπος, παρ' ἀγγέλοις ἐγνωρίζετο μόνοις· ἐπειδὴ δὲ ἄνθρωπος ἐγένετο καὶ ἐσταυρώθη, οὐ μόνον ἐκείνην οὐκ ἠλάττωσε τὴν δόξαν, ἀλλὰ καὶ ἑτέραν προσέλαβε, τὴν ἀπὸ τῆς γνώσεως τῆς οἰκουμένης. Μὴ δὴ φοβηθῇς, ὡς τῆς τιμῆς σου καθαιρουμένης, ἐὰν ταπεινώσῃς σαυτόν· ταύτῃ γὰρ μᾶλλον ἐπαίρεταί μου ἡ δόξα· ταύτῃ γίνεται μείζων. Αὕτη τῆς βασιλείας ἡ θύρα. Μὴ δὴ τὴν ἐναντίαν ἔλθωμεν, μηδὲ ἑαυτοῖς πολεμῶμεν. Ἐὰν γὰρ βουληθῶμεν μεγάλοι φαίνεσθαι, οὐκ ἐσόμεθα μεγάλοι, ἀλλὰ καὶ πάντων ἀτιμότεροι.

Εἶδες πῶς πανταχοῦ ἀπὸ τῶν ἐναντίων αὐτοὺς προτρέπει, διδοὺς αὐτοῖς ὅπερ ἐπιθυμοῦσι; Καὶ γὰρ ἐν τοῖς ἔμπροσθεν διὰ πολλῶν τοῦτο ἐδείξαμεν· καὶ ἐπὶ τῶν φιλοχρημάτων καὶ τῶν κενοδοξούντων οὕτως ἐποίησε. Τίνος γὰρ ἕνεκεν, ἔμπροσθεν τῶν ἀνθρώπων ἐλεεῖς; ἵνα δόξης ἀπολαύσῃς; Οὐκοῦν μὴ ποίει οὕτω, καὶ ἀπολαύσῃ πάντως. Τίνος δὲ ἕνεκεν θησαυρίζεις; ἵνα πλουτῇς; Οὐκοῦν μὴ θησαυρίσῃς, καὶ πλουτήσεις. Οὕτω καὶ ἐνταῦθα. Τίνος ἕνεκεν τῶν πρωτείων ἐρᾷς; ἵνα πρὸ τῶν ἄλλων ἦς; Οὐκοῦν τὴν ἐσχάτην ἐπίλεξαι τάξιν, καὶ τότε τῶν πρωτείων ἀπολαύσῃ. Ὥστε εἰ θέλεις γενέσθαι μέγας, μὴ ζήτει γενέσθαι μέγας, καὶ τότε ἔσῃ μέγας. Ἐκεῖνο γὰρ μικρόν ἐστιν εἶναι.

5. Ὁρᾷς πῶς αὐτοὺς ἀπήγαγε τοῦ νοσήματος, τῷ δεῖξαι καὶ ἐκεῖθεν ἐκπίπτοντας, καὶ ἐντεῦθεν ἐπιτυγχάνοντας· ἵνα τὸ μὲν φύγωσι, τὸ δὲ διώκωσι. Καὶ τῶν ἐθνῶν δὲ διὰ

κατῆλθεν ὁ Κύριός σου. Ἀλλ' ὅμως ἡ ταπείνωσις αὐτὴ ἔγινεν αἰτία ἀνυψώσεως ὅλων τῶν ἀνθρώπων καὶ συνετέλεσεν ὥστε νὰ ἐκλάμψῃ ἡ δόξα τοῦ Χριστοῦ. Διότι πρὶν γίνῃ ἄνθρωπος, ἦτο γνωστὸς μόνον εἰς τοὺς ἀγγέλους, ὅταν ὅμως ἔγινεν ἄνθρωπος καὶ ἐσταυρώθη, ὄχι μόνον δὲν ἠλάττωσεν ἐκείνην τὴν δόξαν, ἀλλὰ καὶ ἄλλην ἀπέκτησεν, ἀπὸ τὸ ὅτι τὸν ἐγνώρισεν ὅλη ἡ οἰκουμένη. Μὴ λοιπὸν φοβηθῇς, μὲ τὴν σκέψιν ὅτι δῆθεν χάνεις τὴν ἀξιοπρέπειάν σου, ἐὰν ταπεινωθῇς· διότι μὲ τὴν ταπείνωσίν σου αὐτὴν αὐξάνεται ἡ δόξα σου, μὲ αὐτὴν γίνεται ἀκόμη μεγαλυτέρα. Αὐτὴ εἶναι ἡ πόρτα τῆς βασιλείας τῶν οὐρανῶν. Ἂς μὴ ἀκολουθήσωμεν λοιπὸν τὴν ἀντίθετον ὁδόν, οὔτε νὰ πολεμῶμεν τοὺς ἑαυτούς μας. Διότι ἐὰν θελήσωμεν νὰ φαινώμεθα μεγάλοι, δὲν θὰ γίνωμεν μεγάλοι, ἀλλ' ἀντιθέτως θὰ γίνωμεν οἱ πιὸ ἀσήμαντοι ἀπὸ ὅλους.

Εἶδες ὅτι εἰς κάθε περίπτωσιν τοὺς διδάσκει μὲ τὰ ἀντίθετα παραδείγματα, δίδοντάς τους αὐτὸ ποὺ ἐπιθυμοῦν; Καὶ αὐτὸ προηγουμένως τὸ ἀπεδείξαμεν πολλὲς φορές, διότι καὶ εἰς τὴν περίπτωσιν τῶν φιλαργύρων καὶ τῶν κενοδόξων ἔτσι ἐνήργησεν. Διατί λοιπόν, λέγει, κάνεις τὴν ἐλεημοσύνην ἐμπρὸς εἰς τοὺς ἀνθρώπους; διὰ νὰ ἀπολαύσῃς δόξαν; Μὴ τὸ κάνῃς λοιπὸν αὐτὸ καὶ ὁπωσδήποτε θ' ἀπολαύσῃς δόξαν. Πρὸς ποῖον δὲ σκοπὸν θησαυρίζεις; Διὰ νὰ ἔχῃς πλοῦτη; Λοιπόν, μὴ θησαυρίσῃς ἐδῶ καὶ θὰ γίνῃς πλούσιος ἐκεῖ. Ἔτσι καὶ εἰς τὴν περίπτωσιν αὐτήν. Διατί ποθεῖς τὰ πρωτεῖα; Διὰ νὰ εἶσαι πρὶν ἀπὸ τοὺς ἄλλους; Λοιπὸν διάλεξε τὴν τελευταίαν θέσιν, καὶ τότε θὰ ἀπολαύσῃς τὰ πρωτεῖα. Ὥστε ἐὰν θέλῃς νὰ γίνῃς μεγάλος, μὴ ζητῇς νὰ γίνῃς μεγάλος, καὶ τότε θὰ γίνῃς μεγάλος. Διότι αὐτὸ θὰ εἴπῃ νὰ εἶσαι μικρός.

5. Βλέπεις πῶς τοὺς ἀπεμάκρυνεν ἀπὸ τὸ νόσημα, μὲ τὸ ὅτι τοὺς ἀπέδειξεν ὅτι ἡ μὲν φιλοπρωτία τοὺς ὁδηγεῖ εἰς ἀποτυχίαν, ἐνῷ ἡ ταπείνωσις εἰς ἐπιτυχίαν, ὥστε τὸ μὲν νὰ ἀποφύγουν τὸ δὲ νὰ ἐπιδιώκουν. Καὶ τοὺς ἐθνικοὺς δὲ διὰ

τοῦτο ἀνέμνησεν, ἵνα καὶ ταύτῃ τὸ πρᾶγμα ἐπονείδιστον καὶ δδελυκτὸν ἀποδείξῃ. Τὸν γὰρ ἀπονενοημένον ἀνάγκη ταπεινὸν εἶναι, καὶ τοὐναντίον τὸν ταπεινόφρονα ὑψηλόν. Τοῦτο γὰρ τὸ ὕψος τὸ ἀληθὲς καὶ γνήσιον, καὶ οὐκ ἐν ὀνόματι μόνον, οὐδὲ ἐν προσηγορίᾳ ὄν. Καὶ τὸ μὲν ἔξωθεν ἀνάγκης ἐστὶ καὶ φόβου· τοῦτο δὲ τῷ τοῦ Θεοῦ προοέοικεν. Ὁ τοιοῦτος, κἂν παρὰ μηδενὸς θαυμάζηται, ὑψηλὸς μένει· ὥσπερ οὖν ἐκεῖνος, κἂν παρὰ πάντων θεραπεύηται, πάντων ἐστὶ ταπεινότερος. Καὶ ἡ μὲν κατὰ ἀνάγκην ἐστὶ τιμή, ὅθεν καὶ διαῤῥεῖ ῥᾳδίως· ἡ δὲ ἐκ προαιρέσεως, ὅθεν καὶ μένει βεβαία. Ἐπεὶ καὶ τοὺς ἁγίους διὰ τοῦτο θαυμάζομεν, ὅτι πάντων ὄντες μείζους, πάντων μᾶλλον ἑαυτοὺς ἐταπείνουν. Διὸ καὶ μέχρι τῆς σήμερον μένουσιν ὄντες ὑψηλοί, καὶ οὐδὲ ἡ τελευτὴ τὸ ὕψος ἐκεῖνο κατήνεγκεν.

Εἰ δὲ βούλεσθε, καὶ ἀπὸ λογισμῶν ἐξετάσωμεν τοῦτο αὐτό. Ὑψηλὸς εἶναι λέγεταί τις, ἢ ὅταν τῷ μήκει τοῦ σώματος τοῦτο ᾖ, ἢ ὅταν ἐφ' ὑψηλοῦ τόπου ἑστηκὼς τύχῃ· καὶ ταπεινὸς ὡσαύτως ἀπὸ τῶν ἐναντίων. Ἴδωμεν οὖν τίς τοιοῦτός ἐστιν, ὁ ἀλαζὼν ἢ ὁ μειριάζων· ἵνα ἴδῃς, ὅτι οὐδὲν ταπεινοφροσύνης ὑψηλότερον, καὶ οὐδὲν ἀλαζονείας χθαμαλώτερον. Ὁ μὲν οὖν ἀλαζὼν πάντων βούλεται εἶναι μείζων, καὶ οὐδένα ἑαυτοῦ ἄξιον εἶναί φησι, καὶ ὅσης ἂν τύχῃ τιμῆς, πλείονος ἐρᾷ καὶ ἀντέχεται, καὶ οὐδεμιᾶς τετυχηκέναι νομίζει, καὶ διαπτύει τοὺς ἀνθρώπους, καὶ τῆς παρ' αὐτῶν ἐφίεται τιμῆς· οὔ τί γένοιτ' ἂν ἀλογώτερον; Καὶ

τοῦτο τοὺς ἀνέφερεν, ὥστε καὶ μὲ τὸ παράδειγμα αὐτὸ νὰ ἀποδείξῃ ὅτι τὸ πρᾶγμα αὐτὸ εἶναι ἐπονείδιστον καὶ σιχαμερόν. Διότι πρέπει ὁ μὲν ὑπερήφανος νὰ εἶναι ἀσήμαντος, ἐνῷ ἀντιθέτως ὁ ταπεινόφρων νὰ εἶναι ὑψηλός. Καθ' ὅσον αὐτὸ εἶναι το ἀληθινὸν καὶ γνήσιον ὕψος, καὶ τὸ ὁποῖον δὲν εἶναι μόνον κατὰ λέξιν οὔτε ὡς πρὸς τὴν ὀνομασίαν. Καὶ τὸ μὲν ὕψος τοῦ κόσμου εἶναι ἀποτέλεσμα ἀνάγκης καὶ φόβου, ἐνῷ τὸ ὕψος αὐτὸ ὁμοιάζει μὲ τὸ ὕψος τοῦ Θεοῦ. Ὁ παρόμοιος ἄνθρωπος καὶ ἂν ἀκόμη δὲν θαυμάζεται ἀπὸ κανένα, παραμένει ὑψηλός, ὅπως ἀκριβῶς πάλιν ἐκεῖνος, καὶ ἂν ἀκόμη ὑπηρετῆται ἀπὸ ὅλους, εἶναι πιὸ ἀσήμαντος ἀπὸ ὅλους. Καὶ ἡ μὲν μία τιμὴ εἶναι ἀποτέλεσμα ἀνάγκης, διὰ τοῦτο δὲ καὶ χάνεται εὔκολα, ἐνῷ ἡ ἄλλη πηγάζει ἀπὸ τὴν θέλησιν, καὶ διὰ τοῦτο παραμένει σταθερά. Ἐξ ἄλλου καὶ τοὺς ἁγίους διὰ τοῦτο τοὺς θαυμάζομεν, διότι, μολονότι ἦσαν ἀνώτεροι ὅλων, παρὰ ταῦτα ἐταπείνωσαν τοὺς ἑαυτούς των περισσότερον ἀπὸ ὅλους. Διὰ τοῦτο καὶ μέχρι σήμερα παραμένουν ὑψηλοὶ καὶ οὔτε ὁ θάνατός των κατέστρεψε τὸ ὕψος ἐκεῖνο.

Ἐὰν ὅμως θέλετε, ἂς ἐξετάσωμεν τὸ ἴδιο αὐτὸ θέμα βάσει συλλογισμῶν. Κάποιος λέγεται ὅτι εἶναι ὑψηλός, ἢ ὅταν εἶναι ὑψηλὸς ὡς πρὸς τὸ μῆκος τοῦ σώματός του, ἢ ὅταν συμβαίνῃ νὰ στέκεται εἰς ὑψηλὸν μέρος. Κατὰ τὸν ἴδιον συλλογισμὸν κάποιος ὀνομάζεται χαμηλός, ἐπὶ τῇ βάσει τῶν ἀντιθέτων γνωρισμάτων. Ἂς ἰδοῦμεν λοιπὸν ποῖος εἶναι πραγματικὰ ὁ ὑψηλός, ὁ ἀλαζὼν ἢ ὁ ταπεινός, ὥστε νὰ ἀντιληφθῇς ὅτι τίποτε δὲν εἶναι ὑψηλότερον ἀπὸ τὴν ταπεινοφροσύνην καὶ τίποτε χαμηλότερον ἀπὸ τὴν ἀλαζονείαν. Ὁ μὲν λοιπὸν ἀλαζὼν ἐπιθυμεῖ νὰ εἶναι ἀνώτερος ἀπὸ ὅλους καὶ κανένα δὲν παραδέχεται ὡς ἰσάξιόν του, καὶ ὁποιασδήποτε τιμῆς καὶ ἂν τύχῃ, ἐπιθυμεῖ καὶ ἐπιδιώκει μεγαλυτέραν τιμὴν καὶ πιστεύει ὅτι δὲν ἔτυχε καμμιᾶς τιμῆς καὶ περιφρονεῖ τοὺς ἀνθρώπους, ἐνῷ ὁ ἴδιος ἐπιθυμεῖ νὰ τὸν τιμοῦν. Τί θὰ ἠμποροῦσε λοιπὸν νὰ θεωρηθῇ παραλο-

γὰρ αἰνίγματι τοῦτο ἔοικεν. Οὓς γὰρ οὐδὲν ἡγεῖται, παρὰ τούτων δοξάζεσθαι βούλεται.

Εἶδες πῶς ἐπαρθῆναι βουλόμενος καταπίπτει, καὶ χαμαὶ ἕστηκεν; Ὅτι γὰρ οὐδὲν εἶναι νομίζει πάντας ἀνθρώπους πρὸς ἑαυτόν, αὐτὸς ἀποφαίνεται· τοῦτο γὰρ ἀλαζονεία. Τί τοίνυν πρὸς τὸν οὐδὲν ὄντα πίπτεις; τί παρ' ἐκείνου ζητεῖς τιμήν; τί τοσούτους ὄχλους περιάγεις; Ὁρᾷς ταπεινὸν καὶ ἐπὶ ταπεινοῦ ἑστηκότα; Φέρε οὖν ἐξετάσωμεν τὸν ὑψηλόν.

Οἶδεν οὗτος ὅσον ἄνθρωπος, καὶ ὅτι μέγα ἄνθρωπος, καὶ ὅτι πάντων ἐστὶν ἔσχατος, καὶ διὰ τοῦτο ἧς ἂν ἀπολαύσῃ τιμῆς, μέγα τοῦτο τίθεται. Ὥστε οὗτος μὲν ἑαυτῷ ἀκολουθεῖ καὶ ἔστιν ὑψηλὸς καὶ τὴν ψῆφον οὐ μετατίθησιν· οὓς γὰρ ἡγεῖται μεγάλους, καὶ τὰς παρὰ τούτων τιμὰς μεγάλας εἶναι νομίζει, κἂν μικραὶ τύχωσιν οὖσαι, ἐπειδὴ μεγάλους ἐκείνους ἡγεῖται. Ὁ δὲ ἀλαζὼν τοὺς μὲν τιμῶντας οὐδὲν εἶναι νομίζει, τὰς δὲ παρ' αὐτῶν τιμὰς μεγάλας εἶναι ψηφίζεται. Πάλιν ὁ ταπεινὸς ὑπ' οὐδενὸς ἁλίσκεται πάθους· οὐκ ὀργὴ τούτῳ διενοχλῆσαι δυνήσεται, οὐ δόξης ἔρως, οὐ βασκανία, οὐ ζηλοτυπία· τῆς δὲ τούτων ἀπηλλαγμένης ψυχῆς τί γένοιτ' ἂν ὑψηλότερον; Ὁ δὲ ἀλαζὼν ἅπασι τούτοις κατέχεται, καθάπερ τις σκώληξ ἐγκαλινδούμενος βορβόρῳ· καὶ γὰρ καὶ ζηλοτυπία καὶ βασκανία καὶ θυμὸς ἀεὶ τὴν ἐκείνου διενοχλεῖ ψυχήν.

Τί οὖν ὑψηλός; ὁ τῶν παθῶν ἀνώτερος, ἢ ὁ δοῦλος αὐτῶν; ὁ τρέμων αὐτὰ καὶ δεδοικώς, ἢ ὁ ἀχείρωτος καὶ οὐδαμῶς ὑπ' αὐτῶν ἁλισκόμενος; Ποῖον ὄρνιν ὑψηλότερον

γώτερον ἀπὸ αὐτό; Πράγματι αὐτὸ ὁμοιάζει μὲ αἴνιγμα. Διότι ἐκείνους, ποὺ δὲν ὑπολογίζει καθόλου, ἀπὸ αὐτοὺς θέλει νὰ δοξάζεται.

Εἶδες πῶς ἐκεῖνος, ποὺ θέλει νὰ ὑψώνεται, καταπίπτει καὶ ἵσταται χαμηλά; Διότι τὸ ὅτι θεωρεῖ ὅλους τοὺς ἀνθρώπους ὡς μὴ ἔχοντας καμμίαν ἀξίαν, ἐν συγκρίσει πρὸς τὸν ἑαυτόν του τὸ διακηρύσσει ὁ ἴδιος. Αὐτὸ βέβαια εἶναι ἀλαζονεία. Διατί λοιπὸν καταφεύγεις πρὸς ἐκεῖνον ποὺ τὸν θεωρεῖς τελείως ἀσήμαντον; Διατί ζητεῖς νὰ τιμηθῇς ἀπὸ ἐκεῖνον; Διατί φέρεις μαζί σου τόσον πλῆθος ἀνθρώπων; Βλέπεις τὸν ταπεινόν, ποὺ ἵσταται χαμηλά; Ἐμπρὸς λοιπὸν ἂς ξετάσωμεν τὸν πνευματικὰ ὑψηλόν.

Αὐτὸς γνωρίζει πόσον ἀξίζει ὁ ἄνθρωπος καὶ ὅτι ὁ ἄνθρωπος εἶναι μεγάλος, ἀλλὰ συγχρόνως ὅτι εἶναι καὶ ἔσχατος ὅλων, καὶ διὰ τοῦτο ὁποιανδήποτε τιμὴ καὶ ἂν τοῦ ἀποδοθῇ τὴν θεωρεῖ μεγάλην. Ὥστε, αὐτὸς ἀκολουθεῖ τὸν ἑαυτόν του καὶ εἶναι ὑψηλὸς καὶ δὲν ἀλλάσσει τὴν γνώμην του. Διότι ἐκείνους ποὺ θεωρεῖ μεγάλους, θεωρεῖ καὶ τὰς τιμὰς αὐτῶν μεγάλας, καὶ ἂν ἀκόμη συμβαίνῃ νὰ εἶναι μικραί, ἐπειδὴ θεωρεῖ αὐτοὺς μεγάλους. Ὁ ἀλαζὼν ὅμως ἐκείνους ποὺ τὸν τιμοῦν δὲν τοὺς ὑπολογίζει καθόλου, ἐνῷ τὰς τιμάς των τὰς θεωρεῖ μεγάλας. Ἐπίσης ὁ ταπεινὸς δὲν κυριεύεται ἀπὸ κανένα πάθος. Οὔτε ἡ ὀργὴ ἠμπορεῖ νὰ τὸν ἐνοχλήσῃ, οὔτε ὁ ἔρως τῆς δόξης, οὔτε ὁ φθόνος, οὔτε ἡ ζηλοτυπία. Τί λοιπὸν ἠμπορεῖ νὰ θεωρηθῇ ὑψηλότερον ἀπὸ μίαν τέτοιαν ψυχήν, ποὺ εἶναι ἀπηλλαγμένη ἀπὸ ὅλα αὐτά; Ὁ δὲ ἀλαζὼν ἐξουσιάζεται ἀπὸ ὅλα αὐτὰ ὅπως ἀκριβῶς κάποιος σκώληξ ποὺ κυλίεται μέσα εἰς τὸν βοῦρκον. Διότι καὶ ἡ ζηλοτυπία καὶ ὁ φθόνος καὶ ὁ θυμὸς ἐνοχλοῦν συνεχῶς τὴν ψυχήν του.

Ποῖος λοιπὸν εἶναι ὁ ὑψηλός; Αὐτὸς ποὺ ἐξουσιάζει τὰ πάθη του ἢ αὐτὸς ποὺ εἶναι δοῦλος εἰς αὐτά; Αὐτὸς ποὺ τρέμει καὶ τὰ φοβεῖται ἢ αὐτὸς ποὺ εἶναι ἀκατανίκητος καὶ μὲ κανένα τρόπον δὲν κυριεύεται ἀπὸ αὐτά; Ποῖον

πέτεσθαι φαίημεν ἄν; τὸν τῶν χειρῶν καὶ τῶν καλάμων τοῦ θηρατοῦ ὑψηλότερον ὄντα, ἢ τὸν μηδὲ καλάμου ἀφιέντα δεηθῆναι τὸν θηρατήν, ἐκ τοῦ χαμαὶ πέτεσθαι, καὶ μὴ δύνασθαι μετεωρίζεσθαί ποτε; Οὐκοῦν τοιοῦτος ὁ ἀπονενοημένος ἐστί· καὶ γὰρ ἑκάστη παγὶς εὐκόλως αὐτὸν αἱρεῖ, ἅτε χαμαὶ ἕρποντα.

6. Εἰ δὲ βούλει, καὶ ἀπὸ τοῦ πονηροῦ δαίμονος ἐκείνου τοῦτο ἐξέτασον. Τί γὰρ διαβόλου ταπεινότερον γένοιτ' ἄν, ἐπειδὴ ἐπήρθη; τί δὲ ἀνθρώπου ὑψηλότερον, τοῦ ταπεινοῦν ἑαυτὸν βουλομένου; Ὁ μὲν γὰρ χαμαὶ σύρεται ὑπὸ τὴν πτέρναν κείμενος τὴν ἡμετέραν («πατεῖτε» γάρ, φησίν, «ἐπάνω ὄφεων καὶ σκορπίων»), ὁ δὲ μετὰ τῶν ἀγγέλων ἕστηκεν ἄνω. Εἰ δὲ καὶ ἐξ ἀνθρώπων τοῦτο βούλει μαθεῖν ὑπερηφάνων, ἐννόησον τὸν βάρβαρον ἐκεῖνον, τὸν τοσαύτην ἄγοντα στρατιάν, ὃς οὐδὲ τὰ πᾶσι δῆλα ἠπίστατο· οἷον, ὅτι ὁ λίθος ἦν λίθος, καὶ τὰ εἴδωλα, εἴδωλα· διὸ καὶ τούτων κατώτερος ἦν. Οἱ δὲ εὐσεβεῖς καὶ πιστοὶ καὶ ὑπὲρ τὸν ἥλιον ἴενται· ὧν τί γένοιτ,' ἂν ὑψηλότερον; οἳ καὶ αὐτὰς ὑπερβαίνουσι τοῦ οὐρανοῦ τὰς ἁψῖδας, καὶ ἀγγέλους παρερχόμενοι, παρεστήκασιν αὐτῷ τῷ θρόνῳ τῷ βασιλικῷ.

Ἵνα δὲ καὶ ἑτέρωθεν μάθῃς αὐτῶν τὴν εὐτέλειαν, τίς ἂν ταπεινωθείη; ὁ βοηθούμενος παρὰ τοῦ Θεοῦ, ἢ ὁ πολεμούμενος; Εὔδηλον ὅτι ὁ πολεμούμενος. Οὐκοῦν ἄκουσον περὶ ἑκατέρων τούτων τί φησιν ἡ Γραφή. «Ὁ Θεὸς ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν». Πάλιν

28. Λουκᾷ 10, 19.

πτηνὸν θὰ ἠμπορούσαμεν νὰ εἰποῦμεν ὅτι πετᾷ ὑψηλότερα; Αὐτὸ ποὺ εὑρίσκεται ὑψηλότερα ἀπὸ τὰ χέρια καὶ τὰ καλάμια τοῦ κυνηγοῦ, ἢ ἐκεῖνο ποὺ δὲν ἀφήνει τὸν κυνηγὸν οὔτε κἂν νὰ χρειασθῇ καλάμια, καθ' ὅσον πετᾷ χαμηλὰ καὶ δὲν ἠμπορεῖ ποτὲ νὰ πετάξῃ ὑψηλά; Τέτοιος λοιπὸν εἶναι ὁ ἀλαζών· καθ' ὅσον κάθε παγίδα τὸν συλλαμβάνει εὔκολα, ἐπειδὴ σύρεται εἰς τὸ χῶμα.

6. Ἐὰν ὅμως θέλῃς ἐξέτασε αὐτὸ καὶ ἀπὸ τὸ γεγονὸς τοῦ πονηροῦ ἐκείνου δαίμονος. Διότι πράγματι τί θὰ ἠμποροῦσε νὰ θεωρηθῇ πιὸ ταπεινὸν ἀπὸ τὸν διάβολον, ἐπειδὴ ἐκυριεύθη ἀπὸ ἀλαζονείαν; τί δὲ πιὸ ὑψηλὸν ἀπὸ τὸν ἄνθρωπον ἐκεῖνον ποὺ μὲ τὴν θέλησίν του ταπεινώνει τὸν ἑαυτόν του; Διότι ὁ μὲν διάβολος σύρεται ἐπάνω εἰς τὴν γῆν καὶ εὑρίσκεται κάτω ἀπὸ τὴν πτέρναν μας. Διότι λέγει· «Νὰ πατῆτε ἐπάνω εἰς τὰ φίδια καὶ τοὺς σκορπιούς»[28], ὁ δὲ ταπεινὸς ἄνθρωπος ἵσταται ὑψηλὰ μαζὶ μὲ τοὺς ἀγγέλους. Ἐὰν δὲ θέλῃς τὸ ἴδιο πρᾶγμα νὰ διδαχθῇς καὶ ἀπὸ τοὺς ἀνθρώπους, σκέψου τὸν βάρβαρον ἐκεῖνον, ποὺ ὁδηγεῖ τόσον μεγάλην στρατιὰν καὶ ὁ ὁποῖος δὲν ἐγνώριζεν οὔτε αὐτὰ ἀκόμη ποὺ εἶναι εἰς ὅλους γνωστά. Ὅπως ἐπὶ παραδείγματι ὅτι ἡ πέτρα ἦτο πέτρα, καὶ τὰ εἴδωλα ὅτι ἦσαν εἴδωλα. Διὰ τοῦτο καὶ ἦτο κατώτερος ἀπὸ αὐτά. Ἐνῷ οἱ εὐσεβεῖς καὶ πιστοὶ ἄνθρωποι ἀνεβαίνουν ὑψηλότερα καὶ ἀπὸ τὸν ἥλιον. Τί λοιπὸν ἠμπορεῖ νὰ θεωρηθῇ ὑψηλότερον ἀπὸ αὐτούς; Διότι αὐτοὶ ὑπερβαίνουν καὶ αὐτὰς τὰς ἀψῖδας τοῦ οὐρανοῦ καὶ προσπερνοῦντες τοὺς ἀγγέλους ἵστανται γύρω ἀπὸ τὸν βασιλικὸν θρόνον.

Ἀλλὰ διὰ νὰ ἀντιληφθῇς καὶ ἀπὸ ἄλλην ἄποψιν τὴν εὐτέλειαν τῶν ἀλαζόνων σὲ ἐρωτῶ· Ποῖος θὰ ἦτο δυνατὸν νὰ ταπεινωθῇ; Αὐτὸς ποὺ βοηθεῖται ἀπὸ τὸν Θεόν, ἢ αὐτὸς ποὺ πολεμεῖται ἀπὸ αὐτόν; Εἶναι ὁλοφάνερον, ὅτι θὰ ταπεινωθῇ αὐτὸς ποὺ πολεμεῖται. Ἄκουσε λοιπὸν τί λέγει διὰ τὸν καθένα ἀπὸ αὐτοὺς ἡ ἁγία Γραφή· «Ὁ Θεὸς ἀντιτάσσεται εἰς τοὺς ὑπερηφάνους, ἐνῷ δίδει τὴν χάριν του εἰς

σε καὶ ἕτερον ἐρήσομαι. Τίς ὑψηλότερος; ὁ ἱερώμενος τῷ Θεῷ, καὶ θυσίαν προσάγων, ἢ ὁ πόρρω που τῆς παρρησίας ὢν τῆς πρὸς αὐτόν; Καὶ ποίαν θυσίαν προσφέρει ὁ ταπεινός; φησίν. Ἄκουσον τοῦ Δαυὶδ λέγοντος· «Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει».

Εἶδες τούτου τὸ καθαρόν; Βλέπε καὶ ἐκείνου τὸ ἀκάθαρτον. «Ἀκάθαρτος γὰρ παρὰ Θεῷ πᾶς ὑψηλοκάρδιος». Πρὸς τούτοις ὁ μὲν ἔχει ἀναπαυόμενον ἐπ' αὐτῷ τὸν Θεὸν («Ἐπὶ τίνα γὰρ ἐπιβλέψω», φησίν, «ἀλλ' ἢ ἐπὶ τὸν πρᾶον καὶ ἡσύχιον καὶ τρέμοντά μου τοὺς λόγους;»), ὁ δὲ μετὰ τοῦ διαβόλου σύρεται· ὁ γὰρ τετυφωμένος τὰ ἐκείνου πείσεται. Διὸ καὶ Παῦλος ἔλεγε· «Μήπως τυφωθεὶς εἰς κρίμα ἐμπέσῃ τοῦ διαβόλου». Καὶ τοὐναντίον δὲ οὗ βούλεται αὐτῷ συμβαίνει. Βούλεται μὲν γὰρ ἀπονοεῖσθαι, ὥστε τιμᾶσθαι· ὁ δὲ μάλιστα πάντων καταφρονούμενος αὐτός ἐστιν. Οἱ γὰρ καταγέλαστοι, οἱ πᾶσιν ἐχθροὶ καὶ πολέμιοι, οἱ εὐχείρωτοι τοῖς ἐχθροῖς, οἱ πρὸς ὀργὴν εὐέμπωτοι, οἱ ἀκάθαρτοι παρὰ Θεῷ, οὗτοι μάλιστα πάντων εἰσί. Τί τοίνυν τούτου χεῖρον γένοιτ' ἄν; Τὸ γὰρ πέρας τοῦτό ἐστι τῶν κακῶν. Τί δὲ τῶν ταπεινῶν ἥδιον; τί δὲ μακαριώτερον, ὅταν πολλοὶ καὶ ἐπέρασται ὦσι τῷ Θεῷ; Καὶ τῆς παρ' ἀνθρώπων δὲ οὗτοι μάλιστα ἀπολαύουσι δόξης, καὶ πάντες αὐτοὺς ὡς πατέρας τιμῶσιν, ὡς ἀδελφοὺς ἀσπάζονται, ὡς οἰκεῖα μέλη προσίενται.

Γενώμεθα τοίνυν ταπεινοί, ἵνα γενώμεθα ὑψηλοί. Καὶ γὰρ μεθ' ὑπερβολῆς πολλῆς ταπεινοῖ ἡ ἀπόνοια. Τοῦτο ἐ-

---

29. Ἰακ. 4, 6.
30. Ψαλμ. 50, 19.
31. 31. Παροιμ. 16, 5.
32. Ἡσ. 66, 2.
33. Α' Τιμ. 3, 6.

τοὺς ταπεινούς»[29]. Ἀλλὰ θὰ σὲ ἐρωτήσω καὶ κάτι ἄλλο. Ποῖος εἶναι ὑψηλότερος; Αὐτὸς ποὺ εἶναι ἀφιερωμένος εἰς τὸν Θεὸν καὶ προσφέρει θυσίαν εἰς αὐτόν, ἢ αὐτὸς ποὺ εὑρίσκεται πολὺ μακρὰν τῆς παρρησίας πρὸς αὐτόν; Ἀλλὰ θὰ ἐρωτήσῃ κάποιος. Καὶ ποίαν θυσίαν προσφέρει ὁ ταπεινόφρων; Ἄκουσε τὸν Λαυῒδ ποὺ λέγει· «Θυσία εἰς τὸν Θεὸν εἶναι τὸ συντετριμμένον πνεῦμα. Ὁ Θεὸς δὲ δὲν θὰ ἀποστραφῇ τὴν συντετριμμένην καὶ ταπεινὴν καρδίαν»[30].

Εἶδες τοῦ ταπεινοῦ τὴν καθαρότητα; Πρόσεξε καὶ τὸ ἀκάθαρτον τοῦ ὑπερηφάνου. «Κάθε ὑπερήφανος εἶναι ἀκάθαρτος ἐνώπιον τοῦ Θεοῦ»[31]. Ἐκτὸς ἀπὸ αὐτὰ ὁ ταπεινὸς ἔχει τὸν Θεὸν ποὺ εὐχαριστεῖται μὲ αὐτόν. Διότι λέγει· «Πρὸς ποῖον νὰ κοιτάξω, παρὰ πρὸς τὸν πρᾷον, τὸν ἥσυχον καὶ αὐτὸν ποὺ φοβεῖται τοὺς λόγους μου;»[32], ἐνῷ αὐτὸς σύρεται μαζὶ μὲ τὸν διάβολον· διότι ὁ ὑπερήφανος θὰ πάθῃ αὐτὰ ποὺ ἔπαθεν ἐκεῖνος. Διὰ τοῦτο καὶ ὁ Παῦλος ἔλεγεν· «Μὴ τυχὸν ὑπερηφανευθῇ καὶ πέσῃ εἰς τὴν καταδίκην, ποὺ ἔπεσε καὶ ὁ διάβολος»[33]. Ἀλλὰ τοῦ συμβαίνει καὶ τὸ ἀντίθετον ἀπὸ ἐκεῖνο ποὺ θέλει. Διότι θέλει νὰ εἶναι ὑπερήφανος, διὰ νὰ τιμᾶται. Ἀλλ' αὐτὸς εἶναι ἐκεῖνος ποὺ περιφρονεῖται περισσότερον ἀπ' ὅλους. Διότι αὐτοὶ κατ' ἐξοχὴν εἶναι περισσότερον ἀπ' ὅλους οἱ καταγέλαστοι, οἱ ἐχθροὶ καὶ ἀντίπαλοι ὅλων, οἱ νικώμενοι εὔκολα ἀπὸ τοὺς ἐχθρούς των, οἱ παρασυρόμενοι εὔκολα ἀπὸ τὴν ὀργήν, οἱ ἀκάθαρτοι ἐνώπιον τοῦ Θεοῦ. Τί λοιπὸν θὰ ἠμποροῦσε νὰ ὑπάρθῃ χειρότερον ἀπὸ αὐτό; Διότι αὐτὸ εἶναι τὸ τέλος τῶν κακῶν. Τί εἶναι ὅμως γλυκύτερον ἀπὸ τοὺς ταπεινούς; Τί δὲ μακαριώτερον καθ' ἣν στιγμὴν τοὺς ποθεῖ καὶ τοὺς ἀγαπᾷ ὁ Θεός; Οἱ ἄνθρωποι αὐτοὶ καὶ ἀπὸ τοὺς συνανθρώπους των ἐκτιμῶνται πάρα πολύ, καὶ ὅλοι τοὺς τιμοῦν ὡς πατέρας, τοὺς ἀγαποῦν ὡς ἀδελφοὺς καὶ τοὺς πλησιάζουν ὡς ἰδικά των πρόσωπα.

Ἂς γίνωμεν λοιπὸν ταπεινοί, διὰ νὰ γίνωμεν ὑψηλοί. Καθ' ὅσον ἡ ὑπερηφάνεια ταπεινώνει εἰς ὑπερβολικὸν βα-

ταπείνωσε τὸν Φαραώ. «Οὐκ οἶδα» γάρ, φησί, «τὸν Κύριον», καὶ μυιῶν καὶ βατράχων καὶ κάμπης ἐγένετο χείρων, καὶ μετὰ ταῦτα αὐτοῖς ὅπλοις καὶ ἵπποις κατεποντίζετο. Ἀπεναντίας τούτῳ Ἀβραάμ, «Ἐγὼ δέ», φησίν, «εἰμὶ γῆ καὶ σποδός», καὶ μυρίων βαρβάρων ἐκράτησε καὶ εἰς μέσον ἐμπεσὼν Αἰγυπτίων, ἐπανῄει λαμπρότερον τοῦ προτέρου τρόπαιον φέρων, καὶ ταύτης ἀντεχόμενος τῆς ἀρετῆς ἀεὶ ὑψηλότερος ἐγίνετο. Διὰ τοῦτο ᾄδεται πανταχοῦ, διὰ τοῦτο στεφανοῦται καὶ ἀνακηρύττεται· ὁ δὲ Φαραὼ καὶ γῆ καὶ σποδός, καὶ εἴ τι τούτων εὐτελέστερον ἕτερον. Οὐδὲν γὰρ οὕτως ἀποστρέφεται ὁ Θεὸς ὡς ὑπερηφανίαν. Διὰ τοῦτο ἐξ ἀρχῆς πάντα ἐποίησεν, ἵνα τοῦτο ἐξέλῃ τὸ πάθος. Διὰ τοῦτο θνητοὶ γεγόναμεν, καὶ ἐν λύπαις καὶ ἐν ὀδυρμοῖς· διὰ τοῦτο ἐν πόνῳ καὶ ἐν ἱδρῶτι καὶ ἐν ἐργασίᾳ διηνεκεῖ καὶ τεταλαιπωρημένῃ. Καὶ γὰρ ἐξ ἀπονοίας ἥμαρτεν ὁ πρῶτος ἄνθρωπος, προσδοκήσας ἰσοθεΐαν. Διὰ τοῦτο οὔτε ἅπερ εἶχεν ἔμεινεν ἔχων, ἀλλὰ καὶ τούτων ἐξέπεσε. Τοιοῦτον γὰρ ἡ ἀπόνοια· οὐ μόνον οὐδὲν ἡμῖν προστίθησι κατόρθωμα βίου, ἀλλὰ καὶ ἃ ἔχομεν ὑποτέμνεται· ὥσπερ οὖν ἡ ταπεινοφροσύνη οὐ μόνον τῶν ὄντων οὐδὲν ὑποτέμνεται, ἀλλὰ καὶ τὰ μὴ ὄντα προστίθησι.

Ταύτην τοίνυν ζηλώσωμεν, ταύτην διώξωμεν, ἵνα καὶ τῆς παρούσης ἀπολαύσωμεν τιμῆς, καὶ τῆς μελλούσης ἐπιτύχωμεν δόξης, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ δόξα, κράτος, σὺν τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

34. Ἐξ. 5, 2.
35. Γεν. 18, 27.

θμόν. Αὐτὴ ἐταπείνωσε τὸν Φαραώ. Διότι, λέγει, «Δὲν γνωρίζω τὸν Κύριον»[84], καὶ ἔγινεν ἔτσι κατώτερος ἀπὸ τὰς μυῖας, τοὺς βατράχους καὶ τὴν κάμπιαν καὶ ἐν συνεχείᾳ κατεποντίσθη μαζὶ μὲ τὰ ὅπλα του καὶ τὰ ἄλογά του. Τελείως τὸ ἀντίθετον συνέβη μὲ τὸν Ἀβραάμ, ποὺ εἶπεν· «Ἐγὼ εἶμαι χῶμα καὶ στάκτη»[85], καὶ κατενίκησεν ἀπείρους βαρβάρους καὶ μολονότι εὑρέθη ἀνάμεσα εἰς τοὺς Αἰγυπτίους, ἐπέστρεψε φέρων λαμπρότερον τρόπαιον ἀπὸ τὸ προηγούμενον, καὶ ἀκολουθῶν αὐτὴν τὴν ἀρετὴν ἐγίνετο διαρκῶς καὶ ὑψηλότερος. Διὰ τοῦτο ἐγκωμιάζεται εἰς κάθε περίπτωσιν, διὰ τοῦτο στεφανώνεται καὶ ἐπαινεῖται, ἐνῷ ὁ Φαραὼ ἔγινε καὶ χῶμα καὶ στάκτη καὶ ὁτιδήποτε ἄλλο ὑπάρχει εὐτελέστερον ἀπὸ αὐτά. Διότι τίποτε δὲν ἀποστρέφεται τόσον ὁ Θεός, ὅσον τὴν ὑπερηφάνειαν. Διὰ τοῦτο εὐθὺς ἐξ ἀρχῆς ἔκανε τὰ πάντα, διὰ νὰ ἐξαφανίσῃ αὐτὸ τὸ πάθος. Ἐξ αἰτίας αὐτῆς ἐγίναμεν θνητοὶ καὶ μᾶς συνοδεύουν διαρκῶς ἡ λύπη καὶ οἱ ὀδυρμοί. Διὰ τοῦτο ζῶμεν μέσα εἰς τὸν πόνον, τοὺς ἱδρῶτας καὶ μὲ διαρκῆ καὶ καταπιεστικὴν ἐργασίαν. Καθ' ὅσον ἡ ἀλαζονεία ὠδήγησε τὸν πρῶτον ἄνθρωπον εἰς τὴν ἁμαρτίαν, ἐπειδὴ ἤλπισε νὰ γίνῃ ἴσος μὲ τὸν Θεόν. Διὰ τοῦτο οὔτε καὶ ἐκεῖνα ποὺ εἶχε διετήρησεν, ἀλλὰ ἐξέπεσεν καὶ ἀπὸ αὐτά. Τόσον μεγάλο κακὸν εἶναι ἡ ἀλαζονεία· διότι ὄχι μόνον δὲν προσθέτει κανένα κατόρθωμα εἰς τὴν ζωήν μας, ἀλλὰ ἐξαφανίζει καὶ τὰ ὅσα ἔχομεν. Ὅπως ἀκριβῶς πάλιν ἡ ταπεινοφροσύνη ὄχι μόνον δὲν καταστρέφει κανένα ἀπὸ αὐτὰ ποὺ ἔχομεν, ἀλλὰ προσθέτει καὶ αὐτὰ ποὺ δὲν ἔχομεν.

Αὐτὴν λοιπὸν ἂς ποθήσωμεν, αὐτὴν ἂς ἐπιδιώξωμεν, ὥστε καὶ τὴν ἐπίγειον τιμὴν ν' ἀπολαύσωμεν, καὶ νὰ ἐπιτύχωμεν τὴν μέλλουσαν δόξαν, μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖον ἀνήκει εἰς τὸν Πατέρα καὶ συγχρόνως καὶ εἰς τὸ ἅγιον Πνεῦμα δόξα καὶ δύναμις, τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΞΣ΄

Ματθ. 20, 29 — 21, 11

«Καὶ ἐκπορευομένων αὐτῶν ἀπὸ Ἰεριχώ, ἠκολούθησαν αὐτῷ ὄχλοι πολλοί. Καὶ ἰδοὺ δύο τυφλοὶ καθήμενοι παρὰ τὴν ὁδόν, ἀκούσαντες ὅτι Ἰησοῦς παράγει, ἔκραζον λέγοντες· Ἐλέησον ἡμᾶς, Κύριε, υἱὸς Δαυίδ».

1. Ὅρα πόθεν παρῆλθεν εἰς τὰ Ἱεροσόλυμα καὶ ποῦ πρὸ τούτου διέτριβεν· ὃ καὶ μάλιστα ζητήσεως ἄξιον εἶναί μοι δοκεῖ, διατί μὴ καὶ πρώην ἐκεῖθεν ἀπῆλθεν εἰς τὴν Γαλιλαίαν, ἀλλὰ διὰ τῆς Σαμαρείας. Ἀλλὰ τοῦτο μὲν τοῖς φιλομαθέσιν ἀφήσομεν. Εἰ γάρ τις ἀκριβῶς ἐξετάζειν ἐθέλοι, εὑρήσει τὸν Ἰωάννην αἰνιξάμενον αὐτὸ καλῶς καὶ τὴν αἰτίαν τεθεικότα. Ἡμεῖς δὲ τῶν προκειμένων ἐχώμεθα, καὶ τῶν τυφλῶν τούτων ἀκούσωμεν, οἳ πολλῶν βλεπόντων ἦσαν ἀμείνους. Οὔτε γὰρ τὸν ὁδηγοῦντα ἔχοντες, οὔτε ἰδεῖν αὐτὸν δυνάμενοι ἐπιστάντα, ὅμως ἐφιλονείκουν ἐλθεῖν πρὸς αὐτὸν καὶ μεγάλῃ ἤρξαντο φωνῇ κράζειν καὶ ἐπισιομισθέντες μᾶλλον ἐβόων. Τοιοῦτον γὰρ ψυχὴ καρτερική· δι' αὐτῶν τῶν κωλυόντων αἴρεται. Ὁ δὲ Χριστὸς εἴα αὐτοὺς ἐπισιομίζεσθαι, ἵνα μειζόνως αὐτῶν ἡ προθυμία φαίνηται, καὶ μάθῃς ἀξίως αὐτοὺς ἀπολαύοντας τῆς θεραπείας. Διὰ τοῦτο οὐδὲ ἐρωτᾷ, Πιστεύετε; ὅπερ ἐπὶ πολλῶν ποιεῖ· ἡ γὰρ κραυγὴ

---

1. Ἰω. 4, 1ξ.

ΟΜΙΛΙΑ ΞΣ΄
Ματθ. 20, 29 — 21, 11

«Καὶ ἐνῷ αὐτοὶ ἔβγαιναν ἀπὸ τὴν Ἰεριχώ, τὸν ἠκολούθησε μεγάλο πλῆθος λαοῦ. Καὶ νά, δύο τυφλοὶ ποὺ ἐκάθηντο εἰς τὴν ἄκρην τοῦ δρόμου, μόλις ἤκουσαν ὅτι περνᾷ ὁ Ἰησοῦς ἄρχισαν νὰ φωνάζουν δυνατὰ λέγοντες· Ἐλέησέ μας, Κύριε, υἱὲ τοῦ Δαυίδ».

1. Πρόσεχε ἀπὸ ποῦ ἦλθεν εἰς τὰ Ἱεροσόλυμα καὶ ποῦ διέμενε πρὶν ἀπ' αὐτό, πρᾶγμα πού, κατὰ τὴν γνώμην μου, εἶναι κατ' ἐξοχὴν ἄξιον ἐρεύνης, διατί δηλαδὴ καὶ προηγουμένως δὲν μετέβη ἀπὸ ἐκεῖ εἰς τὴν Γαλιλαίαν, ἀλλὰ μετέβαινε διὰ μέσου τῆς Σαμαρείας. Ἀλλ' αὐτὸ ἂς τὸ ἀφήσωμεν διὰ τοὺς φιλομαθεῖς. Διότι ἐὰν κάποιος ἤθελε τὸ ἐξετάσει μὲ ἀκρίβειαν, θὰ εὕρῃ ὅτι ὁ Ἰωάννης[1] ὑπηνίχθη αὐτὸ πολὺ καθαρὰ καὶ ὅτι ἀνέφερε καὶ τὴν αἰτίαν. Ἡμεῖς ὅμως ἂς ἀσχοληθῶμεν μὲ αὐτὰ ποὺ ἔχομεν ἔμπροσθέν μας καὶ ἂς ἀκούσωμεν τοὺς τυφλούς, οἱ ὁποῖοι ἦσαν κατὰ πολὺ καλύτεροι ἀπὸ πολλοὺς ποὺ βλέπουν. Χωρὶς νὰ ἔχουν οὔτε ὁδηγὸν καὶ χωρὶς νὰ ἠμποροῦν νὰ ἰδοῦν τὸν Κύριον ποὺ ἦλθεν ἐκεῖ, παρ' ὅλα αὐτὰ ὅμως ἐφιλονεικοῦσαν νὰ ἔλθουν πλησίον του καὶ ἤρχισαν νὰ φωνάζουν μὲ δυνατὴν φωνὴν καὶ ἐμποδιζόμενοι νὰ φωνάζουν, αὐτοὶ ἐφώναζον ἀκόμη περισσότερον. Διότι τέτοια εἶναι ἡ καρτερικὴ ψυχή. Ὁ δὲ Χριστὸς ἄφηνεν αὐτοὺς νὰ τοὺς ἐμποδίζουν νὰ φωνάζουν, διὰ νὰ γίνεται φανερὴ εἰς πὸ μεγάλον βαθμὸν ἡ προθυμία των καὶ διὰ νὰ μάθῃς ὅτι μὲ τὴν ἀξίαν των ἀπήλαυσαν τὴν θεραπείαν. Διὰ τοῦτο, δὲν τοὺς ἐρωτᾷ, Πιστεύετε; πρᾶγμα ποὺ κάνει εἰς πολλοὺς ἄλλους, διότι ἡ κραυγὴ καὶ ὁ ἐρχο-

καὶ ἡ πρόοδος ἤρκει πᾶσι κατάδηλον ποιῆσαι τὴν πίστιν αὐτῶν.

Ἐντεῦθεν μάνθανε, ἀγαπητέ, ὅτι κἂν σφόδρα εὐτελεῖς ὦμεν καὶ ἀπερριμμένοι, μετὰ σπουδῆς δὲ προσίωμεν τῷ Θεῷ, καὶ δι' ἡμῶν αὐτῶν δυνησόμεθα ἀνύειν ὅπερ ἂν αἰτῶμεν. Ὅρα γοῦν καὶ οὗτοι πῶς οὐδένα τῶν ἀποστόλων συνήγορον ἔχοντες, ἀλλὰ καὶ πολλοὺς τοὺς ἐπιστομίζοντας, ἴσχυσαν ὑπερβῆναι τὰ κωλύματα καὶ πρὸς αὐτὸν ἐλθεῖν τὸν Ἰησοῦν. Καίτοι παρρησίαν βίου οὐδεμίαν αὐτοῖς μαρτυρεῖ ὁ εὐαγγελιστής, ἀλλ' ἤρκεσεν ἀντὶ πάντων αὐτοῖς ἡ προθυμία. Τούτους δὴ καὶ ἡμεῖς ζηλώσωμεν. Κἂν ἀναβάλληται τὴν δόσιν ὁ Θεὸς κἂν πολλοὶ οἱ ἀπάγοντες, μὴ ἀποστῶμεν αἰτοῦντες. Ταύτῃ γὰρ μάλιστα τὸν Θεὸν ἐπισπασόμεθα. Ὅρα γοῦν καὶ ἐνταῦθα πῶς τὴν σφοδρὰν αὐτῶν προθυμίαν οὐχ ἡ πενία, οὐχ ἡ πήρωσις, οὐ τὸ μὴ ἀκουσθῆναι, οὐ τὸ παρὰ τῶν ὄχλων ἐπιτιμηθῆναι, οὐκ ἄλλο οὐδὲν διεκώλυσε. Τοιοῦτόν ἐστι ψυχὴ ζέουσα καὶ πονουμένη.

Τί οὖν ὁ Χριστός; «Ἐφώνησεν αὐτοὺς καὶ εἶπε· τί θέλετε ποιήσω ὑμῖν; Λέγουσιν αὐτῷ· Κύριε, ἵνα ἀνοιγῶσιν ἡμῶν οἱ ὀφθαλμοί». Τίνος ἕνεκεν αὐτοὺς ἐρωτᾷ; Ἵνα μή τις νομίσῃ, ὅτι ἄλλα βουλομένοις λαβεῖν ἄλλα δίδωσι. Καὶ γὰρ ἔθος αὐτῷ πανταχοῦ πρότερον τὴν ἀρετὴν τῶν θεραπευομένων κατάδηλον ποιεῖν καὶ ἐκκαλύπτειν ἅπασι, καὶ τότε ἐπάγειν τὴν ἰατρείαν· δι' ἓν μέν, ἵνα καὶ τοὺς ἄλλους εἰς ζῆλον ἀγάγῃ· δι' ἕτερον δέ, ἵνα δείξῃ τῆς δωρεᾶς ἀξίως ἀπολαύοντας. Τοῦτο γοῦν καὶ ἐπὶ τῆς Χαναναίας

μός των ἐκεῖ ἦσαν ἀρκετὰ διὰ νὰ φανερώσουν εἰς ὅλους τὴν πίστιν των.

Ἀπὸ αὐτὸ μάθαινε, ἀγαπητέ, ὅτι καὶ ἂν ἀκόμη εἴμεθα πάρα πολὺ ἄσημοι καὶ καταφρονημένοι, ἀλλὰ προσερχόμεθα εἰς τὸν Θεὸν μὲ πολλὴν προθυμίαν, θὰ ἠμπορέσωμεν καὶ μόνοι μας νὰ ἐπιτύχωμεν αὐτὸ ποὺ ζητοῦμεν. Πρόσεχε λοιπὸν καὶ αὐτοὶ πῶς χωρὶς νὰ ἔχουν ὡς συνήγορον κανένα ἀπὸ τοὺς ἀποστόλους, ἀντιθέτως μάλιστα καὶ πολλοὺς ποὺ τοὺς ἠμπόδιζον νὰ φωνάζουν, κατώρθωσαν νὰ ξεπεράσουν τὰ ἐμπόδια καὶ νὰ ἔλθουν πλησίον τοῦ Ἰησοῦ. Ἂν καὶ βέβαια ὁ εὐαγγελιστὴς δὲν ἀναφέρει καμμίαν ἀξιέπαινον πρᾶξιν ποὺ νὰ τοὺς ἔδιδε παρρησίαν, ἀλλ' ἤρκεσεν ἀντὶ ὅλων αὐτῶν ἁπλῶς καὶ μόνον ἡ προθυμία των. Αὐτοὺς λοιπὸν καὶ ἡμεῖς ἂς μιμηθῶμεν. Καὶ ἂν ἀκόμη ὁ Θεὸς ἀναβάλλῃ τὴν δόσιν καὶ ἂν ἀκόμη εἶναι πολλοὶ ἐκεῖνοι ποὺ διώχνουν ἀπὸ κοντά του, ἂς μὴ παύσωμεν νὰ ζητοῦμεν. Διότι μὲ αὐτὸν τὸν τρόπον κατ' ἐξοχὴν θ' ἀποσπάσωμεν τὴν βοήθειαν τοῦ Θεοῦ. Πρόσεχε βέβαια καὶ εἰς τὴν περίπτωσιν αὐτὴν πῶς οὔτε ἡ πτώχεια των, οὔτε ἡ τύφλωσίς των, οὔτε τὸ ὅτι ὑπῆρχε περίπτωσις νὰ μὴ εἰσακουσθοῦν, οὔτε ἐπιτίμησις ἐκ μέρους τοῦ ὄχλου, οὔτε τίποτε ἄλλο ἠμπόδισε τὴν μεγάλην προθυμίαν των. Τέτοια εἶναι ἡ ψυχὴ ποὺ κατακαίεται ἀπὸ τὴν πίστιν καὶ μοχθεῖ διὰ τὴν ἀρετήν.

Τί κάνει λοιπὸν ὁ Χριστός; «Τοὺς ἐφώναξε καὶ τοὺς εἶπε· Τί θέλετε νὰ κάνω δι' ἐσᾶς; Τοῦ λέγουν· Κύριε, θέλομεν ν' ἀνοιγοῦν οἱ ὀφθαλμοί μας». Διὰ ποῖον λόγον τοὺς ἐρωτᾷ; Διὰ νὰ μὴ νομίσῃ κανείς, ὅτι αὐτοὶ μὲν ἄλλα θέλουν νὰ λάβουν, ἐνῷ αὐτὸς τοὺς δίδει ἄλλα. Καθ' ὅσον συνηθίζει ὁ Κύριος εἰς ὅλας τὰς περιπτώσεις νὰ φανερώνῃ κατ' ἀρχὴν τὴν ἀρετὴν τῶν θεραπευομένων καὶ νὰ τὴν ἀποκαλύπτῃ πρὸς ὅλους καὶ μετὰ νὰ παρέχῃ τὴν θεραπείαν, ἀφ' ἑνὸς μὲν διὰ νὰ κάνῃ καὶ τοὺς ἄλλους νὰ τοὺς μιμηθοῦν, ἀφ' ἑτέρου δὲ διὰ νὰ δείξῃ ὅτι ἀξίως ἀπολαύουν τῆς δωρεᾶς. Αὐτὸ βέβαια ἔκανε καὶ εἰς τὴν Χαναναίαν γυναῖκα, αὐτὸ

ἐποίησε γυναικός, τοῦτο καὶ ἐπὶ τοῦ ἑκατοντάρχου, τοῦτο καὶ ἐπὶ τῆς αἱμορροούσης· μᾶλλον δὲ ἡ θαυμασία γυνὴ ἐκείνη καὶ προὔλαβε τοῦ Δεσπότου τὴν πεῦσιν· ἀλλ' ὅμως οὐδὲ οὕτως αὐτὴν παρέδραμεν, ἀλλὰ καὶ μετὰ τὴν ἰατρείαν κατάδηλον αὐτὴν ποιεῖ. Οὕτως αὐτῷ πανταχοῦ περισπούδαστον ἦν ἀνακηρύττειν τῶν προσιόντων αὐτῷ τὰ κατορθώματα, καὶ πολλῷ μείζονα ἀποφαίνειν τῶν ὄντων· ὃ δὴ καὶ ἐνταῦθα ποιεῖ.

Εἶτα, ἐπειδὴ εἶπον ὅπερ ἐβούλοντο, σπλαγχνισθεὶς ἥψατο αὐτῶν. Αὕτη γὰρ μόνον ἡ αἰτία τῆς ἰατρείας, δι' ἣν εἰς τὸν κόσμον ἦλθεν. Ἀλλ' ὅμως εἰ καὶ ἔλεος ἦν καὶ χάρις, τοὺς ἀξίους ἐπιζητεῖ. Ὅτι δὲ ἄξιοι, δῆλον καὶ ἐξ ὧν ἐβόησαν καὶ ἐξ ὧν λαβόντες οὐκ ἀπεπήδησαν, ὃ πολλοὶ ποιοῦσι, μετὰ τὰς εὐεργεσίας ἀγνωμονοῦντες. Ἀλλ' οὐκ ἐκεῖνοι τοιοῦτοι· ἀλλὰ καὶ πρὸ τῆς δόσεως καρτερικοὶ καὶ μετὰ τὴν δόσιν εὐγνώμονες· καὶ γὰρ ἠκολούθησαν αὐτῷ.

«Καὶ ὅτε ἤγγισεν εἰς Ἱεροσόλυμα, καὶ ἦλθεν εἰς Βηθφαγῆ πρὸς τὸ ὄρος τῶν ἐλαιῶν, ἀπέστειλε δύο τῶν μαθητῶν αὐτοῦ, λέγων· πορεύεσθε εἰς τὴν κώμην τὴν κατέναντι ὑμῶν καὶ εὑρήσετε ὄνον δεδεμένην καὶ πῶλον μετ' αὐτῆς· λύσαντες ἀγάγετέ μοι. Καὶ ἐάν τις ὑμῖν εἴπῃ τι, ἐρεῖτε, ὅτι ὁ Κύριος αὐτῶν χρείαν ἔχει· καὶ εὐθέως ἀποστέλλει αὐτούς. Τοῦτο δὲ γέγονε, ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ τοῦ προφήτου Ζαχαρίου· εἴπατε τῇ θυγατρὶ Σιών, ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι πρᾶος καὶ ἐπιβεβηκὼς ἐπὶ ὄνον καὶ πῶλον υἱὸν ὑποζυγίου».

Καίτοι πολλάκις ἐπέβη τῶν Ἱεροσολύμων πρότερον, ἀλλ' οὐδέποτε μετὰ τοσαύτης περιφανείας. Τί οὖν τὸ αἴτιον; Προ-

2. Ματθ. 21, 1-5. Ζαχ. 9, 9.

καὶ εἰς τὸν ἑκατόνταρχον, αὐτὸ καὶ εἰς τὴν αἱμορροοῦσαν, μᾶλλον δὲ ἡ θαυμασία ἐκείνη γυναίκα ἐπρόλαβε τὴν ἐρώτησιν τοῦ Κυρίου, ὅμως οὔτε καὶ ἔτσι τὴν ἄφησε νὰ φύγῃ ἀπαρατήρητος, ἀλλὰ μετὰ ἀπὸ τὴν θεραπείαν τὴν φανερώνει εἰς ὅλους. Ἔτσι ἐφρόντιζε πάρα πολὺ νὰ διακηρύσσῃ τὰ κατορθώματα αὐτῶν ποὺ τὸν ἐπλησίαζον καὶ νὰ τὰ παρουσιάζῃ πολὺ πιὸ μεγαλύτερα ἀπὸ ὅ,τι ἦσαν, πρᾶγμα βέβαια ποὺ κάνει καὶ τώρα.

Ἔπειτα, ἀφοῦ εἶπαν αὐτὸ ποὺ ἤθελον, τοὺς εὐσπλαγχνίσθη καὶ ἤγγισε τὰ μάτια των. Αὐτὴ βέβαια ἡ εὐσπλαγχνία εἶναι ἡ μοναδικὴ αἰτία τῆς θεραπείας, διὰ τὴν ὁποίαν καὶ ἦλθεν εἰς τὸν κόσμον. Ἀλλ᾽ ὅμως ἂν καὶ ἦτο ἀποτέλεσμα ἐλέους καὶ χάριτος, ὅμως ἐπιζητεῖ τοὺς ἀξίους. Τὸ ὅτι δὲ ἦσαν ἄξιοι τῆς χάριτος, γίνεται φανερὸν καὶ ἀπὸ τὸ ὅτι ἐφώναξαν δυνατὰ καὶ ἀπὸ τὸ ὅτι, ὅταν ἔλαβον τὴν δωρεάν, δὲν ἔφυγον μακρυὰ ἀπὸ τὸν Κύριον, πρᾶγμα ποὺ τὸ κάνουν πολλοί, δείχνοντες ἀγνωμοσύνην μετὰ τὰς εὐεργεσίας. Αὐτοὶ ὅμως δὲν ἦσαν τέτοιοι, ἀλλὰ καὶ πρὶν ἀπὸ τὴν θεραπείαν ἦσαν καρτερικοὶ καὶ μετὰ τὴν δωρεὰν εὐγνώμονες, καθ᾽ ὅσον ἠκολούθησαν αὐτόν.

«Καὶ ὅταν ἐπλησίασεν εἰς τὰ Ἱεροσόλυμα καὶ ἦλθεν εἰς τὴν Βηθφαγῆ, πρὸς τὸ ὄρος τῶν Ἐλαιῶν, ἀπέστειλεν ὁ Κύριος δύο ἀπὸ τοὺς μαθητάς του, λέγων· Πηγαίνετε εἰς τὴν κώμην ποὺ εὑρίσκεται ἀπέναντί μας καὶ θὰ εὕρετε μίαν ὄνον δεμένην καὶ ἕνα πουλάρι μαζὶ μὲ αὐτήν· νὰ τὴν λύσετε καὶ νὰ μοῦ τὴν φέρετε. Καὶ ἐὰν κάποιος σᾶς εἰπῇ κάτι, νὰ εἰπῆτε, ὅτι ὁ Κύριος τὰ χρειάζεται· καὶ ἀμέσως θὰ τὰ στείλῃ. Αὐτὸ δὲ ἔγινε, διὰ νὰ ἐκπληρωθῇ ἐκεῖνο ποὺ ἐλέχθη διὰ τοῦ προφήτου Ζαχαρίου· Νὰ εἰπῆτε εἰς τὴν θυγατέρα Σιών, Ἰδοὺ ὁ βασιλεύς σου ἔρχεται πρὸς ἐσένα πρᾷος καὶ καθισμένος ἐπάνω εἰς ἕνα πουλάρι ποὺ εἶναι γεννημένον ἀπὸ ὄνον ποὺ ἔχει σύρει ζυγόν»[2].

Μολονότι πολλὰς φορὰς προηγουμένως ἀνέβη εἰς τὰ Ἱεροσόλυμα, οὐδέποτε ὅμως τὸ ἔκανε αὐτὸ μὲ τόσην μεγα-

οίμια ἦν τότε τῆς οἰκονομίας· καὶ οὔτε αὐτὸς σφόδρα κατάδηλος ἦν, οὔτε ὁ καιρὸς τοῦ παθεῖν ἐγγύς· διόπερ ἀδιαφορώτερον αὐτοῖς ἀνεμίγνυτο καὶ μᾶλλον κρύπτων ἑαυτόν. Οὔτε γὰρ ἂν ἐθαυμάσθη φαινόμενος οὕτω καὶ εἰς μείζονα ἂν αὐτοὺς ἐξήγαγεν ὀργήν. Ἐπειδὴ δὲ καὶ τῆς αὐτοῦ δυνάμεως πεῖραν ἔδωκεν ἱκανὴν καὶ ὁ σταυρὸς ἐπὶ θύραις ἦν, μετζόνως ἐκλάμπει λοιπὸν καὶ μετὰ πλείονος ἅπαντα πράττει περιφανείας τὰ μέλλοντα αὐτοὺς ἐκκαίειν. Δυνατὸν μὲν γὰρ ἦν καὶ παρὰ τὴν ἀρχὴν τοῦτο γενέσθαι· ἀλλ' οὐ χρήσιμον, οὐδὲ λυσιτελές οὕτω.

Σὺ δέ μοι θέα ὅσα θαύματα γίνεται καὶ ὅσαι πληροῦνται προφητεῖαι. Εἶπεν, ὅτι εὑρήσετε ὄνον· προεῖπεν ὅτι οὐδεὶς κωλύσει, ἀλλ' ὅτι ἀκούσαντες σιγήσουσι. Τοῦτο δὲ οὐ μικρὸν κρῖμα Ἰουδαίων, εἰ τοὺς οὐδέποτε γνωρίμους αὐτῷ, οὐδὲ φανέντας, πείθει τὰ αὐτῶν προέσθαι καὶ μηδὲν ἀντειπεῖν καὶ διὰ τῶν μαθητῶν· οὗτοι δὲ αὐτῷ θαυματουργοῦντι παρόντες οὐκ ἐπείσθησαν.

2. Μηδὲ μικρὸν εἶναι νομίσῃς τὸ γεγενημένον. Τίς γὰρ αὐτοὺς ἔπεισε, τῶν ἰδίων ἀφαιρουμένων καὶ ταῦτα πένητας ὄντας ἴσως καὶ γεωργούς, μὴ ἀντειπεῖν; Τί λέγω μὴ ἀντειπεῖν; μὴ ἐρέσθαι ἢ καὶ ἐρομένους σιγῆσαι καὶ παραχωρῆσαι; Καὶ γὰρ ἀμφότερα ὁμοίως θαυμαστὰ ἦν, καὶ εἰ μηδὲν εἶπον, ἑλκομένων τῶν ὑποζυγίων, καὶ εἰ εἰπόντες καὶ ἀκούσαντες, ὅτι ὁ Κύριος αὐτῶν χρείαν ἔχει, παρεχώρησαν καὶ οὐκ ἀντέστησαν, καὶ ταῦτα οὐκ αὐτὸν ὁρῶντες, ἀλλὰ τοὺς

λοπρέπειαν. Ποία λοιπὸν ἦτο ἡ αἰτία; Ἦτο τότε ἡ ἀρχὴ τῆς θείας οἰκονομίας καὶ οὔτε ὁ ἴδιος ἦτο πάρα πολὺ γνωστός, οὔτε ἦτο κοντὰ ὁ καιρὸς τοῦ πάθους· καὶ ἀκριβῶς διὰ τὸν λόγον αὐτὸν ἀνεμιγνύετο μὲ αὐτοὺς χωρὶς καμμίαν φροντίδα καὶ μᾶλλον ἀπέκρυπτε τὸν ἑαυτόν του. Διότι δὲν θὰ ἦτο δυνατὸν νὰ θαυμασθῇ, ἐὰν ἐνεφανίζετο κατ᾽ αὐτὸν τὸν τρόπον καὶ ὁπωσδήποτε θὰ τοὺς ἐξώργιζεν εἰς πολὺ μεγάλον βαθμόν. Ὅταν ὅμως ἀπέδειξε κατὰ τρόπον ἱκανοποιητικὸν τὴν δύναμίν του καὶ εὑρίσκετο πολὺ πλησίον ὁ σταυρικὸς θάνατός του, τότε πλέον ἐκλάμπει κατὰ πολὺ περισσότερον καὶ πράττει μὲ μεκαλυτέραν μεγαλοπρέπειαν ὅλα ἐκεῖνα ποὺ ἐπρόκειτο νὰ τοὺς καίουν. Ἦτο δυνατὸν βέβαια αὐτὸ νὰ γίνῃ καὶ ἀπὸ τὴν ἀρχήν, ἀλλὰ δὲν θὰ ἦτο τόσον χρήσιμον, οὔτε τόσον ὠφέλιμον.

Σὺ ὅμως, σὲ παρακαλῶ, πρόσεχε πόσα θαύματα γίνονται τώρα καὶ πόσαι προφητεῖαι ἐκπληροῦνται. Εἶπεν, ὅτι θὰ εὕρετε ὄνον· προεῖπεν, ὅτι δὲν θὰ τοὺς ἐμποδίσῃ κανεὶς καὶ ὅτι θὰ σιωπήσουν ὅταν ἀκούσουν τὴν αἰτίαν. Αὐτὸ ἀποτελεῖ ὄχι μικρὰν καταδίκην διὰ τοὺς Ἰουδαίους, τὸ ὅτι πείθει αὐτούς, ποὺ δὲν ὑπῆρξαν ποτὲ γνωστοί του οὔτε τοὺς εἶδε ποτέ, νὰ παρέχουν τὰ ἰδικά των καὶ νὰ μὴ φέρουν καμμίαν ἀντίρρησιν καὶ μάλιστα διὰ τῶν μαθητῶν του, ἐνῷ αὐτοί, ἂν καὶ ἦσαν παρόντες ὅταν ἐθαυματουργοῦσε, δὲν ἐπίστευσαν.

2. Οὔτε νὰ θεωρήσῃς ἀσήμαντον αὐτὸ ποὺ συνέβη. Διότι ποῖος τοὺς ἔπεισε, ἐνῷ ἀφῃροῦντο τὰ ὑπάρχοντά των καὶ ἦσαν πτωχοὶ καὶ ἴσως καὶ γεωργοί, νὰ μὴ προβάλλουν καμμίαν ἀντίρρησιν; Μὰ διατί λέγω, νὰ μὴ προβάλλουν ἀντίρρησιν; χωρὶς νὰ ἐρωτήσουν ἢ καὶ ἂν ἀκόμη ἐρωτήσουν νὰ σιωπήσουν νὰ τὰ παραχωρήσουν; Καθ᾽ ὅσον καὶ τὰ δύο ἦσαν ἐξ ἴσου θαυμαστά, καὶ τὸ ὅτι δὲν εἶπαν τίποτε, ἐνῷ ἔπαιρναν τὰ ὑποζύγιά των, καὶ τὸ ὅτι καὶ ἂν εἶπαν κάτι, ὅταν ὅμως ἤκουσαν, ὅτι ὁ Κύριός των τὰ χρειάζεται, τὰ παρεχώρησαν καὶ δὲν ἔφεραν καμμίαν ἀντίστασιν, καὶ ὅλα αὐτὰ ἂν καὶ δὲν ἔβλεπον τὸν ἴδιον, ἀλλὰ τοὺς μαθητάς του.

μαθητάς. Ἀπὸ τούτων αὐτοὺς παιδεύει, ὅτι καὶ Ἰουδαίους ἐδύνατο καὶ ἄκοντας κωλῦσαι διόλου μέλλοντας αὐτῷ ἐπιέναι, καὶ ἀφώνους κατασιῆσαι, ἀλλ' οὐκ ἠθέλησε. Καὶ ἕτερον δὲ μετὰ τούτων διδάσκει τοὺς μαθητάς, ὅπερ ἂν αἰτήσῃ διδόναι· κἂν αὐτὴν κελεύσῃ τὴν ψυχὴν προέσθαι, καὶ ταύτην παρέχειν, καὶ μὴ ἀντιλέγειν. Εἰ γὰρ οἱ ἄγνωστοι αὐτῷ παρεχώρησαν, πολλῷ μᾶλλον αὐτοὺς ἁπάντων ἐξίστασθαι δεῖ.

Πρὸς δὲ τοῖς εἰρημένοις καὶ ἑτέραν πάλιν προφητείαν ἐπλήρου διπλῆν· τὴν μὲν δι' ἔργων, τὴν δὲ διὰ ῥημάτων. Καὶ ἡ μὲν διὰ τῶν ἔργων ἦν, ἡ διὰ τῆς καθέδρας τοῦ ὄνου· ἡ δὲ διὰ τῶν ῥημάτων, ἡ τοῦ προφήτου Ζαχαρίου· καὶ γὰρ εἶπεν, ὅτι καθεδεῖται ὁ βασιλεὺς ἐπὶ ὄνου. Καὶ καθίσας αὐτὸς καὶ πληρώσας αὐτήν, ἑτέραν πάλιν ἐδίδου προφητείας ἀρχήν, δι' ὧν ἐποίει τὰ μέλλοντα προδιατυπῶν. Πῶς καὶ τίνι τρόπῳ; Τῶν ἀκαθάρτων ἐθνῶν τὴν κλῆσιν προαναφωνεῖ καὶ ὅτι αὐτοῖς ἐπαναπαύσεται, καὶ εἴξουσιν αὐτῷ καὶ ἕψονται· καὶ προφητεία διεδέχετο προφητείαν.

Ἐμοὶ δὲ οὐ διὰ τοῦτο δοκεῖ μόνον ἐπὶ τὸν ὄνον καθίσαι, ἀλλὰ καὶ μέτρον ἡμῖν φιλοσοφίας παρέχων. Οὐ γὰρ δὴ μόνον προφητείας ἐπλήρου, οὐδὲ δόγματα ἐφύτευσε, τὰ τῆς ἀληθείας, ἀλλὰ καὶ τὸν βίον ἡμῖν διώρθου δι' αὐτῶν τούτων, πανταχοῦ κανόνας ἡμῖν τιθεὶς τῆς ἀναγκαίας χρείας καὶ διὰ πάντων τὴν ζωὴν κατορθῶν τὴν ἡμετέραν. Διά τοι τοῦτο καὶ ἡνίκα τίκτεσθαι ἔμελλεν, οὐκ ἐπεζήτησε λαμπρὰν οἰκίαν, οὐδὲ μητέρα πλουσίαν καὶ περιφανῆ, ἀλλὰ πτωχήν, καὶ μνηστῆρα τέκτονα ἔχουσα, καὶ ἐν καλύβῃ γενᾶται καὶ ἐν φάτνῃ τίθεται· καὶ μαθητὰς ἐκλέγων, οὐ ῥή-

Μὲ αὐτὰ τοὺς διδάσκει, ὅτι καὶ τοὺς Ἰουδαίους, ποὺ ἐσχεδίαζον νὰ ἐπιτεθοῦν ἐναντίον του, ἠμποροῦσε νὰ τοὺς ἐμποδίσῃ τελείως καί νὰ τοὺς κάνῃ ἀφώνους, ἀλλὰ δὲν τὸ ἠθέλησε. Καὶ ἄλλο δὲ μαζὶ μὲ αὐτὰ διδάσκει εἰς τοὺς μαθητάς του, ὅ,τι δηλαδὴ καὶ ἂν ζητήσῃ νὰ τοῦ τὸ δίδουν· καὶ ἂν ἀκόμη τοὺς διέτασσε νὰ θυσιάσουν τὴν ζωήν των καὶ αὐτὴν νὰ τοῦ τὴν προσφέρουν, χωρὶς καμμίαν ἀντίρρησιν. Διότι ἐὰν οἱ ἄγνωστοι τοῦ παρεχώρησαν τὰ ζῶα των, πολὺ περισσότερον αὐτοὶ πρέπει νὰ ἐγκαταλείπουν τὰ πάντα.

Ἐκτὸς δὲ ἀπὸ αὐτὰ ποὺ ἐλέχθησαν καὶ ἄλλην πάλιν διπλῆν προφητείαν ἐξεπλήρωνε, τὴν μὲν μίαν μὲ τὰ ἔργα του, τὴν δὲ ἄλλην μὲ τὰ λόγια. Καὶ αὐτὴ ποὺ ἐξεπληροῦτο μὲ τὰ ἔργα ἦτο τὸ ὅτι ἐκάθισεν ἐπάνω εἰς ὄνον, ἡ δὲ ἄλλη, ποὺ ἐξεπληροῦτο μὲ τὰ λόγια, ἦτο ἡ προφητεία τοῦ προφήτου Ζαχαρίου, καθ' ὅσον αὐτὸς εἶπεν, ὅτι θὰ καθίσῃ ὁ βασιλεὺς ἐπάνω εἰς ὄνον. Καὶ ἀφοῦ ὁ Κύριος ἐκάθισε καὶ ἐξεπλήρωσεν αὐτήν, ἔδωσε πάλιν τὴν ἀρχὴν ἄλλης προφητείας, προδιατυπώνων δηλαδή, μὲ τὰ ὅσα ἔπραττεν, ὅλα ἐκεῖνα ποὺ ἐπρόκειτο νὰ συμβοῦν. Πῶς καὶ μὲ ποῖον τρόπον; Προεκήρυττε τὴν κλῆσιν τῶν ἀκαθάρτων ἐθνῶν καὶ ὅτι θὰ εὕρῃ ἀνάπαυσιν εἰς αὐτὰ καὶ ὅτι θὰ δεχθοῦν τὴν κλῆσιν καὶ θὰ τὰν ἀκολουθήσουν· καὶ ἔτσι ἡ μία προφητεία διεδέχετο τὴν ἄλλην.

Ἐγὼ ὅμως ἔχω τὴν ἐντύπωσιν ὅτι δὲν ἐκάθισε μόνον δι' αὐτὸ ἐπάνω εἰς τὸν ὄνον, ἀλλὰ καὶ διὰ νὰ μᾶς δώσῃ μέτρον εὐσεβείας. Διότι δὲν ἐξεπλήρωνε μόνον προφητείας, οὔτε ἐφύτευε τὰ δόγματα τῆς ἀληθείας ἀλλὰ καὶ τὴν ζωήν μας διώρθωνε μὲ αὐτά τὰ ἴδια, θέτων εἰς κάθε περίπτωσιν κανόνας τῆς πρεπούσης συμπεριφορᾶς καὶ ὁδηγῶν ἔτσι τὴν ζωήν μας εἰς ἐπιτυχίαν. Διὰ τοῦτο βέβαια καὶ ὅταν ἐπρόκειτο νὰ γεννηθῇ, δὲν ἐζήτησε μεγαλοπρεπῆ οἰκίαν, οὔτε μητέρα πλουσίαν καὶ περιφανῆ, ἀλλὰ πτωχήν, ποὺ εἶχε μνηστῆρα ξυλουργόν, καὶ γεννᾶται μέσα εἰς καλύβαν καὶ τοποθετεῖται εἰς τὴν φάτνην. Ἀλλὰ καὶ ὅταν ἐξέλεγε τοὺς μα-

τορας καὶ σοφούς, οὐδὲ εὐπόρους καὶ εὐγενεῖς, ἀλλὰ πένητας καὶ ἐκ πενήτων καὶ πάντοθεν ἀσήμους ἐξέλεξε· καὶ τράπεζαν παρατιθέμενος, ποτὲ μὲν κριθίνους ἄρτους παρατίθεται, ποτὲ δὲ πρὸς αὐτὸν τὸν καιρὸν ἐξ ἀγορᾶς τοὺς μαθητὰς ὠνεῖσθαι κελεύων· καὶ σιβάδα ποιῶν, ἀπὸ χόρτου ποιεῖ· καὶ ἱμάτια ἀμφιεννύμενος, εὐτελῆ καὶ τῶν πολλῶν οὐδὲν διαφέροντα περιβάλλεται· οἰκίαν δὲ οὐδὲ ἔσχεν.

Εἰ δὲ καὶ μεταβῆναι ἐκ τόπου εἰς τόπον ἔδει, ὁδοιπορῶν τοῦτο ποιεῖ, καὶ οὕτως ὁδοιπορῶν, ὡς καὶ κοπιᾶν. Καὶ καθήμενος οὐ θρόνου δεῖται, οὐδὲ προσκεφαλαίου, ἀλλ' ἐπὶ τοῦ ἐδάφους, ποτὲ μὲν ἐν ὄρει, ποτὲ δὲ παρὰ τὴν πηγήν· καὶ οὐ παρὰ τὴν πηγὴν μόνον, ἀλλὰ καὶ μόνος καὶ Σαμαρείτιδι διαλέγεται. Πάλιν λύπης μέτρα τιθείς, ἡνίκα θρηνῆσαι ἔδει, δακρύει ἠρέμα, παντὸς κανόνας, ὅπερ ἔφην, καὶ ὅρους πηγνύς, μέχρι τοῦ προβαίνειν δεῖ, καὶ περαιτέρω μηκέτι. Διὰ δὴ τοῦτο καὶ νῦν, ἐπειδὴ συνέβαινέ τινας ἀσθενεστέρους ὄντας ὑποζυγίων δεῖσθαι, κἀνταῦθα μέτρον ἔθηκε, δεικνὺς ὅτι οὐχ ἵππους, οὐδὲ ἡμιόνους ζεύξαντας φέρεσθαι δεῖ, ἀλλὰ ὄνῳ κεχρῆσθαι καὶ περαιτέρω μὴ προβαίνειν καὶ παντὸς τῆς χρείας εἶναι.

Ἴδωμεν δὲ καὶ τὴν προφητείαν, τὴν διὰ τῶν ῥημάτων, τὴν διὰ τῶν πραγμάτων. Τίς οὖν ἡ προφητεία; «Ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι πρᾶος καὶ ἐπιβεβηκὼς ἐπὶ ὑποζύγιον καὶ πῶλον νέον»· οὐχὶ ἅρματα ἐλαύνων, ὡς οἱ λοιποὶ βασιλεῖς· οὐ φόρους ἀπαιτῶν, οὐ οοβῶν καὶ δορυφόρους περιάγων· ἀλλὰ πολλὴν τὴν ἐπιείκειαν κἀντεῦθεν ἐπι-

3. Πρβλ. Ἰω. 4, 4ἑ.

θητάς των, ἐξέλεξεν ὄχι ρήτορας καὶ σοφούς, οὔτε πλουσίους καὶ εὐγενικῆς καταγωγῆς, ἀλλὰ πτωχούς, ποὺ κατήγοντο ἀπὸ πτωχούς, καὶ ἦσαν ἄσημοι ἀπὸ κάθε ἄποψιν. Καὶ ὅταν παραθέτῃ τράπεζαν, ἄλλοτε μὲν παραθέτει κριθίνους ἄρτους, ἄλλοτε δὲ ἀποστέλλει τὴν ὥραν τοῦ φαγητοῦ τοὺς μαθητάς του ν' ἀγοράσουν φαγώσιμα ἀπὸ τὴν ἀγοράν. Καὶ ὅταν κατασκευάζῃ τὸ στρῶμα του, τὸ κατασκευάζει ἀπὸ χόρτον· καὶ τὰ ἐνδύματα ποὺ φορεῖ εἶναι εὐτελῆ καὶ δὲν διαφέρουν καθόλου ἀπὸ αὐτὰ ποὺ φοροῦν οἱ ἄλλοι, οἰκίαν δὲ οὔτε κἂν εἶχεν.

Ἐὰν δὲ ἐχρειάζετο νὰ μεταβῇ ἀπὸ ἕνα τόπον εἰς ἄλλον, τὸ κάνει αὐτὸ ἀδοιπορῶν, καὶ τόσον ὁδοιπορεῖ, ὥστε καὶ νὰ νοιώθῃ κούρασιν. Καὶ ὅταν κάθεται, δὲν ἔχει ἀνάγκην ἀπὸ θρόνον, οὔτε ἀπὸ προσκεφάλαιον, ἀλλὰ κάθεται ἐπάνω εἰς τὸ ἔδαφος, ἄλλοτε μὲν εἰς τὸ ὄρος, ἄλλοτε δὲ κοντὰ εἰς τὴν πηγήν, καὶ ὄχι μόνον κοντὰ εἰς τὴν πηγήν, ἀλλὰ καὶ μόνος καὶ συνομιλεῖ μὲ τὴν Σαμαρείτιδα[3]. Πάλιν μὲ σκοπὸν νὰ θέσῃ μέτρον εἰς τὴν λύπην, ὅταν ἐχρειάζετο νὰ θρηνήσῃ, δακρύζει ἥρεμα, θέτων εἰς κάθε περίπτωσιν, ὅπως εἶπα, κανόνας καὶ ὅρια, μέχρι ποῦ δηλαδὴ πρέπει νὰ προχωροῦμεν καὶ οὐδέποτε νὰ προχωροῦμεν πιὸ πέρα. Διὰ τοῦτο λοιπὸν καὶ τώρα, ἐπειδὴ συνέβαινεν ὡρισμένοι ποὺ ἦσαν ἀσθενεῖς νὰ ἔχουν ἀνάγκην ἀπὸ ὑποζύγια, ἔθεσε καὶ εἰς τὴν περίπτωσιν αὐτὴν μέτρον, δεικνίων ὅτι δὲν χρειάζεται νὰ ζευχθοῦν οὔτε ἵπποι οὔτε ἡμίονοι διὰ τὴν μεταφοράν των, ἀλλὰ νὰ χρησιμοποιοῦν ὄνον καὶ νὰ μὴ προχωροῦν πιὸ πέρα καὶ πάντοτε νὰ ἀρκοῦνται εἰς τὰ ἀναγκαῖα.

Ἂς ἰδοῦμεν δὲ καὶ τὴν προφητείαν ποὺ διετυπώθη μὲ τὰ λόγια καὶ μὲ αὐτὰ τὰ ἴδια τὰ πράγματα. Ποία λοιπὸν εἶναι ἡ προφητεία; «Ἰδοὺ ὁ βασιλεύς σου ἔρχεται πρὸς ἐσένα πρᾷος καὶ εἶναι καθισμένος ἐπάνω εἰς ὑποζύγιον καὶ νέον πουλάρι»· δὲν διέρχεται καθισμένος ἐπάνω εἰς ἅρματα, ὅπως οἱ λοιποὶ βασιλεῖς, δὲν ζητεῖ φόρους, οὔτε δημιουργεῖ θόρυβον περιβαλλόμενος ἀπὸ δορυφόρους, ἀλλὰ δεικνύων

δεικνύμενος. Ἐρώτησον τοίνυν τὸν Ἰουδαῖον· ποῖος βασιλεὺς ἐπὶ ὄνου ὀχούμενος ἦλθεν εἰς Ἰερουσαλήμ; Ἀλλ' οὐκ ἂν ἔχοι εἰπεῖν, ἀλλ' ἢ τοῦτον μόνον. Ἐποίει δὲ ταῦτα, ὅπερ ἔφην, τὰ μέλλοντα προδηλῶν. Ἐνταῦθα γὰρ ἡ Ἐκκλησία δηλοῦται διὰ τοῦ πώλου καὶ ὁ λαὸς ὁ νέος, ὁ ποτὲ μὲν ἀκάθαρτος, μετὰ δὲ τὸ καθίσαι τὸν Ἰησοῦν καθαρὸς γενόμενος.

Καὶ ὅρα διόλου τὴν εἰκόνα σωζομένην. Οἱ γὰρ μαθηταὶ λύουσι τὰ ὑποζύγια. Διὰ γὰρ τῶν ἀποστόλων κἀκεῖνοι καὶ ἡμεῖς ἐκλήθημεν· διὰ τῶν ἀποστόλων προσήχθημεν. Ἐπειδὴ δὲ καὶ ἡ ἡμετέρα εὐδοκίμησις ἐκείνους παρεζήλωσε, διὰ τοῦτο φαίνεται ἡ ὄνος ἀκολουθοῦσα τῷ πώλῳ. Μετὰ γὰρ τὸ καθίσαι τὸν Χριστὸν ἐπὶ τὰ ἔθνη, τότε ἤξουσι κἀκεῖνοι παραζηλοῦντες. Καὶ τοῦτο δηλῶν ὁ Παῦλος ἔλεγεν· «Ὅτι πώρωσις ἀπὸ μέρους τοῦ Ἰσραὴλ γέγονεν, ἄχρις οὗ τὸ πλήρωμα τῶν ἐθνῶν εἰσέλθῃ· καὶ οὕτω πᾶς Ἰσραὴλ σωθήσεται». Ὅτι γὰρ προφητεία ἦν, δῆλον ἐκ τῶν εἰρημένων. Οὐ γὰρ ἂν ἐμέλησε τῷ προφήτῃ μετὰ τοσαύτης ἀκριβείας τοῦ ὄνου τὴν ἡλικίαν εἰπεῖν, εἰ μὴ τοῦτο ἦν. Οὐ ταῦτα δὲ μόνου δηλοῦνται διὰ τῶν εἰρημένων, ἀλλ' ὅτι καὶ μετ' εὐκολίας αὐτοὺς ἄξουσιν οἱ ἀπόστολοι. Ὥσπερ γὰρ ἐνταῦθα οὐδεὶς ἀντεῖπεν εἰς τὸ κατασχεῖν, οὕτως δὲ ἐπὶ τῶν ἐθνῶν οὐδεὶς ἠδυνήθη διακωλῦσαι τῶν κατεχόντων αὐτοὺς ἔμπροσθεν. Οὐ κάθηται δὲ ἐπὶ γυμνὸν τὸν πῶλον, ἀλλ' ἐπὶ τὰ ἱμάτια τῶν ἀποστόλων. Ἐπειδὴ γὰρ τὸν πῶλον ἔλαβον, ἅ-

4. Ρω. 11, 25-26.

καὶ μὲ τὸν τρόπον αὐτὸν εἰς πολὺ μεγάλον βαθμὸν τὴν ἐπιείκειάν του. Ἐρώτησε λοιπὸν τὸν Ἰουδαῖον· Ποῖος βασιλεὺς ἦλθεν εἰς τὰ Ἱεροσόλυμα καθισμένος ἐπάνω εἰς ὄνον; Δὲν θὰ ἔχῃ ὅμως νὰ σοῦ ἀναφέρῃ ἄλλον, παρὰ μόνον αὐτόν. Τὰ ἔκαμνε δὲ αὐτά, ὅπως ἀκριβῶς εἶπα, προαποκαλύπτων αὐτὰ ποὺ ἐπρόκειτο νὰ συμβοῦν. Διότι πράγματι ἐδῶ μὲ τὸ πουλάρι συμβολίζεται ἡ Ἐκκλησία καὶ ὁ νέος λαός, ὁ ὁποῖος κάποτε μὲν ἦτο ἀκάθαρτος, ἀπὸ τότε ὅμως ποὺ ἐκάθισεν ὁ Ἰησοῦς ἔγινε καθαρός.

Καὶ πρόσεχε τὴν εἰκόνα ποὺ εὑρίσκει ἐφαρμογὴν ἐξ ὁλοκλήρου. Οἱ μαθηταὶ δηλαδὴ λύουν τὰ ὑποζύγια· διὰ τῶν ἀποστόλων λοιπὸν ἐκλήθημεν εἰς τὴν πίστιν καὶ ἐκεῖνοι καὶ ἡμεῖς· διὰ τῶν ἀποστόλων ὡδηγήθημεν κοντὰ εἰς τὸν Κύριον. Ἐπειδὴ ὅμως ἡ ἰδική μας εὐδοκίμησις εἰς τὴν πίστιν ἔκανε καὶ ἐκείνους νὰ μᾶς μιμηθοῦν, διὰ τοῦτο φαίνεται ἡ ὄνος νὰ ἀκολουθῇ τὸ πουλάρι. Διότι μετὰ τὴν διάδοσιν τῆς πίστεως εἰς τὰ ἔθνη, τότε θὰ ἔλθουν καὶ οἱ Ἰουδαῖοι μιμούμενοι ἐκείνους. Καὶ αὐτὸ δηλῶν ὁ Παῦλος ἔλεγε· «Διότι μέρος τοῦ λαοῦ τοῦ Ἰσραὴλ περιέπεσεν εἰς ἀναισθησίαν, μέχρις ὅτου εἰσέλθουν ὅλοι οἱ ἐθνικοὶ καὶ ἔτσι θὰ σωθῇ ὅλος ὁ ἰσραηλιτικὸς λαός»[4]. Τὸ ὅτι λοιπὸν ἦτο προφητεία, γίνεται φανερὸν ἀπὸ τὰ ὅσα ἐλέχθησαν. Διότι ἄλλως δὲν θὰ τὸν ἐνδιέφερε τὸν προφήτην ν' ἀναφέρῃ μὲ τόσην ἀκρίβειαν τὴν ἡλικίαν τοῦ ὄνου, ἐὰν δὲν εἶχεν αὐτὴν τὴν σημασίαν. Καὶ δὲν δηλοῦνται μὲ τὰ ὅσα ἐλέχθησαν μόνον αὐτά, ἀλλ' ὅτι καὶ μὲ εὐκολίαν θὰ ὁδηγήσουν αὐτοὺς οἱ ἀπόστολοι εἰς τὴν χριστιανικὴν πίστιν. Διότι ὅπως ἀκριβῶς ἐδῶ δὲν ἔφερε κανεὶς οὐδεμίαν ἀντίρρησιν εἰς τὸ νὰ πάρουν τὰ ὑποζύγια, ἔτσι καὶ μὲ τοὺς ἐθνικοὺς κανεὶς ἀπὸ τοὺς προηγουμένους κυρίους των δὲν ἠμπόρεσε νὰ ἐμποδίσῃ αὐτοὺς νὰ τοὺς προσελκύσουν εἰς τὴν πίστιν. Δὲν κάθεται δὲ ὁ Κύριος ἐπάνω εἰς γυμνὸν πουλάρι, ἀλλ' ἐπάνω εἰς τὰ ἐνδύματα τῶν ἀποστόλων. Διότι ἀπὸ τὴν στιγμὴν ποὺ ἔλαβον τὸ πουλάρι, προσφέρουν εἰς τὴν συνέχειαν τὰ πάντα εἰς αὐτόν, καθὼς

πάντα λοιπὸν προΐενται, καθὼς καὶ Παῦλος ἔλεγεν· «ἐγὼ δὲ ἥδιστα δαπανήσω καὶ ἐκδαπανηθήσομαι ὑπὲρ τῶν ψυχῶν ὑμῶν».

Σκόπει δὲ τὸ εὐήνιον τοῦ πώλου, πῶς ἀδάμαστος ὢν καὶ χαλινοῦ ἄπειρος, οὐκ ἐσκίρτησεν, ἀλλ' εὐτάκτως ἐφέρετο. Ὃ καὶ αὐτὸ προφητεία τοῦ μέλλοντος ἦν, δηλοῦσα τὸ καταπειθὲς τῶν ἐθνῶν, καὶ τὴν ἀθρόαν εἰς εὐταξίαν μεταβολήν. Καὶ γὰρ πάντα τὸ ῥῆμα εἰργάσατο τὸ λέγον· «λύσαντες ἀγάγετέ μοι»· ὥστε τὰ ἄτακτα εὔτακτα, καὶ τὰ ἀκάθαρτα γενέσθαι λοιπὸν καθαρά.

3. Ἀλλ' ὅρα τὸ ταπεινὸν τῶν Ἰουδαίων. Τοσαῦτα θαύματα εἰργάσατο, καὶ οὐδέποτε αὐτὸν οὕτως ἐξεπλάγησαν· ἐπειδὴ δὲ εἶδον ὄχλον συντρέχοντα, τότε θαυμάζουσιν. «Ἐσείσθη γὰρ πᾶσα ἡ πόλις λέγουσα· τίς ἐστιν οὗτος; Οἱ δὲ ὄχλοι ἔλεγον· οὗτός ἐστιν Ἰησοῦς ὁ προφήτης, ὁ ἀπὸ Ναζαρὲτ τῆς Γαλιλαίας». Καὶ ὅτε ἔδοξαν μέγα τι λέγειν, τότε χαμαίζηλος ἦν αὐτῶν ἡ γνώμη, καὶ ταπεινὴ καὶ σεσυρμένη. Ταῦτα δὲ αὐτὸς ἐποίει, οὐ πομπήν τινα ἐπιδεικνύμενος, ἀλλ' ὁμοῦ μέν, ὅπερ εἶπον, καὶ προφητείαν πληρῶν καὶ φιλοσοφίαν παιδεύων, ὁμοῦ δὲ καὶ τοὺς μαθητὰς παραμυθούμενος λυπουμένους διὰ τὸν θάνατον, καὶ δεικνὺς ὅτι ταῦτα πάντα πάσχει ἑκών. Σὺ δέ μοι θαύμασον τοῦ προφήτου τὴν ἀκρίβειαν, πῶς πάντα προεῖπε· καὶ τὰ μὲν ὁ Δαυὶδ, τὰ δὲ ὁ Ζαχαρίας προανεφώνησεν.

Οὕτω καὶ ἡμεῖς ποιῶμεν καὶ ὑμνοῦμεν καὶ τὰ ἱμάτια προώμεθα τοῖς αὐτὸν φέρουσι. Τίνος γὰρ ἂν εἴημεν ἄξιοι, ὅταν οἱ μὲν τὴν ὄνον περιβάλλωσιν εἰς ἣν ἐκάθητο, οἱ δὲ τοῖς ποσὶν αὐτῆς ὑποστρωννύωσι τὰ ἱμάτια, ἡμεῖς δὲ αὐτὸν

5. Β' Κορ. 12, 15.
6. Ματθ. 21, 10-11.

καὶ ὁ Παῦλος ἔλεγεν· «Ἐγὼ δὲ πολὺ εὐχαρίστως θὰ δαπανήσω χρήματα καὶ θὰ δαπανήσω καὶ τὸν ἴδιον τὸν ἑαυτόν μου διὰ νὰ σώσω τὰς ψυχάς σας»[5].

Πρόσεχε δὲ τὸ ὑπάκουον τοῦ πουλαριοῦ, πῶς δηλαδή, ἂν καὶ ἦτο ἀδάμαστον καὶ ἄπειρον ἀπὸ χαλινάρι, δὲν ἔδειξεν ἀνυπακοήν, ἀλλ' ἠκολούθει μὲ προθυμίαν, πρᾶγμα ποὺ καὶ αὐτὸ ἀπετέλει προφητείαν διὰ τὰ μελλοντικά, δηλοῦσα τὴν εὔκολον προσέλευσιν τῶν ἐθνικῶν καὶ τὴν ἐξ ὁλοκλήρου μεταβολὴν αὐτῶν πρὸς τὴν ἐνάρετον ζωήν. Καθ' ὅσον ὅλα αὐτὰ ἐπιτεύχθησαν μὲ τὸν λόγον τοῦ Κυρίου· «Λύσατέ τον καὶ φέρετέ τον εἰς ἐμένα»· ὥστε τὰ ἄτακτα ἔγιναν εἰς τὸ ἑξῆς ὑπάκουα καὶ τὰ ἀκάθαρτα καθαρά.

3. Πρόσεχε ὅμως καὶ τὴν μηδαμινότητα τῶν Ἰουδαίων. Τόσα θαύματα ἔκανε καὶ οὐδέποτε ἐξεπλάγησαν τόσον πολὺ δι' αὐτά, μόλις ὅμως εἶδον τὰ πλήθη τοῦ λαοῦ νὰ τρέχουν πλησίον του, τότε τὸν θαυμάζουν. «Διότι ἐσείσθη ὅλη ἡ πόλις, λέγουσα· Ποῖος εἶναι αὐτός; τὰ δὲ πλήθη τοῦ λαοῦ ἔλεγον· Αὐτὸς εἶναι ὁ Ἰησοῦς ὁ προφήτης, ἀπὸ τὴν Ναζαρὲτ τῆς Γαλιλαίας»[6]. Καὶ ὅταν ἀντελήφθησαν ὅτι τὰ πλήθη ἔλεγον κάτι τὸ σημαντικόν, τότε ἡ γνώμη των ἦτο χαμαίζηλος καὶ ταπεινὴ καὶ ἐξευτελιστική. Ὁ Κύριος ὅμως τὰ ἔκανεν αὐτά, ὄχι πρὸς ἐπίδειξιν κάποιας θριαμβευτικῆς πομπῆς, ἀλλ' ὅπως ἀκριβῶς εἶπα, ἀφ' ἑνὸς μὲν διὰ νὰ ἐκπληρώσῃ τὴν προφητείαν καὶ νὰ διδάξῃ ταπείνωσιν, ἀφ' ἑτέρου δὲ διὰ νὰ παρηγορήσῃ τοὺς μαθητάς του ποὺ ἐλυποῦντο διὰ τὸν θάνατόν του, καὶ διὰ νὰ δείξῃ ὅτι ὅλα αὐτὰ τὰ πάσχει μὲ τὴν θέλησίν του. Ἀλλὰ σὺ θαύμασε, σὲ παρακαλῶ, τὴν ἀκριβολογίαν τοῦ προφήτου, πῶς δηλαδὴ ὅλα τὰ προεῖπε· καὶ ἄλλα μὲν προεῖπεν ὁ Δαυΐδ, ἄλλα δὲ ὁ Ζαχαρίας.

Ἔτσι ἂς κάμνωμεν καὶ ἐμεῖς καὶ ἂς ὑμνῶμεν καὶ ἂς δίδωμεν τὰ ἐνδύματά μας εἰς ἐκείνους ποὺ κηρύσσουν τὸν Χριστόν. Διότι ποίαν ἀξίαν θὰ ἦτο δυνατὸν νὰ ἔχωμεν, ὅταν ἄλλοι μὲν ἀπὸ ἐκείνους ἐνδύουν τὴν ὄνον ἐπάνω εἰς τὴν ὁποίαν ἐκάθετο, ἄλλοι δὲ στρώνουν τὰ ἐνδύματά των κάτω

γυμνὸν ὁρῶντες, καὶ οὐδὲ ἀποδῦναι κελευόμενοι, ἀλλ' ἀπὸ τῶν κειμένων δαπανᾶν, μηδὲ οὕτως ὦμεν φιλότιμοι; κἀκεῖνοι μὲν παρακολουθῶσιν ἔμπροσθεν καὶ ὄπισθεν, ἡμεῖς δὲ καὶ προσιόντα παραπεμπώμεθα καὶ διακρουώμεθα καὶ ὑβρίζωμεν; Πόσης ταῦτα κολάσεως ἄξια; πόσης τιμωρίας; Προσέρχεταί σοι δεόμενος ὁ δεσπότης, καὶ οὐδὲ ἀκοῦσαι βούλει τῆς ἱκετηρίας, ἀλλ' ἐγκαλεῖς καὶ ἐπιτιμᾷς, καὶ ταῦτα ἀκούσας τοιούτων ῥημάτων. Εἰ δὲ ἕνα ἄρτον διδοὺς καὶ ἀργύριον ὀλίγον, οὕτω βάναυσος εἶ καὶ ὀλίγωρος καὶ ἀκηρός, εἰ πάντα κενῶσαι ἔδει, τίς ἂν ἐγένου; Οὐχ ὁρᾷς τοὺς ἐν τῷ θεάτρῳ φιλοτίμους, ὅσα ταῖς πόρναις προΐενται; σὺ δὲ οὐδὲ τὸ ἥμισυ τούτων δίδως, οὐδὲ τὸ πολλοστὸν πολλάκις.

Ἀλλ' ὁ μὲν διάβολος κελεύει δοῦναι τοῖς τυχοῦσι, γέενναν προξενῶν, καὶ δίδως· ὁ δὲ Χριστὸς τοῖς δεομένοις, βασιλείαν ἐπαγγελλόμενος, καὶ οὐ μόνον οὐ δίδως, ἀλλὰ καὶ ὑβρίζεις· καὶ αἰρῇ μᾶλλον ὑπακοῦσαι τῷ διαβόλῳ, ἵνα κωλασθῇς, ἢ πεισθῆναι τῷ Χριστῷ καὶ σωθῆναι. Καὶ τί ταύτης χεῖρον γένοιτ' ἂν τῆς παραπληξίας; Ὁ μὲν γέενναν προξενεῖ, ὁ δὲ βασιλείαν· καὶ τοῦτον ἀφέντες, ἐκείνῳ προστρέχετε. Καὶ τὸν μὲν προσιόντα παραπέμπεσθε, τὸν δὲ μακρὰν ὄντα προσκαλεῖσθε. Καὶ αὐτὸν γίνεται, οἷον ἂν εἰ βασιλεὺς μὲν ἁλουργίδα ἔχων, καὶ διάδημα προτεινόμενος μὴ

ἀπὸ τὰ πόδια του, ἐνῷ ἐμεῖς, ἂν καὶ τὸν βλέπομεν γυμνὸν καὶ χωρὶς νὰ παραγγελλώμεθα νὰ ἐνδυθῶμεν, ἀλλὰ νὰ δαπανῶμεν ἁπλῶς ἀπὸ αὐτὰ ποὺ μᾶς περισσεύουν, νὰ μὴ δείχνωμεν οὔτε καὶ ἔτσι φιλοτιμίαν; καὶ ἐκεῖνοι μὲν τὸν ἀκολουθοῦν βαδίζοντες καὶ ἔμπροσθέν του καὶ ὄπισθέν του, ἐνῷ ἐμεῖς, ἂν καὶ ἔρχεται πλησίον μας, ἐν τούτοις τὸν ἀπομακρύνομεν, τὸν ἀποφεύγομεν καὶ τὸν περιφρονοῦμεν; Πόσης κολάσεως εἶναι ἄξια αὐτά; πόσης τιμωρίας; Σὲ πλησιάζει ὁ Κύριος καὶ σὲ παρακαλεῖ, καὶ οὔτε κἂν θέλεις ν' ἀκούσῃς τὴν παράκλησίν του, ἀντιθέτως μάλιστα τὸν κατηγορεῖς καὶ τὸν ἐπιτιμᾷς καὶ ὅλα αὐτὰ τὴν στιγμὴν ποὺ ἔχεις ἀκούσει τέτοιους λόγους. Ἐὰν δὲ δίδων ἕνα μόνον ἄρτον καὶ ὀλίγα χρήματα, εἶσαι τόσον πολὺ σκληρὸς καὶ ἀδιάφορος καὶ ὀκνηρός, ἐὰν παρίστατο ἀνάγκη νὰ τὰ δώσῃς ὅλα, ποῖος θὰ ἐγινόσουν τότε; Δὲν βλέπεις αὐτοὺς ποὺ ἐπιδεικνύουν γενναιοδωρίαν εἰς τὰ θέατρα, πόσα προσφέρουν εἰς τὰς πόρνας; σὺ ὅμως οὔτε τὸ ἥμισυ ἀπὸ αὐτὰ δίδεις καὶ πολλὰς φορὰς οὔτε καὶ τὸ ἐλάχιστον ἀπὸ αὐτά.

Καὶ ὁ μὲν διάβολος σὲ προτρέπει νὰ δίδῃς εἰς τοὺς τυχόντας, προξενῶν τὴν γέενναν, καὶ σὺ δίδεις, ἐνῷ ὁ Χριστὸς σοῦ λέγει νὰ δίδῃς εἰς αὐτοὺς ποὺ ἔχουν ἀνάγκην καὶ σοῦ ὑπόσχεται δι' αὐτὸ οὐράνιον βασιλείαν, καὶ σὺ ὄχι μόνον δὲν δίδεις, ἀλλὰ καὶ ὑβρίζεις· καὶ προτιμᾷς μᾶλλον νὰ ὑπακούσῃς εἰς τὸν διάβολον, διὰ νὰ τιμωρηθῇς, παρὰ νὰ ὑπακούσῃς εἰς τὸν Χριστὸν καὶ νὰ σωθῇς. Καὶ τί θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ χειρότερον ἀπὸ αὐτὴν τὴν παραπληξίαν; Ὁ μὲν διάβολος προξενεῖ γέενναν, ὁ δὲ Χριστὸς βασιλείαν, σεῖς ὅμως ἀφήνετε τὸν Χριστὸν καὶ τρέχετε κοντὰ εἰς τὸν διάβολον. Καὶ αὐτὸν ποὺ ἔρχεται πλησίον σας τὸν ἀπομακρύνετε, ἐνῷ αὐτὸν ποὺ εὑρίσκεται μακρυὰ τὸν προσκαλεῖτε. Καὶ συμβαίνει ἀκριβῶς τὸ ἴδιον, ὅπως δηλαδὴ ἕνας βασιλεύς, ποὺ φορεῖ τὴν βασιλικὴν πορφύραν καὶ προβάλλει τὸ στέμμα του, νὰ μὴ ἔχῃ τὴν δύναμιν νὰ πείσῃ, ἐνῷ κάποιος λῃ-

πείθοι, ληστὴς δὲ μάχαιραν ἐπισείων, καὶ θάνατον ἀπειλῶν πείθοι.

Ταῦτ' οὖν ἐννοοῦντες, ἀγαπητοί, διαβλέψωμεν ὀψὲ γοῦν πότε, καὶ ἀνανήψωμεν. Καὶ γὰρ ἐγὼ λοιπὸν αἰσχύνομαι περὶ ἐλεημοσύνης διαλεγόμενος, διὰ τὸ πολλάκις περὶ ταύτης τῆς ὑποθέσεως εἰπών, μηδὲν ἄξιον ἀνύσαι τῆς παραινέσεως. Γέγονε μὲν γάρ τι πλέον, οὐ τοσοῦτον δὲ ὅσον ἐβουλόμην. Ὁρῶ μὲν γὰρ σπείροντας ὑμᾶς, οὐ δαψιλεῖ δὲ τῇ δεξιᾷ. Διὸ καὶ φοβοῦμαι μήπως καὶ φειδομένως θερίσητε. Ὅτι γὰρ φειδομένως σπείρομεν, ἐξετάσωμεν, εἰ δοκεῖ, τίνες πλείους ἐν τῇ πόλει, πένητες ἢ πλούσιοι· καὶ τίνες οὔτε πένητες, οὔτε πλούσιοι, ἀλλ' οἱ μέσην χώραν ἔχοντες. Οἷον, ἔστι τὸ δέκατον μέρος πλουσίων, καὶ τὸ δέκατον πενήτων τῶν οὐδὲν ὅλως ἐχόντων· οἱ δὲ λοιποὶ τῶν μέσων εἰσί. Διέλωμεν τοίνυν εἰς τοὺς δεομένους τὸ πᾶν πλῆθος τῆς πόλεως καὶ ὄψεσθε τὴν αἰσχύνην ὅση. Οἱ μὲν γὰρ σφόδρα πλουτοῦντες ὀλίγοι· οἱ δὲ μετ' ἐκείνους πολλοί· πάλιν οἱ πένητες πολλῷ τούτων ἐλάττους. Ἀλλ' ὅμως τοσούτων ὄντων τῶν δυναμένων τοὺς πεινῶντας τρέφειν, πολλοὶ πεινῶντες καθεύδουσιν· οὐ διὰ τὸ μὴ δύνασθαι μετ' εὐκολίας αὐτοῖς ἐπαρκεῖν τοὺς ἔχοντας, ἀλλὰ διὰ τὴν πολλὴν αὐτῶν ὠμότητα καὶ ἀπανθρωπίαν. Εἰ γὰρ διέλοιντο οἵ τε πλουτοῦντες, οἵ τε μετ' ἐκείνους, τοὺς δεομένους ἄρτων καὶ ἐνδυμάτων, μόλις ἂν πεντήκοντα ἀνδράσιν ἢ καὶ ἑκατὸν λάχοι πένης εἷς.

Ἀλλ' ὅμως καὶ ἐν τοσαύτῃ ἀφθονίᾳ τῶν προσιησομένων ὄντες, ὀδύρονται καθ' ἑκάστην ἡμέραν. Καὶ ἵνα μάθῃς αὐ-

στὴς ποὺ σείει τὴν μάχαιράν του καὶ ἀπειλεῖ μὲ θάνατον νὰ ἠμπορῇ νὰ πείθῃ.

Ἀναλογιζόμενοι λοιπὸν αὐτά, ἀγαπητοί, ἂς ἀνοίξωμεν τέλος πάντων μετὰ ἀπὸ ὅλα αὐτὰ τὰ μάτια μας καὶ ἂς συνέλθωμεν ἀπὸ τὸν ὕπνον. Καθ' ὅσον ἐγὼ ἐντρέπομαι πλέον νὰ ὁμιλῶ περὶ ἐλεημοσύνης, ἐπειδὴ πολλὰς φορὰς σᾶς ὡμίλησα περὶ αὐτοῦ τοῦ θέματος, δὲν ἠμπόρεσα ὅμως νὰ ἐπιτύχω τίποτε ἀντάξιον τῆς παρακλήσεώς μου. Ἐσημειώθη βέβαια κάποια πρόοδος, ὄχι ὅμως τόση, ὅσην ἤθελα. Διότι σᾶς βλέπω μὲν νὰ σπείρετε, ὄχι ὅμως μὲ γεμᾶτο τὸ χέρι. Διὰ τοῦτο καὶ φοβοῦμαι μήπως δὲν θερίσετε μὲ ἀφθονίαν. Τὸ ὅτι βέβαια σπείρομεν χωρὶς ἁπλοχεριάν, ἂς ἐξετάσωμεν, ἐὰν θέλετε, ποῖοι εἶναι περισσότεροι εἰς τὴν πόλιν, οἱ πτωχοὶ ἢ οἱ πλούσιοι, καὶ ποῖοι δὲν εἶναι οὔτε πτωχοὶ οὔτε πλούσιοι, ἀλλ' εὑρίσκονται εἰς μίαν μέσην κατάστασιν. Ἔστω λοιπὸν ὅτι τὸ ἕνα δέκατον εἶναι πλούσιοι καὶ τὸ ἕνα δέκατον πτωχοὶ ποὺ δὲν ἔχουν ἐντελῶς τίποτε, οἱ δὲ ὑπόλοιποι εὑρίσκονται εἰς τὴν μέσην κατάστασιν. Ἂς μοιράσωμεν λοιπὸν εἰς αὐτοὺς ποὺ ἔχουν ἀνάγκην ὁλόκληρον τὸ πλῆθος τῆς πόλεως καὶ θὰ ἰδῆτε πόση εἶναι ἡ ἐντροπή. Διότι οἱ μὲν πάρα πολὺ πλούσιοι εἶναι ὀλίγοι, οἱ δὲ μετὰ ἀπὸ αὐτοὺς πολλοί, οἱ πτωχοὶ πάλιν εἶναι πολὺ ὀλιγώτεροι ἀπὸ αὐτούς. Ἀλλ' ὅμως ἐνῷ εἶναι τόσοι αὐτοὶ ποὺ ἠμποροῦν νὰ διατρέφουν τοὺς πτωχούς, παρ' ὅλα αὐτὰ πολλοὶ πεινασμένοι εὑρίσκονται εἰς τὸ κρεββάτι, ὄχι βέβαια ἐπειδὴ δὲν ἐπαρκοῦν αὐτοὶ ποὺ ἔχουν διὰ νὰ διατρέψουν μὲ ἄνεσιν τοὺς πεινασμένους, ἀλλὰ λόγῳ τῆς μεγάλης των σκληρότητος καὶ ἀπανθρωπίας. Διότι ἐὰν ἤθελον μοιρασθῇ, οἱ πλούσιοι μαζὶ μὲ τοὺς μετὰ ἀπὸ αὐτούς, αὐτοὺς ποὺ ἔχουν ἀνάγκην ἀπὸ τροφὴν καὶ ἐνδύματα, μόλις καὶ μετὰ δυσκολίας θὰ ἀντιστοιχῇ εἷς τοὺς πενήντα ἢ ἑκατὸν πλουσίους ἄνδρας ἕνας πτωχός.

Ἀλλ' ὅμως ἂν καὶ εἶναι τόσοι πολλοὶ αὐτοὶ ποὺ ἠμποροῦν νὰ βοηθήσουν, ἐν τούτοις καθημερινὰ ὀδύρονται οἱ

τῶν τὴν ἀπανθρωπίαν, ἑνὸς τῶν ἐσχάτων εὐπόρων καὶ τῶν μὴ σφόδρα πλουτούντων πρόσοδον ἡ ἐκκλησία ἔχουσα, ἐννόησον ὅσαις ἐπαρκεῖ καθ' ἑκάστην ἡμέραν χήραις, ὅσαις παρθένοις· καὶ γὰρ εἰς τὸν τῶν τρισχιλίων ἀριθμὸν ὁ κατάλογος αὐτῶν ἔφθασε. Μετὰ τούτων τοῖς τὸ δεσμωτήριον οἰκοῦσι, τοῖς ἐν τῷ ξενοδοχείῳ κάμνουσι, τοῖς ὑγιαίνουσι, τοῖς ἀποδημοῦσι, τοῖς τὰ σώματα λελωβημένοις, τοῖς τῷ θυσιαστηρίῳ προσεδρεύουσι, καὶ τροφῆς ἐνδυμάτων ἕνεκεν, τοῖς ἁπλῶς προσιοῦσι καθ' ἑκάστην ἡμέραν· καὶ οὐδὲν αὐτῇ τὰ τῆς οὐσίας ἠλάττωται. Ὥστε εἰ δέκα ἄνδρες μόνον οὕτως ἠθέλησαν ἀναλίσκειν, οὐδεὶς ἦν πένης.

4. Καὶ τί ἔμελλον, φησίν, οἱ παῖδες ἡμῶν διαδέχεσθαι; Τὸ κεφάλαιον ἔμενε, καὶ ἡ πρόσοδος πάλιν πλείων ἐγίνετο, ἐν οὐρανῷ θησαυριζομένων αὐτοῖς τῶν κτημάτων. Ἀλλ' οὐ βούλεσθε οὕτω; Κἂν ἐξ ἡμισείας κἂν ἀπὸ τρίτης μοίρας κἂν ἀπὸ τετάρτης κἂν ἀπὸ δεκάτης. Διὰ γὰρ τὴν τοῦ Θεοῦ χάριν δέκα πόλεων πένητας δυνατὸν ἦν θρέψαι τὴν πόλιν τὴν ἡμετέραν. Καὶ εἰ βούλεσθε, ποιήσωμέν τινα τούτων συλλογισμόν· μᾶλλον δὲ οὐδὲ συλλογισμοῦ χρεία· καὶ γὰρ αὐτόθεν κατάδηλός ἐστιν ἡ εὐκολία τοῦ πράγματος. Ὁρᾶτε γοῦν εἰς τὰς λειτουργίας τὰς πολιτικάς, ὅσα οἰκία μία ἀναλίσκουσα πολλάκις οὐκ ὤκνησεν, ἀλλ' οὐδὲ μικρὸν ἤσθετο τῆς δαπάνης· ἦν εἰ τῶν πλουσίων ἕκαστος εἰς τοὺς πένητας λειτουργεῖν λειτουργίαν ἐβούλετο, ἐν βραχείᾳ καιροῦ ροπῇ ἥρπασεν ἂν τὸν οὐρανόν.

Τίς οὖν ἂν εἴη συγγνώμη, ποία ἀπολογίας σκιά, ὅταν μηδὲ ὧν ἀφίστασθαι μέλλομεν πάντως ἀπαγόμενοι ἐντεῦθεν, μηδὲ τούτων μεταδιδῶμεν τοῖς δεομένοις μετὰ δαψιλείας τοσαύτης, μεθ' ὅσης τοῖς ἐπὶ τῆς σκηνῆς ἕτεροι, καὶ ταῦτα

πτωχοί. Καὶ διὰ νὰ ἀντιληφθῇς τὴν ἀπανθρωπίαν αὐτῶν, σκέψου, ὅτι ἡ ἐκκλησία, ἂν καὶ ἔχει τὰ ἔσοδα ἑνὸς ἀπὸ τοὺς τελευταίους πλουσίους, καὶ ἀπὸ αὐτοὺς ποὺ δὲν ἔχουν πάρα πολλὰ πλούτη, πόσας χήρας καὶ πόσας παρθένους ἐπαρκεῖ διὰ νὰ διατρέφῃ· καθ' ὅσον ὁ κατάλογος αὐτῶν ἔφθασεν εἰς τὸν ἀριθμὸν τῶν τριῶν χιλιάδων. Μαζὶ μὲ αὐτοὺς σκέψου καὶ τοὺς φυλακισμένους, τοὺς ἀρρώστους, τοὺς ὑγιεῖς, τοὺς ξένους, τοὺς σωματικῶς ἀναπήρους, αὐτοὺς ποὺ μένουν εἰς τὴν ἐκκλησίαν ἔχοντες ἀνάγκην ἀπὸ τροφὴν καὶ ἐνδύματα, αὐτοὺς ποὺ ἁπλῶς ζητοῦν καθημερινὰ βοήθειαν, καὶ ὅμως καθόλου δὲν ἔχει ἐλαττωθῇ ἡ περιουσία της. Ὥστε, ἐὰν μόνον δέκα ἄνδρες ἤθελον νὰ ἐξοδεύουν κατ' αὐτὸν τὸν τρόπον, δὲν θὰ ὑπῆρχε κανεὶς πτωχός.

4. Καὶ θὰ εἰπῇ κάποιος· τί ἐπρόκειτο τότε νὰ κληρονομήσουν τὰ παιδιά μας; Τὸ κεφάλαιον θὰ παρέμενε καὶ τὰ ἔσοδα πάλιν θὰ ηὔξανον, διότι τὰ κτήματά των θὰ ἐθησαυρίζοντο δι' αὐτὰ εἰς τὸν οὐρανόν. Ἀλλὰ δὲν θέλετε ἔτσι; βοηθήσατε τότε ἔστω κατὰ τὸ ἥμισυ, κατὰ τὸ ἕνα τρίτον, κατὰ τὸ ἕνα τέταρτον, κατὰ τὸ ἕνα δέκατον. Διότι ἐξ αἰτίας τῆς χάριτος τοῦ Θεοῦ ἡ πόλις μας ἠμπορεῖ νὰ διαθρέψῃ τοὺς πτωχοὺς δέκα πόλεων. Καὶ ἐὰν θέλετε, ἂς κάνωμεν κάποιον παρόμοιον συλλογισμόν, μᾶλλον δὲ οὔτε κἂν χρειάζεται συλλογισμός, καθ' ὅσον ἡ εὐκολία τοῦ πράγματος εἶναι ὁλοφάνερη ἀπὸ μόνη της. Προσέξατε λοιπὸν πόσα ἐξοδεύει χωρὶς κανένα δισταγμὸν μία οἰκία διὰ τὰ πολιτικὰ πράγματα, καὶ ὅμως οὔτε κἂν ἠσθάνθη ποτὲ τὴν δαπάνην· ἐὰν αὐτὴν τὴν δαπάνην ἤθελε τὴν προσφέρει ὁ κάθε πλούσιος διὰ τὸ θέμα βοηθείας τῶν πτωχῶν, θὰ ἐκέρδιζε μέσα εἰς ἐλάχιστον χρόνον τὸν οὐρανόν.

Ποία συγχώρησις λοιπὸν εἶναι δυνατὸν νὰ ὑπάρξῃ, ποία σκιὰ ἀπολογίας, ὅταν οὔτε καὶ ἐκεῖνα, ποὺ πρόκειται ὁπωσδήποτε νὰ τὰ ἐγκαταλείψωμεν φεύγοντες ἀπὸ τὸν κόσμον αὐτόν, δὲν τὰ δίδωμεν εἰς ἐκείνους ποὺ ἔχουν ἀνάγκην μὲ τόσην ἀφθονίαν, μὲ ὅσην τὰ δίδουν οἱ ἄλλοι εἰς τοὺς θεα-

τοσαῦτα μέλλοντες καρποῦσθαι ἐκ τούτων; Ἔδει μὲν γάρ, εἰ καὶ διαπαντὸς ἐνταῦθα ἦμεν, μηδὲ οὕτω φείδεσθαι τῆς καλῆς ταύτης δαπάνης· ὅταν δὲ μικρὸν ὕστερον ἐντεῦθεν ἀπαγώμεθα, καὶ πάντων ἀφελκώμεθα γυμνοί, ποίαν ἕξομεν ἀπολογίαν, μηδὲ ἀπὸ τῶν προσόδων παρέχοντες τοῖς λιμώττουσι καὶ ἀγχομένοις; Οὐδὲ γὰρ ἀναγκάζω σε τὰ ὄντα μειῶσαι· οὐκ ἐπειδὴ μὴ βούλομαι, ἀλλ' ἐπειδὴ σφόδρα ὀκνοῦντα ὁρῶ. Οὐ τοίνυν τοῦτό φημι· ἀλλ' ἀπὸ τῶν καρπῶν ἀνάλωσον, καὶ μηδὲν θησαυρίσῃς ἐντεῦθεν. Ἄρκει σοι ὥσπερ ἐκ πηγῆς ἔχειν ἐπιρρέοντα τὰ χρήματα τῶν προσόδων· ποίησον κοινωνοὺς τοὺς πένητας, καὶ γενοῦ καλὸς οἰκονόμος τῶν παρὰ τοῦ Θεοῦ σοι δοθέντων.

Ἀλλὰ τελέσματα δίδωμι, φησί. Διὰ τοῦτο οὖν καταφρονεῖς, ὅτι ἐνταῦθα οὐδεὶς ἀπαιτεῖ; κἀκείνῳ μὲν τῷ, κἂν ἐνέγγκῃ, κἂν μὴ ἐνέγκῃ ἡ γῆ, λαμβάνοντι μετὰ ἀνάγκης καὶ στρεβλοῦντι οὐ τολμᾷς ἀντειπεῖν· τῷ δὲ οὕτως ἡμέρῳ καὶ τότε ἀπαιτοῦντι, ὅταν ἐνέγκῃ ἡ γῆ, οὐδὲ μέχρι λόγου ἀποκρίνῃ; Καὶ τίς σε ἐξαιρήσεται τῶν ἀκαρτερήτων ἐκείνων κολάσεων; Οὐκ ἔστιν οὐδείς. Εἰ γὰρ ἐπειδὴ ἐκεῖ πάντως ἕψεται τιμωρία χαλεπωτάτη μὴ δόντι, διὰ τοῦτο γίνῃ σπουδαῖος περὶ τὴν ἔκτισιν, ἐννόησον ὅτι καὶ ἐνταῦθα χαλεπωτέρα· οὐ τὸ δεθῆναι, οὐδὲ τὸ εἰς δεσμωτήριον ἐμπεσεῖν, ἀλλὰ τὸ ἀπελθεῖν εἰς τὸ πῦρ τὸ αἰώνιον. Πάντων οὖν ἕνεκεν ταῦτα πρῶτον καταθῶμεν τὰ τελέσματα. Καὶ γὰρ πολλὴ ἡ εὐκολία καὶ μείζων ὁ μισθὸς καὶ πλείων ἡ ἐμπορία καὶ χείρων

τρίνους, καὶ ὅλα αὐτὰ τὴν στιγμὴν ποὺ πρόκειται νὰ καρπωθοῦν ἀπὸ αὐτὰ τόσον μεγάλην ὠφέλειαν; Διότι ἔπρεπε, καὶ ἂν ἀκόμη ἐζούσαμεν διαρκῶς εἰς τὴν γῆν, οὔτε τότε νὰ εἴμεθα φειδωλοὶ δι' αὐτὴν τὴν καλὴν δαπάνην, ὅταν ὅμως μετὰ ἀπὸ ὀλίγον θ' ἀπομακρυνθῶμεν ἀπὸ ἐδῶ καὶ θὰ συρθῶμεν γυμνοὶ ἀπὸ ὅλα, ποίαν ἀπολογίαν θὰ ἔχωμεν, τὴν στιγμὴν ποὺ δὲν δίδομεν οὔτε καὶ ἀπὸ τὰ περισσεύματά μας εἰς τοὺς πεινασμένους καὶ εἰς αὐτοὺς ποὺ ἔχουν ἀνάγκην; Δὲν σὲ ἐξαναγκάζω βέβαια νὰ μειώσῃς τὰ ὑπάρχοντά σου, ὄχι ἐπειδὴ δὲν θέλω, ἀλλ' ἐπειδὴ σὲ βλέπω πάρα πολὺ διστακτικόν. Δὲν σοῦ λέγω λοιπὸν αὐτό, ἀλλὰ δαπάνησε ἀπὸ τοὺς καρποὺς καὶ μὴ συγκεντρώσῃς τίποτε ἀπὸ αὐτοὺς εἰς τὰς ἀποθήκας σου. Σοῦ ἀρκοῦν τὰ χρήματα τῶν εἰσοδημάτων σου ποὺ τρέχουν ὡσὰν ἀπὸ πηγήν· κάνε κοινωνούς σου εἰς αὐτὰ τοὺς πτωχοὺς καὶ γίνε καλὸς διαχειριστὴς αὐτῶν ποὺ σοῦ ἐδόθησαν ἀπὸ τὸν Θεόν.

Καλά, ἀλλ' ὅμως, θὰ εἰπῇ κάποιος, πληρώνω φόρους. Διὰ τοῦτο λοιπὸν τοὺς περιφρονεῖς, ἐπειδὴ δὲν σοῦ ζητεῖ κανεὶς ἐδῶ; καὶ εἰς ἐκεῖνον μὲν πού, εἴτε παράγει ἡ γῆ εἴτε ὄχι, σοῦ τὰ παίρνει ἀναγκαστικὰ καὶ σὲ κακομεταχειρίζεται, δὲν τολμᾷς νὰ προβάλῃς καμμίαν ἀντίρρησιν, ὅμως εἰς αὐτὸν ποὺ σοῦ ζητεῖ μὲ τόσην ἡμερότητα καὶ μάλιστα ὅταν σοῦ προσφέρῃ ἡ γῆ, δὲν δέχεσαι νὰ τοῦ εἰπῇς οὔτε ἕνα λόγον; Καὶ ποῖος θὰ σὲ ἀπαλλάξῃ ἀπὸ τὰς ἀνυποφόρους ἐκείνας τιμωρίας; Δὲν ὑπάρχει κανείς. Ἐπειδὴ λοιπὸν εἰς τὴν περίπτωσιν τῶν φόρων θ' ἀκολουθήσῃ ὁπωσδήποτε ἡ φοβερωτάτη τιμωρία ἐὰν δὲν θὰ πληρώσῃς, καὶ διὰ τοῦτο φροντίζεις διὰ τὴν πληρωμήν των, σκέψου ὅτι καὶ ἐδῶ θὰ εἶναι πολὺ πιὸ φοβερά· ὄχι τὸ νὰ δεθῇς καὶ νὰ ριφθῇς εἰς τὴν φυλακήν, ἀλλὰ τὸ νὰ ὁδηγηθῇς εἰς τὸ πῦρ τὸ αἰώνιον. Ἐξ αἰτίας λοιπὸν ὅλων αὐτῶν ἂς φροντίζωμεν νὰ ἐξοφλῶμεν κατὰ πρῶτον αὐτοὺς τοὺς φόρους. Καθ' ὅσον εἶναι πολὺ εὔκολο πρᾶγμα καὶ ὁ μισθὸς πολὺ πιὸ μεγάλος καὶ τὸ κέρδος περισσότερον καὶ χειροτέρα ἡ τιμωρία ἐὰν δείξω-

ἡ κόλασις ἀγνωμονοῦσιν ἡμῖν. Κόλαοις γὰρ διαδέχεται τέλος οὐκ ἔχουσα. Εἰ δὲ τοὺς στρατιώτας μοι λέγεις τοὺς ὑπὲρ σοῦ πολεμοῦνιας βαρβάροις, ἔστι καὶ ἐνταῦθα στρατόπεδον, τὸ τῶν πτωχῶν, καὶ πόλεμος ὃν ὑπὲρ σοῦ πολεμοῦσιν οἱ πένητες. Ὅταν γὰρ λάβωσιν, εὐχόμενοι τὸν Θεὸν ἵλεω ποιοῦσιν· ἵλεω δὲ ποιοῦντες, ἀποκρούονται ἀντὶ βαρβάρων τὰς τῶν δαιμόνων ἐπιβουλάς· οὐκ ἀφιᾶσι σφοδρὸν εἶναι τὸν πονηρόν, οὐδὲ ἐπιτίθεσθαι συνεχῶς, ἀλλ' ἐκλύουσιν αὐτοῦ τὴν ἰσχύν.

5. Ὁρῶν τοίνυν τοὺς στρατιώτας καθ' ἑκάστην ἡμέραν πυκτεύοντας ὑπὲρ σοῦ τῷ διαβόλῳ διὰ τῶν δεήσεων καὶ τῶν εὐχῶν, ἀπαίτησον σαυτὸν τὴν καλὴν ταύτην εἰσφοράν, τὰς ἐκείνων τροφάς. Καὶ γὰρ ἥμερος ὢν ὁ βασιλεὺς οὗτος, οὐκ ἔδωκέ σοι τοὺς ἀπαιτοῦντας, ἀλλ' ἑκόντα βούλεται καταθεῖναι· κἂν κατὰ μικρὸν καταβάλῃς, δέχεται· κἂν ἀπορῶν διὰ πολλοῦ χρόνου καταθῇς, οὐ κατεπείγει τὸν οὐκ ἔχοντα. Μὴ δὴ τῆς μακροθυμίας αὐτοῦ καταφρονῶμεν, ἀλλὰ θησαυρίζωμεν ἑαυτοῖς μὴ ὀργήν, ἀλλὰ σωτηρίαν· μὴ θάνατον, ἀλλὰ ζωήν· μὴ κόλασιν καὶ τιμωρίαν, ἀλλὰ τιμὰς καὶ στεφάνους. Οὐκ ἔστιν ἐνταῦθα δοῦναι μισθὸν τῆς μετακομιδῆς τῶν εἰσφερομένων· οὐκ ἔστιν ἐνταῦθα καμεῖν ἐξαργυρίζοντας. Ἂν καταβάλῃς αὐτά, αὐτὸς αὐτὰ μετατίθησιν εἰς τὸν οὐρανὸν ὁ Δεσπότης· αὐτός σοι τὴν πραγματείαν κατασκευάζει κερδαλεωτέραν. Οὐκ ἔστιν ἐνταῦθα παράπομπον εὑρεῖν τῶν καταβληθέντων· μόνον κατάβαλε, καὶ εὐθέως ἄνεισιν· οὐχ ἵνα στρατιῶται ἕτεροι τραφῶσιν, ἀλλ' ἵνα σοι μένῃ μετ' ἐμπορίας πολλῆς.

μεν ἀγνωμοσύνην. Διότι ἀκολουθεῖ μετὰ τὴν ἐδῶ ζωὴν κόλασις ποὺ δὲν ἔχει τέλος. Ἐὰν δὲ μοῦ προβάλλῃς τοὺς στρατιώτας σου ποὺ πολεμοῦν πρὸς χάριν σου τοὺς βαρβάρους, ὑπάρχει καὶ ἐδῶ στρατόπεδον, τὸ στρατόπεδον τῶν πτωχῶν, καὶ πόλεμος τὸν ὁποῖον οἱ πτωχοὶ κάνουν δι' ἐσένα. Διότι ὅταν λάβουν τὴν βοήθειάν σου, κάνουν τὸν Θεὸν μὲ τὰς εὐχάς των νὰ εὐνοήσῃ τὸν πόλεμόν σου· κερδίζοντες δὲ τὴν εὔνοιάν του, ἀποκρούουν, ἀντὶ τῶν βαρβάρων, τὰς ἐπιβουλὰς τῶν δαιμόνων· δὲν ἀφήνουν τὸν πονηρὸν νὰ εἶναι ὁρμητικός, οὔτε νὰ ἐπιτίθεται συνεχῶς, ἀλλὰ διαλύουν τελείως τὴν δύναμίν του.

5. Βλέπων λοιπὸν αὐτοὺς τοὺς στρατιώτας καθημερινῶς νὰ ἀγωνίζωνται πρὸς χάριν σου ἐναντίον τοῦ διαβόλου διὰ τῶν παρακλήσεών των καὶ τῶν προσευχῶν των, ζῆτησε ἀπὸ τὸν ἑαυτόν σου αὐτὴν τὴν καλὴν εἰσφοράν, τὴν τροφὴν δηλαδὴ αὐτῶν. Διότι, ἐπειδὴ αὐτὸς ὁ βασιλεὺς εἶναι ἥμερος, δὲν σοῦ ἔδωσεν ἐκείνους ποὺ θὰ ζητήσουν τὴν τροφήν, ἀλλὰ θέλει μὲ τὴν θέλησίν σου νὰ τὴν προσφέρῃς· καὶ ἂν ἀκόμη τὴν καταβάλῃς μὲ μικρὰς δόσεις, τὴν δέχεται· καὶ ἂν ἀκόμη εὑρίσκεσαι εἰς ἀπορίαν καὶ τὴν προσφέρῃς ἐντὸς μεγάλου χρονικοῦ διαστήματος, δὲν κάνει βιαστικὸν ἐκεῖνον ποὺ δὲν ἔχει. Ἂς μὴ καταφρονῶμεν λοιπὸν τὴν μακροθυμίαν του, καὶ ἂς θησαυρίζωμεν διὰ τοὺς ἑαυτούς μας ὄχι ὀργήν, ἀλλὰ σωτηρίαν· ὄχι θάνατον, ἀλλὰ ζωήν· ὄχι κόλασιν καὶ τιμωρίαν, ἀλλὰ τιμὰς καὶ στεφάνους. Δὲν εἶναι δυνατὸν εἰς τὴν περίπτωσιν αὐτὴν νὰ πληρώσῃς διὰ τὴν μεταφορὰν αὐτῶν ποὺ δίδεις· δὲν εἶναι δυνατὸν εἰς τὴν περίπτωσιν αὐτὴν νὰ κουρασθῇς συγκεντρώνων θησαυρόν. Ἂν προσφέρῃς αὐτά, ὁ ἴδιος ὁ Κύριος τὰ μεταφέρει αὐτὰ εἰς τὸν οὐρανόν· ὁ ἴδιος καθιστᾷ μεγαλύτερον τὸ κέρδος τῆς προσφορᾶς σου. Δὲν χρειάζεται εἰς τὴν περίπτωσιν αὐτὴν νὰ εὕρῃς συνοδὸν δι' αὐτὰ ποὺ καταβάλλεις· μόνον δῶσε, καὶ ἀμέσως αὐτὰ μεταφέρονται, ὄχι διὰ νὰ τραφοῦν ἄλλοι στρατιῶται, ἀλλὰ διὰ νὰ φυλαχθοῦν δι' ἐσένα μὲ πολὺ κέρδος.

Ἐνταῦθα μὲν γὰρ ἅπερ ἂν δῷς, ἀναλαβεῖν οὐκ ἔνι· ἐκεῖ δὲ μετὰ πολλῆς ἀπολήψῃ πάλιν αὐτὰ τῆς τιμῆς καὶ κερδανεῖς μείζω καὶ πνευματικώτερα κέρδη. Ἐνταῦθα τὰ διδόμενα ἀπαίτησίς ἐστιν· ἐκεῖ χρῆσις καὶ δάνειον καὶ ὄφλημα. Καὶ γὰρ χειρόγραφά σοι ἐποίησεν ὁ Θεός· «ὁ γὰρ ἐλεῶν», φησί, «πτωχὸν, δανείζει Θεῷ». Ἔδωκέ σοι καὶ ἀρραβῶνα καὶ ἐγγυητάς, καὶ ταῦτα Θεὸς ὤν. Ποῖον ἀρραβῶνα; Τὰ ἐν τῷ παρόντι βίῳ, τὰ αἰσθητά, τὰ πνευματικά, τὰ προοίμια τῶν μελλόντων. Τί τοίνυν ἀναβάλλῃ καὶ ὀκνεῖς, τοσαῦτα ἤδη λαβών, τοσαῦτα προσδοκῶν; Ἃ μὲν γὰρ ἔλαβες, ἔστι ταῦτα· σῶμα αὐτός σοι διέπλασε· ψυχὴν αὐτός σοι ἐνέθηκεν· ἐτίμησέ σε λόγῳ μόνον τῶν ἐπὶ γῆς· τῶν ὁρωμένων σοι ἁπάντων τὴν χρῆσιν ἔδωκεν· ἐχαρίσατό σοι τὴν ἑαυτοῦ γνῶσιν· τὸν Υἱὸν ἐπέδωκεν ὑπὲρ σοῦ· βάπτισμα τοσούτων γέμον ἀγαθῶν ἐδωρήσατο· ἔδωκέ σοι τράπεζαν ἱεράν· ἐπηγγείλατο βασιλείαν καὶ τὰ ἀπόρρητα ἀγαθά. Τοσαῦτα τοίνυν λαβών, τοσαῦτα μέλλων λαμβάνειν (πάλιν γὰρ τὸ αὐτὸ ἐρῶ), περὶ χρήματα ἀπολλύμενα μικρολογῇ; καὶ ποίαν ἕξεις συγγνώμην;

Ἀλλὰ τοὺς παῖδας πάντως ὁρᾷς, καὶ διὰ τούτους ἀναδύῃ; Καὶ μὴν κἀκείνους παίδευσον τοιαῦτα κερδαίνειν κέρδη. Καὶ γὰρ εἰ ἀργύριον ἦν σοι δεδανεισμένον καὶ τόκους φέρον, εἶτα ὀφειλέτης εὐγνώμων ἦν, μυριάκις ἂν εἶλου ἀντὶ τοῦ χρυσίου τὸ γραμματεῖον καταλιπεῖν τῷ παιδί, ὥστε αὐτῷ τὰς προσόδους γενέσθαι πολλάς, καὶ μὴ ἀναγκάζεσθαι περιιέναι καὶ ζητεῖν ἑτέρους τοὺς δανεισομένους. Καὶ νῦν τοῦτο δὸς τὸ χειρόγραφον τοῖς παιδίοις, καὶ κατάλιπε τὸν Θεὸν

7. Παροιμ. 19, 17.

Ὅσα λοιπὸν θὰ δώσῃς ἐδῶ δὲν εἶναι δυνατὸν νὰ τὰ πάρῃς πίσω, ἐκεῖ ὅμως θὰ τὰ πάρῃς πάλιν μὲ μεγάλην τιμὴν καὶ θὰ εἶναι μεγαλύτερα καὶ πνευματικώτερα τὰ κέρδη σου. Ἐδῶ αὐτὰ ποὺ δίδεις ἀποτελοῦν ἀπαίτησιν, εἰς τὴν ἄλλην ζωὴν ὅμως συγκέντρωσις θησαυροῦ, δάνειον καὶ ὀφειλή. Καθ' ὅσον ὁ Θεὸς σοῦ ἔδωσε γραμμάτια εἰσπράξεως· διότι λέγει· «Αὐτὸς ποὺ ἐλεεῖ τὸν πτωχόν, δανείζει εἰς τὸν Θεόν»[7]. Σοῦ ἔδωσε καὶ ἀρραβῶνα καὶ ἐγγυητάς, καὶ ὅλα αὐτὰ ἐνῶ εἶναι Θεός. Ποῖος εἶναι ἀρραβών; Τὰ ἀγαθὰ τῆς παρούσης ζωῆς, τὰ αἰσθητὰ καὶ τὰ πνευματικά, ποὺ ἀποτελοῦν προοίμια διὰ τὰ μελλοντικά. Διατί λοιπὸν ἀναβάλλεις καὶ ἀδιαφορεῖς, τὴν στιγμὴν ποὺ τόσα πολλὰ ἔλαβες καί τόσα πολλὰ ἐλπίζεις νὰ λάβῃς; Αὐτὰ λοιπὸν ποὺ ἔλαβες εἶναι τὰ ἐξῆς· Ὁ ἴδιος ὁ Θεὸς ἔπλασε τὸ σῶμα σου· ὁ ἴδιος ἔθεσε μέσα σου τὴν ψυχήν· ἐσένα μόνον ἀπὸ ὅλα τὰ ὄντα τῆς γῆς σὲ ἐτίμησε μὲ τὸν λόγον· σοῦ ἔδωσε τὴν δυνατότητα νὰ ἐξουσιάζῃς καὶ νὰ χρησιμοποιῇς ὅλα ὅσα βλέπεις· σοῦ ἐχάρισε τὴν δυνατότητα νὰ τὸν γνωρίσῃς· προσέφερε δι' ἐσένα τὸν Υἱόν του· σοῦ ἐδώρησε τὸ βάπτισμα ποὺ εἶναι γεμᾶτον ἀπὸ τόσα πολλὰ ἀγαθά· σοῦ ἔδωσε τὴν ἱερὰν τράπεζαν· σοῦ ὑπεσχέθη τὴν οὐράνιον βασιλείαν καὶ τὰ ἀπόρρητα ἀγαθά. Ἔλαβες λοιπὸν τόσα πολλά, πρόκειται νὰ λάβῃς τόσα πολλὰ (πάλιν θὰ ἐπαναλάβω τὸ ἴδιο), καὶ φέρεσαι μὲ τόσην μικροπρέπειαν διὰ τὰ χρήματα ποὺ χάνονται; καὶ ποίαν συγγνώμην θὰ ἔχῃς;

Μήπως λοιπὸν βλέπεις τὰ παιδιά σου καὶ ἐξ αἰτίας αὐτῶν ἀποφεύγεις νὰ δώσῃς; Ἀλλ' ὅμως καὶ ἐκεῖνα δίδαξέ τα τέτοια κέρδη νὰ συγκεντρώνουν. Καθ' ὅσον ἐὰν εἶχες δανείσει χρήματα καὶ ἐλάμβανες τόκους καὶ ἦτο ὁ ὀφειλέτης καλὸς εἰς τὴν δόσιν τῶν τόκων, χιλίας φορὰς θὰ ἐπροτιμοῦσες ἀντὶ τῶν χρημάτων ν' ἀφήσῃς εἰς τὸ παιδί σου τὸ γραμμάτιον, ὥστε νὰ ἔχῃ μεγάλα ἔσοδα καὶ νὰ μὴ ἀναγκάζεται νὰ ψάχνῃ νὰ εὕρῃ ἄλλους διὰ νὰ δανείσῃ τὰ χρήματα. Καὶ τώρα αὐτὸ τὸ γραμμάτιον δῶσε εἰς τὰ παιδιά σου καὶ ἄφησε

αὐτοῖς ὀφειλέτην. Σὺ δὲ τοὺς μὲν ἀγροὺς οὐ πωλεῖς καὶ δίδως τοῖς παιδίοις, ἀλλ' ἐᾷς, ὅπως ἡ πρόσοδος μένῃ, καὶ ὁ τῶν χρημάτων πλεονασμὸς αὐτοῖς γένηται πλείων ἐντεῦθεν· τὸ δὲ χειρόγραφον τοῦτο, παντὸς ἀγροῦ καὶ προσόδων εὐπορώτερον καὶ τοσούτους φέρον καρπούς, τοῦτο δέδοικας καταλιπεῖν; καὶ πόσης ἂν εἴη τοῦτο εὐηθείας τε καὶ παραπληξίας; Καὶ ταῦτα εἰδὼς ὅτι κἂν αὐτοῖς αὐτὸ καταλίπῃς, καὶ αὐτὸς αὐτὸ λαβὼν ἀπελεύσῃ πάλιν· τοιαῦτα γὰρ τὰ πνευματικά· πολλὴν ἔχει τὴν φιλοτιμίαν.

Μὴ δὴ πτωχεύωμεν, μηδὲ ἀπάνθρωποι καὶ ὠμοὶ περὶ ἡμᾶς αὐτοὺς γινώμεθα, ἀλλ' ἐμπορευσώμεθα τὴν καλὴν ταύτην πραγματείαν· ἵνα καὶ αὐτοὶ λαβόντες αὐτὴν ἀπέλθωμεν καὶ τοῖς υἱοῖς τοῖς ἑαυτῶν καταλείψωμεν, καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμὴ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

τὸν Θεὸν ὀφειλέτην αὐτῶν. Ἀλλ᾽ ὅμως σὺ τοὺς μὲν ἀγροὺς δὲν τοὺς πωλεῖς διὰ νὰ τοὺς δώσῃς εἰς τὰ παιδιά σου καὶ τοὺς ἀφήνεις ὥστε νὰ λαμβάνουν ἀπὸ αὐτοὺς εἰσοδήματα καὶ ν᾽ αὐξάνῃ ἔτσι εἰς αὐτὰ τὸ περίσσευμα τῶν χρημάτων, αὐτὸ δὲ τὸ γραμμάτιον ποὺ ἀποδίδει πολὺ περισσότερα ἔσοδα ἀπὸ κάθε ἀγρὸν καὶ ἀποφέρει τόσους πολλοὺς καρποὺς, αὐτὸ φοβεῖσαι νὰ τοὺς τὸ ἀφῇσῃς; καὶ πόσης μωρίας καὶ παραφροσύνης δὲν θὰ ἦτο δεῖγμα αὐτό; Καὶ ὅλα αὐτὰ τὴν στιγμὴν ποὺ γνωρίζεις ὅτι καὶ ἂν ἀκόμη τὸ ἀφῇσῃς εἰς αὐτά, θὰ τὸ λάβῃς καὶ ὁ ἴδιος μαζί σου ὅταν θὰ φύγῃς· διότι τέτοια εἶναι τὰ πνευματικά· περιέχουν μεγάλην γενναιοδωρίαν.

Ἂς μὴ κάνωμεν λοιπὸν τοὺς ἑαυτούς μας πτωχούς, οὔτε νὰ γινώμεθα ἀπάνθρωποι καὶ σκληροὶ πρὸς τοὺς ἴδιους τοὺς οαυτούς μας, ἀλλ᾽ ἂς συγκεντρώσωμεν αὐτὸ τὸ καλὸν κέρδος, ὥστε καὶ ἡμεῖς οἱ ἴδιοι νὰ τὸ πάρωμεν μαζί μας φεύγοντες ἀπὸ αὐτὴν τὴν ζωὴν καὶ εἰς τὰ παιδιά μας νὰ τὸ ἀφήσωμεν, καὶ νὰ ἐπιτύχωμεν τὰ μελλοντικὰ ἀγαθά, μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖον εἰς τὸν Πατέρα καὶ εἰς τὸ ἅγιον Πνεῦμα ἀνήκει δόξα, δύναμις καὶ τιμή, τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΞΖ΄
Ματθ. 21, 12 - 32

«Καὶ εἰσελθὼν ὁ Ἰησοῦς εἰς τὸ ἱερόν, ἐξέβαλε πάντας τοὺς πωλοῦντας καὶ ἀγοράζοντας ἐν τῷ ἱερῷ, καὶ τὰς τραπέζας τῶν κολλυβιστῶν κατέστρεψε, καὶ τὰς καθέδρας τῶν πωλούντων τὰς περιστεράς, καὶ λέγει αὐτοῖς· γέγραπται, ὁ οἶκός μου οἶκος προσευχῆς κληθήσεται· ὑμεῖς δὲ αὐτὸν ἐποιήσατε σπήλαιον λῃστῶν».

1. Τοῦτο καὶ Ἰωάννης φησίν· ἀλλ᾽ ἐκεῖνος μὲν ἐν ἀρχῇ τοῦ εὐαγγελίου, οὗτος δὲ πρὸς τῷ τέλει. Ὅθεν εἰκὸς δεύτερον γεγενῆσθαι τοῦτο, καὶ κατὰ διαφόρους καιρούς. Καὶ δῆλον καὶ ἀπὸ τῶν χρόνων, καὶ ἀπὸ τῆς ἀποκρίσεως. Ἐκεῖ μὲν γὰρ ἐν αὐτῷ τῷ Πάσχα παρεγένετο· ἐνταῦθα δὲ προ πολλοῦ. Κἀκεῖ μὲν λέγουσιν Ἰουδαῖοι· «Τί σημεῖον δεικνύεις ἡμῖν;», ἐνταῦθα δὲ σιγῶσι, καίτοι ἐπιτιμηθέντες, διὰ τὸ ἤδη θαυμάζεσθαι αὐτὸν παρὰ πᾶσι. Τοῦτο δὲ κατηγορία μείζων Ἰουδαίων, ὅτι καὶ ἅπαξ καὶ δὶς τοῦτο αὐτοῦ ποιήσαντος, ἐνέμενον ἔτι τῇ κακηλείᾳ καὶ ἀντίθεον αὐτὸν εἶναι ἔλεγον, δέον κἀντεῦθεν μαθεῖν αὐτοῦ τὴν πρὸς τὸν Πατέρα τιμὴν καὶ τὴν οἰκείαν ἰσχύν. Καὶ γὰρ καὶ ἐθαυματούργησε, καὶ ἑώρων τοὺς λόγους τοῖς πράγμασι συμφωνοῦντας. Ἀλλ᾽ οὐδὲ οὕτως ἐπείθοντο, ἀλλ᾽ ἠγανάκτουν· καὶ ταῦτα τοῦ προφήτου βοῶντος ἀκούοντες, καὶ τῶν παιδίων παρὰ καιρὸν

---

1. Ἡσ. 56, 7.
2. Πρβλ. Ἰω. 2, 14ἑξ.
3. Πρβλ. Ἰω. 2, 13.
4. Ἰω. 2, 18.

ΟΜΙΛΙΑ ΞΖ΄

Ματθ. 21, 12 - 32

«Καὶ ἀφοῦ εἰσῆλθεν ὁ Ἰησοῦς εἰς τὸν ναόν, ἐξεδίωξεν ὅλους ἐκείνους ποὺ ἐπωλοῦσαν καὶ ἠγόραζον μέσα εἰς τὸν ναὸν καὶ κατέστρεψε τὰ τραπέζια τῶν ἀργυραμοιβῶν καὶ τὰ καθίσματα ἐκείνων ποὺ ἐπωλοῦσαν τὰς περιστεράς, καὶ λέγει εἰς αὐτούς· Ἔχει γραφῆ, ὁ οἶκος μου θὰ ὀνομασθῆ οἶκος προσευχῆς[1]· σεῖς ὅμως τὸν μετατρέψατε εἰς σπήλαιον λῃστῶν».

1. Τὸ ἴδιο λέγει καὶ ὁ Ἰωάννης· ἀλλ' ἐκεῖνος μὲν εἰς τὴν ἀρχὴν τοῦ εὐαγγελίου[2], αὐτὸς δὲ πρὸς τὸ τέλος αὐτοῦ. Ἑπομένως φυσικὸν εἶναι αὐτὸ τὸ γεγονὸς νὰ συνέβη καὶ ἄλλην φορὰν καὶ εἰς διαφορετικὸν χρόνον. Καὶ αὐτὸ γίνεται φανερὸν καὶ ἀπὸ τὸν χρόνον καὶ ἀπὸ τὴν ἀπάντησιν. Διότι κατὰ μὲν τὸν Ἰωάννην αὐτὸ συνέβη κατὰ τὴν ἑορτὴν τοῦ Πάσχα[3], ἐνῷ κατὰ τὸν Ματθαῖον πολὺ πρὶν ἀπὸ αὐτό. Καὶ ἐκεῖ μὲν οἱ Ἰουδαῖοι λέγουν· «Ποῖον σημεῖον ἔχεις νὰ μᾶς δείξῃς;»[4], ἐνῷ ἐδῶ σιωποῦν, ἂν καὶ τοὺς ἐπετίμησε, διὰ τὸν λόγον ὅτι ἐθαυμάζετο ἀπὸ ὅλους. Αὐτὸ δὲ ἀποτελεῖ μεγαλυτέραν κατηγορίαν διὰ τοὺς Ἰουδαίους, διότι μολονότι ὁ Κύριος τὸ ἔκανεν αὐτὸ μίαν καὶ δύο φοράς, αὐτοὶ συνέχιζον ἀκόμη τὴν καπηλείαν καὶ τὸν ὠνόμαζον ἀντίθεον, ἐνῷ ἔπρεπεν ἀπὸ τὸ γεγονὸς αὐτὸ νὰ πληροφορηθοῦν τὴν τιμήν του πρὸς τὸν Πατέρα καὶ τὴν ἰδικήν του δύναμιν. Καθ' ὅσον καὶ ἐθαυματούργησε καὶ ἔβλεπον τὰ λόγια του νὰ συμφωνοῦν μὲ τὰ ἔργα του. Καὶ ὅμως οὔτε καὶ ἔτσι ἐπίστευον εἰς αὐτὸν ἀλλ' ἠγανάκτουν· καὶ ὅλα αὐτὰ τὴν στιγμὴν ποὺ ἤκουον τὸν προφήτην νὰ τὸν διακηρύσσῃ καὶ τὰ παιδιά, παρὰ τὸ μικρὸν τῆς ἡλικίας των, νὰ τὸν ἐξυμνοῦν.

ἡλικίας ἀνακηρυττόντων αὐτόν. Διόπερ καὶ αὐτὸς τὸν Ἡσαΐαν αὐτοῖς ἐπιτειχίζει κατήγορον, λέγων· «ὁ οἶκός μου οἶκος προσευχῆς κληθήσεται».

Οὐ ταύτῃ δὲ μόνον δείκνυσιν αὐτοῦ τὴν ἐξουσίαν, ἀλλὰ καὶ τῷ θεραπεῦσαι ποικίλα νοσήματα· «προσῆλθον γὰρ αὐτῷ χωλοὶ καὶ τυφλοί, καὶ ἐθεράπευσεν αὐτούς»· καὶ τὴν δύναμιν αὐτοῦ καὶ τὴν ἐξουσίαν ἐνδείκνυται. Οἱ δὲ οὐδὲ οὕτως ἐπείθοντο, ἀλλὰ μετὰ τῶν λοιπῶν θαυμάτων καὶ τῶν παίδων ἀκούοντες ἀνακηρυττόντων αὐτόν, ἀπεπνίγοντο, καί φασιν· «οὐκ ἀκούεις τί οὗτοι λέγουσι;». Καὶ μὴν τοῦτο τοῦ Χριστοῦ ἦν εἰπεῖν πρὸς αὐτούς· οὐκ ἀκούετε τί οὗτοι λέγουσιν; ὡς γὰρ Θεῷ ἥδον ἐκεῖνοι. Τί οὖν αὐτός; Ἐπειδὴ τοῖς φανεροῖς ἀντέλεγον, ἐπιπληκτικώτερον κέχρηται τῇ διορθώσει, λέγων· «οὐδέποτε ἀνέγνωτε· ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον;». Καὶ καλῶς εἶπεν, «ἐκ στόματος». Οὐ γὰρ τῆς διανοίας αὐτῶν ἦν τὸ λεγόμενον, ἀλλὰ τῆς αὐτοῦ δυνάμεως τρανούσης τὸ τῆς γλώττης ἐκείνων ἄωρον. Τοῦτο δὲ καὶ τύπος τῶν ἐθνῶν ἦν, τῶν ψελλιζόντων καὶ ἀθρόον ἠχησάντων μεγάλα μετὰ διανοίας καὶ πίστεως. Καὶ τοῖς ἀποστόλοις δὲ ἐντεῦθεν οὐ μικρὰ παράκλησις. Ἵνα γὰρ μὴ διαπορῶσι, πῶς ἰδιῶται ὄντες δυνήσονται τὸ κήρυγμα καταγγεῖλαι, προλαβόντες οἱ παῖδες πᾶσαν αὐτῶν ἐξέβαλον τὴν ἀγωνίαν, ὅτι δώσει καὶ αὐτοῖς λόγον ὁ τούτους ποιήσας ὑμνεῖν.

Οὐ ταύτῃ δὲ μόνον, ἀλλ' ὅτι καὶ τῆς φύσεώς ἐστι δημιουργός, ἐδήλου τὸ θαῦμα. Οἱ μὲν οὖν παῖδες, καίτοι ἄωρον ἔχοντες τὴν ἡλικίαν, εὔσημα ἐφθέγγοντο καὶ τοῖς ἄνω

5. Ψαλμ. 8, 3.

Καὶ ἀκριβῶς διὰ τὸν λόγον αὐτὸν τοὺς προβάλλει ὡς κατήγορόν των τὸν Ἡσαΐαν, λέγοντα· «Ὁ οἶκος μου θὰ ὀνομασθῇ οἶκος προσευχῆς».

Δὲν ἀποδεικνύει ὅμως μόνον μὲ αὐτὸν τὸν τρόπον τὴν ἐξουσίαν του, ἀλλὰ καὶ μὲ τὸ ὅτι ἐθεράπευσε διάφορα νοσήματα· διότι «τὸν ἐπλησίασαν χωλοὶ καὶ τυφλοὶ καὶ τοὺς ἐθεράπευσε», δεικνύων ἔτσι τὴν δύναμίν του καὶ τὴν ἐξουσίαν του. Αὐτοὶ ὅμως οὔτε καὶ ἔτσι ἐπίστευον, ἀλλὰ μαζὶ μὲ τὰ ὑπόλοιπα θαύματά του καὶ ἀκούοντες τὰ παιδιὰ νὰ τὸν ἐξυμνοῦν, κατελαμβάνοντο ἀπὸ στενοχωρίαν καὶ ὀργὴν ἐναντίον του καὶ λέγουν· «Δὲν ἀκούεις τί λέγουν αὐτά;». Ἂν καὶ βέβαια ὁ Χριστὸς ἔπρεπε νὰ τοὺς εἰπῇ τὰ λόγια αὐτά· 'Δὲν ἀκούετε τί λέγουν αὐτά;' διότι τὰ παιδιὰ ἐκεῖνα τὸν ἐξυμνοῦσαν ὡς Θεόν. Τί κάνει λοιπὸν αὐτός; Ἐπειδὴ προέβαλλον φανερὰ ἀντιρρήσεις, χρησιμοποιεῖ κατὰ τρόπον πιὸ ἐπιτιμητικὸν τὴν διόρθωσιν, λέγων· «Δὲν ἔχετε διαβάσει ποτέ, ὅτι ἀπὸ στόματα νηπίων καὶ ποὺ θηλάζουν ἀκόμη συνέταξες ὕμνον τέλειον;»[5]. Καὶ πολὺ ὀρθὰ εἶπεν, «ἀπὸ τὸ στόμα». Διότι τὰ λόγια των δὲν προήρχοντο ἀπὸ τὴν διάνοιάν των, ἀλλ' ἀπὸ τὴν δύναμίν του, ποὺ καθίστα μεγάλην καὶ σπουδαίαν τὴν ἀνώριμον γλῶσσαν τῶν παιδιῶν. Αὐτὸ δὲ ἀποτελοῦσε καὶ προτύπωσιν διὰ τοὺς ἐθνικούς, ποὺ ὡμιλοῦσαν μὲ ἀσάφειαν διὰ τὸν Θεὸν καὶ ἀμέσως διεκήρυξαν μὲ βροντερὴν φωνὴν μὲ ἐπίγνωσιν καὶ πίστιν. Καὶ διὰ τοὺς ἀποστόλους δὲ δὲν ἦτο μικρὰ ἡ παρηγορία ποὺ προέκυπτεν ἀπὸ αὐτὸ τὸ γεγονός. Διότι, διὰ νὰ μὴ ἀποροῦν, πῶς, ἐνῷ εἶναι ἰδιῶται, θὰ ἠμποροῦσαν νὰ διαδώσουν τὸ κήρυγμα τοῦ διδασκάλου των, ἀφοῦ τοὺς ἐπρόλαβον τὰ παιδιὰ τοὺς ἀπήλλαξαν ἀπὸ κάθε ἀγωνίαν, πιστεύσαντες, ὅτι θὰ δώσῃ καὶ εἰς αὐτοὺς τὴν δύναμιν νὰ κηρύξουν αὐτὸς ποὺ ἔκανε τὰ παιδιὰ νὰ τὸν ἐξυμνοῦν.

Καὶ ὄχι μόνον αὐτά, ἀλλὰ τὸ θαῦμα αὐτὸ ἐδήλωνεν ὅτι ὁ Κύριος ἦτο καὶ δημιουργὸς τῆς φύσεως. Τὰ μὲν παιδιὰ λοιπόν, ἂν καὶ εἶχον ἀνώριμον ἡλικίαν, ὡμιλοῦσαν μὲ πολ-

συνῳδά, οἱ δὲ ἄνδρες παραφροσύνης γέμοντα καὶ μανίας. Τοιοῦτον γὰρ ἡ κακία. Ἐπεὶ οὖν πολλὰ ἦν αὐτοὺς τὰ παροξύνοντα, τὰ παρὰ τῶν ὄχλων, τὰ παρὰ τῆς ἐκβολῆς τῶν πωλούντων, τὰ τῶν θαυμάτων, τὰ τῶν παιδίων, πάλιν αὐτοὺς καταλιμπάνει, χαλῶν αὐτῶν τὸν ὄγκον τοῦ πάθους, καὶ μὴ βουλόμενος ἄρχεσθαι τῆς διδασκαλίας, ἵνα μὴ ζέοντες τῷ φθόνῳ δυσχεραίνωσιν ἐπιπλέον πρὸς τὰ λεγόμενα.

«Πρωΐας δὲ ἐπανάγων εἰς τὴν πόλιν, ἐπείνασε». Πῶς πρωΐας πεινᾷ; Ὅτε συνεχώρησε τῇ σαρκί, τότε ἐπιδείκνυται αὐτῆς τὸ πάθος. «Καὶ ἰδὼν συκῆν ἐπὶ τῆς ὁδοῦ, ἦλθεν ἐπ' αὐτήν, καὶ οὐδὲν εὗρεν εἰ μὴ φύλλα μόνον». Ἄλλος φησὶν εὐαγγελιστής, ὅτι οὐδέπω καιρὸς ἦν· εἰ δὲ καιρὸς οὐκ ἦν, πῶς ἕτερος εὐαγγελιστής φησιν, «ἦλθεν, εἰ ἄρα εὕροι καρπὸν ἐν αὐτῇ»; Ὅθεν δῆλον, ὅτι τῆς ὑπονοίας τῶν μαθητῶν ἦν τοῦτο, ἀτελέστερον ἔτι διακειμένων. Καὶ γὰρ τὰς ὑπονοίας τῶν μαθητῶν πολλαχοῦ γράφουσιν οἱ εὐαγγελισταί. Ὥσπερ οὖν τοῦτο τῆς ὑπονοίας αὐτῶν ἦν, οὕτω καὶ τὸ νομίζειν διὰ τοῦτο αὐτὴν κατηρᾶσθαι, διὰ τὸ μὴ ἔχειν καρπόν.

Τίνος οὖν ἕνεκεν κατηράσθη; Τῶν μαθητῶν ἕνεκεν, ἵνα θαρρῶσιν. Ἐπειδὴ γὰρ πανταχοῦ μὲν εὐηργέτει, οὐδένα δὲ ἐκόλασεν· ἔδει δὲ καὶ τῆς τιμωρητικῆς αὐτοῦ δυνάμεως ἀπόδειξιν παρασχεῖν, ἵνα μάθωσι καὶ οἱ μαθηταὶ καὶ οἱ Ἰουδαῖοι, ὅτι δυνάμενος ξηρᾶναι τοὺς σταυροῦντας αὐτόν, ἑκὼν συγχωρεῖ καὶ οὐ ξηραίνει· οὐκ ἐβούλετο δὲ τοῦτο εἰς ἀνθρώπους ἐνδείξασθαι· εἰς τὸ φυτὸν τῆς ἐνεργείας αὐτοῦ τῆς τιμωρητικῆς τὴν ἀπόδειξιν παρέσχετο. Ὅταν δὲ εἰς

6. Ματθ. 21, 17.
7. Πρβλ. Μάρκ. 11, 13.
8. Μάρκ. 11, 13.

λὴν σαφήνειαν καὶ σύμφωνα μὲ τὸν οὐράνιον τρόπον, ἐνῷ οἱ ἄνδρες ἦσαν γεμᾶτοι ἀπὸ παραφροσύνην καὶ μανίαν. Διότι τέτοια εἶναι ἡ κακία. Ἐπειδὴ λοιπὸν πολλὰ ἦσαν ἐκεῖνα ποὺ ἔκαναν αὐτοὺς νὰ ὀργίζωνται, αἱ ἐκδηλώσεις τοῦ πλήθους, τὰ σχετικὰ μὲ τὴν ἐκδίωξιν τῶν ἐμπόρων, τὰ θαύματα, ὁ ὕμνος τῶν παιδιῶν, διὰ τοῦτο τοὺς ἐγκαταλείπει καὶ πάλιν[6], καὶ κατευνάζων ἔτσι τὸ μέγεθος τοῦ πάθους των καὶ ἐπειδὴ δὲν ἤθελε ν' ἀρχίσῃ τὴν διδασκαλίαν του, μὴ τυχὸν διακαιόμενοι ἀπὸ τὸν φθόνον των δημιουργήσουν μεγαλυτέρας δυσχερείας εἰς τὴν διδασκαλίαν του.

«Ὅταν δὲ ἐπέστρεψε τὸ πρωὶ εἰς τὴν πόλιν, ἐπείνασε». Μὰ πῶς πεινᾷ τὸ πρωί; Ὅταν τὸ ἐπέτρεψεν εἰς τὴν σάρκα, τότε αὐτὴ φανερώνει καὶ τὸ πάθος της. «Καὶ ἰδὼν μίαν συκῆν δίπλα εἰς τὸν δρόμον, ἐπλησίασε πρὸς αὐτήν, καὶ δὲν εὗρε τίποτε εἰς αὐτήν, παρὰ μόνον φύλλα». Ἄλλος εὐαγγελιστὴς λέγει, ὅτι δὲν ἦτο ἡ ἐποχὴ ἀκόμη τῶν καρπῶν[7]· ἐὰν ὅμως δὲν ἦτο καιρὸς τῶν καρπῶν, πῶς ἄλλος εὐαγγελιστὴς λέγει, «Καὶ ἦλθε μὴ τυχὸν εὕρῃ καρπὸν εἰς αὐτήν»[8]; Ἄρα γίνεται φανερὸν ὅτι αὐτὸ ἦτο σκέψις τῶν μαθητῶν του, ἀφοῦ ἀκόμη πνευματικὰ ἦσαν ἀτελεῖς, καθ' ὅσον εἰς πολλὰς περιπτώσεις οἱ εὐαγγελισταὶ γράφουν τὰς σκέψεις τῶν μαθητῶν του. Ὅπως ἀκριβῶς λοιπὸν αὐτὸ ἦτο σκέψις τῶν μαθητῶν του, ἔτσι καὶ ἦτο ἰδική των σκέψις τὸ νὰ νομίζουν ὅτι δι' αὐτὸν τὸν λόγον τὴν κατηράσθη, ἐπειδὴ δηλαδὴ δὲν εἶχε καρπόν.

Διὰ ποῖον λόγον λοιπὸν τὴν κατηράσθη; Ἐξ αἰτίας τῶν μαθητῶν του, ὥστε νὰ λάβουν θάρρος. Ἐπειδὴ δηλαδὴ παντοῦ εὐηργέτει καὶ δὲν ἐτιμωροῦσε κανένα, ἀλλ' ἔπρεπε καὶ τὴν τιμωρητικὴν δύναμίν του νὰ δείξῃ, διὰ νὰ γνωρίσουν καὶ οἱ μαθηταί του καὶ οἱ Ἰουδαῖοι, ὅτι ἠμπορεῖ νὰ ξηράνῃ καὶ αὐτοὺς ποὺ θὰ τὸν σταυρώσουν, ἀλλὰ μὲ τὴν θέλησίν του τοὺς συγχωρεῖ καὶ δὲν τοὺς ξηραίνει, καὶ ἐπειδὴ αὐτὸ δὲν ἤθελε νὰ τὸ φανερώσῃ εἰς τοὺς ἀνθρώπους, ἀπέδειξε μὲ τὴν τιμωρητικὴν ἐνέργειάν του εἰς τὸ φυτόν. Ὅταν δὲ κάτι

τόπους ἢ εἰς φυτὰ ἢ εἰς ἄλογα γίνηταί τι τοιοῦτον, μὴ ἀκριβολογοῦ, μηδὲ λέγε· Πῶς οὖν δικαίως ἐξηράνθη ἡ συκῆ, εἰ καιρὸς οὐκ ἦν;[9] τοῦτο γὰρ ἐσχάτης ληδωρίας λέγειν· ἀλλὰ τὸ θαῦμα ὅρα καὶ θαύμαζε καὶ δόξαζε τὸν θαυματουργόν. Ἐπεὶ καὶ ἐπὶ τῶν χοίρων πολλοὶ τοῦτο εἰρήκασι τῶν καταπονισθέντων, τὸν τοῦ δικαίου γυμνάζοντες λόγον· ἀλλ' οὐδὲ ἐνταῦθα προσεκτέον αὐτοῖς· καὶ γὰρ καὶ ταῦτα ἄλογα, ὥσπερ ἐκεῖνο φυτὸν ἄψυχον.

Τίνος οὖν ἕνεκεν περίκειται τοιοῦτον σχῆμα τῷ πράγματι, καὶ τῆς καιρᾶς αὕτη ἡ πρόφασις; Ὅπερ ἔφην, τῆς τῶν μαθητῶν ὑπονοίας τοῦτο ἦν. Εἰ δὲ μηδέπω καιρὸς ἦν, εἰκῆ τινες τὸν νόμον δηλοῦσθαι ἐνταῦθα λέγουσι. Καὶ γὰρ τούτου καιρὸς ἦν ἡ πίστις, καὶ τότε ἦν ὁ καιρὸς τοῦ καρποῦ τούτου, καὶ ἤνεγκε γοῦν αὐτόν. «Ἤδη γὰρ αἱ χῶραι λευκαί εἰσι πρὸς θερισμόν», φησί· καί· «ἀπέστειλα ὑμᾶς θερίζειν ἃ οὐχ ὑμεῖς κεκοπιάκατε».

2. Οὐκ ἄρα τούτων τι αἰνίττεται ἐνταῦθα, ἀλλ' ὅπερ ἔφην ἐστί, τὴν δύναμιν ἐπιδείκνυται τὴν τιμωρητικήν· καὶ τοῦτο ἐκ τοῦ λέγειν, «οὔπω γὰρ ἦν καιρός», δείκνυσι· δηλῶν ὅτι προηγουμένως εἰς τοῦτο ἦλθεν, οὐ διὰ τὴν πεῖναν, ἀλλὰ διὰ τοὺς μαθητάς, οἳ καὶ σφόδρα ἐθαύμασαν, καίτοι πολλῶν ἤδη σημείων γενομένων μειζόνων· ἀλλ' ὅπερ ἔφην, ξένον τοῦτο ἦν· νῦν γὰρ πρῶτον τὴν τιμωρητικὴν ἐπεδείξατο δύναμιν. Διὸ οὐδὲ ἐν ἄλλῳ φυτῷ, ἀλλ' ἐν τῷ πάντων ὑγροτάτῳ τὸ θαῦμα ἐποίησεν, ὥστε κἀντεῦθεν μεῖζον φανῆναι τὸ θαῦμα. Καὶ ἵνα μάθῃς, ὅτι δι' αὐτοὺς τοῦτο γέγονεν, ἵνα εἰς τὸ θαρρεῖν αὐτοὺς ἀλείψῃ, ἄκουε τῶν ἑξῆς ὧν λέγει.

---

9. Ἰω. 4, 35.
10. Ἰω. 4, 38.

παρόμοιον συμβαίνῃ εἰς τόπους ἢ εἰς φυτὰ ἢ εἰς ἄλογα ζῶα, μὴ ἐξετάζῃς μὲ λεπτομέρειαν τὰ πράγματα, οὔτε νὰ λέγῃς· Πῶς λοιπὸν ἦτο δικαιολογημένη ἡ ξήρανσις τῆς συκῆς, ἐὰν δὲν ἦτο καιρὸς τῶν καρπῶν;' διότι αὐτὸ εἶναι δεῖγμα τῆς πιὸ χειροτέρας μωρολογίας· ἀλλὰ πρόσεχε τὸ θαῦμα καὶ θαύμαζε καὶ δόξαζε τὸν θαυματουργόν. Διότι καὶ διὰ τοὺς χοίρους ποὺ ἐπνίγησαν πολλοὶ τὸ εἶπαν αὐτό, ἐξετάζοντες ἐὰν αὐτὸ ἦτο δίκαιον, ἀλλ' οὔτε καὶ εἰς τὴν περίπτωσιν αὐτὴν πρέπει νὰ προσέξωμεν τὰ λόγια των, καθ' ὅσον καὶ αὐτὰ ἦσαν ἄλογα ζῶα, ὅπως ἀκριβῶς καὶ ἐκεῖνο φυτὸν ἄψυχον.

Διὰ ποῖον λόγοι λοιπὸν τὸ γεγονὸς αὐτὸ λαμβάνει αὐτὴν τὴν μορφὴν καὶ γίνεται ἡ αἰτία τῆς κατάρας; Ὅπως προανέφερα αὐτὸ ἦτο σκέψις τῶν μαθητῶν. Ἐὰν δὲ δὲν ἦτο ἀκόμη καιρὸς τῶν καρπῶν, ἄδικα ὡρισμένοι λέγουν, ὅτι ἐδῶ ἐννοεῖται ὁ νόμος. Καθ' ὅσον καρπὸς αὐτοῦ ἦτο ἡ πίστις, καὶ τότε ἦτο ὁ καιρὸς αὐτοῦ τοῦ καρποῦ καὶ φυσικὰ τὸν παρήγαγε. Διότι λέγει· «Τὰ χωράφια πλέον εἶναι λευκὰ καὶ ἕτοιμα πρὸς θερισμόν»[9]· καί· «Σᾶς ἀπέστειλα νὰ θερίζετε ἐκεῖνα διὰ τὰ ὁποῖα σεῖς δὲν ἔχετε κοπιάσει»[10].

2. Ἑπομένως δὲν ὑπαινίσσεται ἐδῶ κάτι παρόμοιον, ἀλλὰ δηλοῖ ἐκεῖνο ποὺ εἶπα, δηλαδὴ δείχνει τὴν τιμωρητικὴν δύναμίν του· καὶ αὐτὸ γίνεται φανερὸν ἀπὸ τοὺς λόγους· «διότι δὲν ἦτο ἀκόμη καιρός»· δηλώνει δηλαδὴ ὅτι ἦλθε πρὸς τὴν συκῆν πρὶν ἀπὸ τὸν καιρὸν τοῦ καρποῦ, ὄχι ἐπειδὴ ἐπεινοῦσεν, ἀλλὰ χάριν τῶν μαθητῶν του, οἱ ὁποῖοι καὶ ἐθαύμασαν πάρα πολύ, ἂν καὶ εἶχον γίνει ἤδη πολλὰ μεγαλύτερα θαύματα· ἀλλ' ὅπως προανέφερον, τὸ θαῦμα αὐτὸ ἦτο παράξενον· διότι διὰ πρώτην φορὰν τώρα ἔδειξε τὴν τιμωρητικὴν δύναμίν του. Διὰ τοῦτο δὲν ἔκανε τὸ θαῦμα εἰς ἄλλο φυτόν, ἀλλ' εἰς αὐτὸ ποὺ ἦτο τὸ πιὸ εὐδόκιμον, ὥστε ἔτσι τὸ θαῦμα νὰ φανῇ μεγαλύτερον. Καὶ διὰ νὰ ἀντιληφθῇς, ὅτι τὸ θαῦμα αὐτὸ ἔγινε χάριν αὐτῶν, διὰ νὰ τοὺς διδάξῃ δηλαδὴ νὰ ἔχουν θάρρος, ἄκουε αὐτὰ ποὺ λέγει εἰς τὴν συνέχειαν.

Τί δέ φησιν; Καὶ ὑμεῖς μείζονα ἐργάσεσθε, ἐὰν θέλητε πιστεύειν, καὶ εὐχῇ θαρρεῖν. Ὁρᾷς ὅτι τὸ πᾶν δι' αὐτοὺς γέγονεν, ὥστε μὴ δεδοικέναι καὶ τρέμειν ἐπιβουλάς; Διὸ καὶ δεύτερον τοῦτο λέγει, εὐχῇ προσηλῶν καὶ πίστει. Οὐ γὰρ δὴ τοῦτο ἐργάσεσθε μόνον, φησίν, ἀλλὰ καὶ ὄρη μεταστήσετε, καὶ ἕτερα πλείονα ποιήσετε, πίστει καὶ εὐχῇ θαρροῦντες.

Ἀλλ' οἱ ἀλαζόνες Ἰουδαῖοι καὶ τετυφωμένοι, διακόψαι βουλόμενοι τὴν διδασκαλίαν αὐτοῦ, προσελθόντες ἠρώτων· «ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς;». Ἐπειδὴ γὰρ τοῖς σημείοις ἐπισκῆψαι οὐκ εἶχον, τὴν τῶν καπηλευόντων ἐν τῷ ἱερῷ προφέρουσιν αὐτῷ διόρθωσιν. Τοῦτο δὲ καὶ παρὰ τῷ Ἰωάννῃ φαίνονται ἐρωτῶντες, εἰ καὶ μὴ τούτοις τοῖς ῥήμασιν, ἀλλὰ τῇ αὐτῇ γνώμῃ. Καὶ γὰρ ἐκεῖ λέγουσι· «τί σημεῖον δεικνύεις ἡμῖν, ὅτι ταῦτα ποιεῖς;». Ἀλλ' ἐκεῖ μὲν ἀποκρίνεται αὐτοῖς λέγων· «λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐγὼ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν», ἐνταῦθα δὲ εἰς ἀπορίαν αὐτοὺς ἐμβάλλει. Ὅθεν δῆλον, ὅτι τότε μὲν ἀρχὴ καὶ προοίμιον ἦν τῶν θαυμάτων, ἐνταῦθα δὲ τέλος. Ὃ δὲ λέγουσι, τοῦτό ἐστι· τὸν διδασκαλικὸν ἐδέξω θρόνον; ἱερεὺς ἐχειροτονήθης, ὅτι τοσαύτην ἐξουσίαν ἐπεδείξω; φησί. Καὶ μὴν οὐδὲν ἐποίησεν αὐθάδειαν ἔχον, ἀλλὰ τῆς εὐταξίας προενόησε τοῦ ἱεροῦ· ἀλλ' ὅμως οὐδὲν ἔχοντες εἰπεῖν, τούτῳ ἐπισκήπτουσι. Καὶ ὅτε μὲν ἐξέβαλεν, οὐκ ἐτόλμησαν εἰπεῖν οὐδέν, διὰ τὰ θαύματα· ἐπειδὴ δὲ ὤφθη, τότε ἐπιτιμῶσι.

---

11. Ἰω. 2, 18.
12. Ἰω. 2, 19.

Τί λέγει λοιπόν; Καὶ ἐσεῖς θὰ κάνετε μεγαλύτερα θαύματα, ἐὰν θελήσετε νὰ πιστεύσετε καὶ ἐὰν στηρίζετε τὴν πίστιν καὶ τὸ θάρρος σας εἰς τὴν προσευχήν. Βλέπεις ὅτι τὸ πᾶν δι' αὐτοὺς ἔγινεν, ὥστε νὰ μὴ φοβοῦνται καὶ νὰ μὴ τρέμουν τὰς ἐπιβουλάς; Διὰ τοῦτο καὶ διὰ δευτέραν φορὰν τὸ λέγει αὐτό, ἐπειδὴ θέλει νὰ τοὺς προσηλώσῃ εἰς τὴν προσευχὴν καὶ εἰς τὴν πίστιν. Διότι, λέγει, δὲν θὰ κάνετε βέβαια μόνον αὐτό, ἀλλὰ καὶ ὄρη θὰ μετακινήσετε καὶ ἄλλα πολὺ περισσότερα θὰ πραγματοποιήσετε, στηριζόμενοι εἰς τὴν πίστιν καὶ τὴν προσευχήν.

Οἱ ἀλαζόνες ὅμως Ἰουδαῖοι καὶ κυριευμένοι ἀπὸ τὸν φθόνον ἐπειδὴ ἤθελον νὰ διακόψουν τὴν διδασκαλίαν του, ἀφοῦ τὸν ἐπλησίασαν τὸν ἠρώτησαν· «Μὲ ποίαν ἐξουσίαν τὰ κάνεις αὐτά;». Ἐπειδὴ δηλαδὴ δὲν ἠμποροῦσαν ν' ἀμφισβητήσουν τὰ θαύματά του, τοῦ προβάλλουν τὴν ἀπομάκρυνσιν ἀπὸ τὸν ναὸν τῶν πωλητῶν. Τὸ ἴδιο δὲ φαίνεται νὰ τὸν ἐρωτοῦν καὶ κατὰ τὴν διήγησιν τοῦ Ἰωάννου, ἂν καὶ ὄχι μὲ τὰς ἰδίας λέξεις, ἀλλὰ μὲ τὴν αὐτὴν διάθεσιν. Καθ' ὅσον καὶ ἐκεῖ τοῦ λέγουν· «Ποῖον σημεῖον ἔχεις νὰ μᾶς δείξῃς, ὅτι ἔχεις τὸ δικαίωμα νὰ κάνῃς αὐτά;»[11]. Ἀλλ' ἐκεῖ μὲν δίδει τὴν ἐξῆς ἀπάντησιν· «Κρημνίσατε αὐτὸν τὸν ναὸν καὶ ἐγὼ θὰ τὸν ἀνοικοδομήσω ἐντὸς τριῶν ἡμερῶν»[12], ἐνῷ ἐδῶ τοὺς ἐμβάλλει εἰς ἀπορίαν. Ἑπομένως γίνεται φανερόν, ὅτι τότε μὲν ἦτο ἡ ἀρχὴ καὶ τὸ προοίμιον τῶν θαυμάτων, ἐνῷ ἐδῶ τὸ τέλος. Τὰ λόγια των ἔχουν τὴν ἐξῆς σημασίαν. Κατέλαβες τὸν διδασκαλικὸν θρόνον; ἐχειροτονήθης, τοῦ λέγουν, ἱερεύς, ὥστε νὰ ἐπιδεικνύῃς τόσον μεγάλην ἐξουσίαν; Ἂν καὶ βέβαια τίποτε δὲν ἔκανε ποὺ νὰ ἔδειχνεν αὐθάδειαν, ἀλλ' ἁπλῶς ἐνδιεφέρθη διὰ τὴν καλὴν τάξιν τοῦ ναοῦ· ἐπειδὴ ὅμως δὲν εἶχον τίποτε ἄλλο νὰ εἰποῦν, τὸν κατηγοροῦν δι' αὐτό. Καὶ ὅταν μὲν ἐξεδίωξε τοὺς πωλητάς, δὲν ἐτόλμησαν νὰ τοῦ εἰποῦν τίποτε, ἐξ αἰτίας τῶν θαυμάτων ποὺ ἔκανεν· ὅταν ὅμως παρουσιάσθη καὶ πάλιν ἔμπροσθέν των, τότε τὸν κατηγοροῦν.

Τί οὖν αὐτός; Οὐκ ἐξ εὐθείας αὐτοῖς ἀποκρίνεται, δεικνὺς ὅτι εἰ ἤθελον ἰδεῖν αὐτοῦ τὴν ἐξουσίαν, ἠδύναντο· ἀλλ' ἀντερωτᾷ αὐτοὺς λέγων· «τὸ βάπτισμα Ἰωάννου πόθεν ἐστίν; ἐξ οὐρανοῦ ἢ ἐξ ἀνθρώπων;». Καὶ ποία αὕτη ἀκολουθία; Μεγίστη μὲν οὖν. Εἰ γὰρ εἶπον, 'ἐξ οὐρανοῦ', εἶπεν ἂν αὐτοῖς· 'Διατί οὖν οὐκ ἐπιστεύσατε αὐτῷ;' Εἰ γὰρ ἐπίστευσαν, οὐκ ἂν ἠρώτησαν ταῦτα. Περὶ γὰρ αὐτοῦ ἐκεῖνος εἶπεν, ὅτι «οὐκ εἰμὶ ἱκανὸς λῦσαι τὸν ἱμάντα τῶν ὑποδημάτων αὐτοῦ»· καί, «ἰδοὺ ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου»· καί, «οὗτός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ»· καί, «ὁ ἄνωθεν ἐρχόμενος ἐπάνω πάντων ἐστί»· καὶ ὅτι «τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ, καὶ διακαθαριεῖ τὴν ἅλωνα αὐτοῦ». Ὥσιε εἰ ἐπίστευσαν ἐκείνῳ, οὐδὲν ἦν τὸ κωλύον αὐτοὺς εἰδέναι ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖ.

Εἶτα ἐπειδὴ κακουργοῦντες ἔλεγον, «οὐκ ἴσμεν», οὐκ εἶπεν, οὐδὲ ἐγὼ οὐκ οἶδα· ἀλλὰ τί; «οὐδὲ ἐγὼ λέγω ὑμῖν». Εἰ μὲν γὰρ ἠγνόουν, διδάσκεσθαι αὐτοὺς ἔδει· ἐπειδὴ δὲ ἐκακούργουν, εἰκότως οὐδὲν αὐτοῖς ἀποκρίνεται. Καὶ πῶς οὐκ εἶπον, ὅτι ἐξ ἀνθρώπων τὸ βάπτισμα; «Ἐφοβοῦντο τοὺς ὄχλους», φησίν. Εἶδες διεστραμμένην καρδίαν; Παντὶ τοῦ Θεοῦ καταφρονοῦσι καὶ διὰ τοὺς ἀνθρώπους ἅπαντα πράττουσι. Καὶ γὰρ καὶ τοῦτον δι' αὐτοὺς ἐφοβοῦντο, οὐκ αἰδούμενοι τὸν ἄνδρα, ἀλλὰ διὰ τοὺς ἀνθρώπους· καὶ τῷ Χριστῷ πιστεύειν διὰ τοὺς ἀνθρώπους οὐκ ἤθελον· καὶ πάντα ἐντεῦθεν αὐτοῖς ἐτίκτετο τὰ κακά.

Εἶτά φησι· «Τί ὑμῖν δοκεῖ; Ἄνθρωπος εἶχε υἱοὺς δύο,

---

13. Λουκᾶ 3, 16.
14. Ἰω. 1, 29.
15. Ἰω. 1, 34.
16. Ἰω. 3, 31.
17. Ματθ. 3, 12.

Τί κάνει λοιπὸν αὐτός; Δὲν τοὺς ἀπαντᾷ κατ' εὐθεῖαν, δεικνύων ἔτσι, ὅτι ἐὰν ἤθελον νὰ ἰδοῦν τὴν ἐξουσίαν του, ἠμποροῦσαν, ἀλλὰ τοὺς ἐρωτᾷ καὶ ὁ ἴδιος τὸ ἑξῆς· «Τὸ βάπτισμα τοῦ Ἰωάννου ἀπὸ ποῦ προῆρχετο; ἀπὸ τὸν οὐρανὸν ἢ ἀπὸ τοὺς ἐνθρώπους;». Καὶ ποῖον ἦτο τὸ ἀποτέλεσμα αὐτῆς τῆς ἐρωτήσεως; Ἀσφαλῶς ἦτο πάρα πολὺ μεγάλο. Διότι ἐὰν ἔλεγον, 'ἀπὸ τὸν οὐρανόν', θὰ ἠμποροῦσε νὰ τοὺς εἰπῇ· 'Διατί λοιπὸν δὲν ἐπιστεύσατε εἰς αὐτόν;'. Διότι ἐὰν εἶχον πιστεύσει, δὲν θὰ ἦτο δυνατὸν νὰ τοῦ κάνουν αὐτὴν τὴν ἐρώτησιν. Διότι ἐκεῖνος διὰ τὸν Ἰησοῦν εἶπεν τοὺς λόγους· «Δὲν εἶμαι ἱκανὸς νὰ λύσω τὸν ἱμάντα τοῦ ὑποδήματός του»[13]· καί, «Νὰ ὁ ἀμνὸς τοῦ Θεοῦ, ποὺ σηκώνει τὴν ἁμαρτίαν τοῦ κόσμου»[14]· καί, «Αὐτὸς εἶναι ὁ Υἱὸς τοῦ Θεοῦ»[15]· καί, «Ἐκεῖνος ποὺ ἔρχεται ἀπὸ τὸν οὐρανόν, εἶναι ἀνώτερος ἀπὸ ὅλους»[16]· καὶ ὅτι «Κρατεῖ εἰς τὸ χέρι του τὸ φτυάρι καὶ θὰ καθαρίσῃ τελείως τὸ ἁλώνι του»[17]. Ὥστε, ἐὰν εἶχον πιστεύσει εἰς ἐκεῖνον, δὲν ὑπῆρχε καμμία δυσκολία εἰς αὐτοὺς νὰ ἀντιληφθοῦν μὲ ποίαν ἐξουσίαν ἐνεργεῖ αὐτά.

Ἔπειτα, ἐπειδὴ γεμᾶτοι ἀπὸ κακίαν ἔλεγον αὐτοί, «δὲν γνωρίζομεν», δὲν εἶπεν, οὔτε καὶ ἐγὼ δὲν γνωρίζω, ἀλλὰ τί λέγει; «Οὔτε ἐγὼ σᾶς λέγω μὲ ποίαν ἐξουσίαν πράττω αὐτά». Διότι ἐὰν μὲν δὲν τὸ ἐγνώριζον, ἔπρεπε νὰ τοὺς διδάξῃ· ἐπειδὴ ὅμως ἦσαν γεμᾶτοι ἀπὸ κακίαν, κατὰ πολὺ φυσικὸν λόγον δὲν δίδει καμμίαν ἀπάντησιν εἰς αὐτούς. Καὶ πῶς δὲν εἶπον, ὅτι τὸ βάπτισμα τοῦ Ἰωάννου ἦτο ἀνθρώπινον; Διότι «ἐφοβοῦντο τὰ πλήθη τοῦ λαοῦ», λέγει. Εἶδες καρδίαν διεστραμμένην; Εἰς κάθε περίπτωσιν περιφρονοῦν τὸν Θεὸν καὶ ὅλα τὰ πράττουν διὰ νὰ ἐπιδειχθοῦν εἰς τοὺς ἀνθρώπους. Καθ' ὅσον καὶ τὸν Ἰωάννην ἐξ αἰτίας τῶν ἀνθρώπων τὸν ἐφοβοῦντο, ὄχι ἐπειδὴ τὸν ἐσέβοντο, ἀλλὰ ἐξ αἰτίας τῶν ἀνθρώπων· καὶ εἰς τὸν Χριστὸν ἐξ αἰτίας τῶν ἀνθρώπων δὲν ἤθελον νὰ πιστεύσουν καὶ ὅλα τὰ κακὰ δι' αὐτοὺς ἐγεννῶντο ἀπὸ αὐτὴν τὴν αἰτίαν.

Εἰς τὴν συνέχειαν λέγει· «Τί γνώμην ἔχετε δι' αὐτό;

καὶ λέγει τῷ πρώτῳ· ὕπαγε, σήμερον ἐργάζου εἰς τὸν ἀμπελῶνα. Ὁ δὲ ἀποκριθεὶς εἶπεν, οὐ θέλω· ὕστερον δὲ μεταμεληθεὶς ἀπῆλθε. Καὶ προσελθὼν τῷ δευτέρῳ, εἶπεν ὡσαύτως. Ὁ δὲ ἀποκριθεὶς εἶπεν, ἐγώ, Κύριε· καὶ οὐκ ἀπῆλθε. Τίς οὖν ἐκ τῶν δύο ἐποίησε τοῦ Πατρὸς τὸ θέλημα; Λέγουσιν, ὁ πρῶτος».

Πάλιν διὰ παραβολῶν αὐτοὺς ἐλέγχει, τήν τε αὐτῶν ἀγνωμοσύνην, καὶ τὸ τῶν σφόδρα κατεγνωσμένων καταπειθὲς αἰνιττόμενος. Τὰ γὰρ τέκνα ταῦτα τὰ δύο τοῦτο δηλοῖ, ὃ καὶ ἐπὶ τῶν ἐθνῶν καὶ ἐπὶ Ἰουδαίων γέγονε. Καὶ γὰρ ἐκεῖνοι οὐχ ὑποσχόμενοι ἀκούσεσθαι, οὐδὲ γενόμενοι ἀκροαταὶ τοῦ νόμου, διὰ τῶν ἔργων ἐπεδείξαντο τὴν ὑπακοήν· καὶ οὗτοι εἰπόντες, «πάντα ὅσα ἂν εἴπῃ ὁ Θεός, ποιήσομεν καὶ ἀκουσόμεθα» διὰ τῶν ἔργων παρήκουσαν. Διά τοι τοῦτο ἵνα μὴ νομίσωσι τὸν νόμον αὐτοὺς ὠφελεῖν, δείκνυσιν ὅτι αὐτὸ μὲν οὖν τοῦτο αὐτοὺς καταδικάζει· ὅπερ οὖν καὶ ὁ Παῦλός φησιν, ὅτι «οὐχ οἱ ἀκροαταὶ τοῦ νόμου δίκαιοι παρὰ τῷ Θεῷ, ἀλλ᾽ οἱ ποιηταὶ τοῦ νόμου δικαιωθήσονται». Διὰ τοῦτο ἵνα καὶ αὐτοκατακρίτους ποιήσῃ, παρ᾽ αὐτῶν ἐξενεχθῆναι παρασκευάζει τὴν ψῆφον· ὅπερ καὶ ἐν τῇ ἑπιούσῃ παραβολῇ ποιεῖ τοῦ ἀμπελῶνος.

3. Καὶ ἵνα τοῦτο γένηται, ἐπ᾽ ἄλλου προσώπου γυμνάζει τὸ ἔγκλημα. Ἐπειδὴ γὰρ ἐξ εὐθείας οὐκ ἠθέλησαν ὁμολογῆσαι, διὰ παραβολῆς αὐτοὺς ἐμβάλλει λοιπὸν εἰς ὅπερ ἐβούλετο. Ὅτε δὲ οὐ συνιέντες τὰ λεγόμενα τὴν ψῆφον ἐξήνεγκαν, τότε ἀποκαλύπτει τὸ συνεσκιαομένον λοιπόν, καὶ λέγει· «ὅτι τελῶναι καὶ πόρναι προάγουσιν ὑμᾶς εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. Ἦλθε γὰρ ὁ Ἰωάννης πρὸς ὑμᾶς

18. Ματθ. 21, 28-31.
19. Ἐξ. 19, 8.
20. Ρωμ. 2, 13.

Κάποιος ἄνθρωπος εἶχε δύο υἱοὺς καὶ λέγει εἰς τὸν πρῶτον· Πήγαινε σήμερα νὰ ἐργασθῇς εἰς τὸ ἀμπέλι. Αὐτὸς δὲ ἀπεκρίθη καὶ εἶπε, δὲν θέλω. Ὕστερα δὲ μετενόησε καὶ ἐπῆγε νὰ ἐργασθῇ. Ἐπῆγε μετὰ εἰς τὸν δεύτερον καὶ εἶπε καὶ εἰς αὐτὸν τὸ ἴδιο. Αὐτὸς δὲ ἀπεκρίθη καὶ εἶπε· θὰ ὑπάγω, κύριε· καὶ δὲν ἐπῆγε. Ποῖος λοιπὸν ἀπὸ τοὺς δύο ἔκανε τὸ θέλημα τοῦ πατρός του; Τοῦ λέγουν· ὁ πρῶτος»[18].

Πάλιν τοὺς ἐλέγχει μὲ παραβολάς, ὑπαινισσόμενος καὶ τὴν ἀγνωμοσύνην τῶν Ἰουδαίων καὶ τὴν εὐπείθειαν τῶν εἰδωλολατρῶν ποὺ τοὺς ἐπεριφρονοῦσαν πάρα πολύ. Διότι οἱ δύο αὐτοὶ υἱοὶ αὐτὸ δηλώνουν, πρᾶγμα ποὺ συνέβη καὶ ἐπὶ τῶν ἐθνικῶν καὶ ἐπὶ τῶν Ἰουδαίων. Καθ' ὅσον οἱ ἐθνικοὶ ἂν καὶ δὲν ὑπεσχέθησαν νὰ ὑπακούσουν καὶ δὲν ὑπῆρξαν ἀκροαταὶ τοῦ νόμου, ἀπέδειξαν τὴν ὑπακοὴν των μὲ τὰ ἔργα των. Ἐνῷ οἱ Ἰουδαῖοι ἂν καὶ εἶπαν, «Ὅλα ὅσα θὰ προστάξῃ ὁ Θεός, θὰ τὰ πράξωμεν καὶ θὰ ὑπακούσωμεν εἰς αὐτά»[19], ὅμως εἰς τὴν πρᾶξιν παρῆκουσαν. Διὰ τοῦτο λοιπὸν διὰ νὰ μὴ νομίσουν ὅτι ὁ νόμος τοὺς ὠφελεῖ, τοὺς ἀποδεικνύει ὅτι αὐτὸς ὁ ἴδιος ὁ νόμος τοὺς καταδικάζει, πρᾶγμα ποὺ καὶ ὁ Παῦλος τὸ λέγει ὡς ἑξῆς· «Δὲν εἶναι δίκαιοι ἀπέναντι τοῦ Θεοῦ αὐτοὶ ποὺ ἀκούουν τὸν νόμον, ἀλλὰ θὰ δικαιωθοῦν αὐτοὶ ποὺ ἐφαρμόζουν αὐτόν»[20]. Διὰ τοῦτο, θέλων νὰ τοὺς κάνῃ νὰ κατακρίνουν μόνοι των τοὺς ἑαυτούς των, προετοιμάζει τὰ πράγματα, ὥστε μόνοι νὰ βγάλουν τὴν ἀπόφασιν, πρᾶγμα ποὺ κάνει καὶ εἰς τὴν παροῦσαν παραβολὴν τοῦ ἀμπελῶνος.

3. Καὶ διὰ νὰ συμβῇ αὐτὸ ἐπιρρίπτει τὴν κατηγορίαν εἰς ἄλλο πρόσωπον. Διότι, ἐπειδὴ δὲν θὰ ἦτο δυνατὸν ν' ἀποσπάσῃ ἀπ' εὐθείας τὴν ὁμολογίαν των, τοὺς ὁδηγεῖ εἰς τὴν συνέχειαν μὲ τὴν παραβολὴν ἐκεῖ ὅπου ἤθελεν. Ὅταν δέ, μὴ ἀντιληφθέντες τὸ νόημα τῶν λόγων του, ἔβγαλον τὴν ἀπόφασιν, τότε ἀποκαλύπτει πλέον αὐτὸ ποὺ ὑπονοοῦσε καὶ λέγει· «Διότι οἱ τελῶναι καὶ αἱ πόρναι εἰσέρχονται πρὶν ἀπὸ ἐσᾶς εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. Διότι ἦλθεν ὁ Ἰωάν-

ἐν ὁδῷ δικαιοσύνης, καὶ οὐκ ἐπιστεύσατε αὐτῷ· οἱ δὲ τελῶναι ἐπίστευσαν αὐτῷ· ὑμεῖς δὲ ἰδόντες οὐ μετεμελήθητε ὕστερον, τοῦ πιστεῦσαι αὐτῷ». Εἰ μὲν γὰρ εἶπεν ἁπλῶς, πόρναι προάγουσιν ὑμᾶς, ἔδοξεν ἂν φορτικὸς εἶναι αὐτοῖς ὁ λόγος· νυνὶ δέ, μετὰ τὴν αὐτῶν ψῆφον ἀποφαινόμενος, ἀνεπαχθὴς εἶναι δοκεῖ. Διὰ τοῦτο καὶ τὴν αἰτίαν προστίθησι.

Τίς δὲ ἦν αὕτη; «Ἦλθεν Ἰωάννης», φησί, «πρὸς ὑμᾶς», οὐ πρὸς ἐκείνους· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ «ἐν ὁδῷ δικαιοσύνης». Οὐδὲ γὰρ τοῦτο ἔχετε ἐγκαλεῖν, ὅτι ἠμελημένος τις ἦν καὶ οὐδὲν ὠφελῶν· ἀλλὰ καὶ ὁ βίος ἀνεπίληπτος καὶ ἡ πρόνοια πολλή, καὶ οὐ προσέσχετε αὐτῷ. Καὶ μετὰ τούτου καὶ ἕτερον ἔγκλημα, ὅτι τελῶναι προσέσχον· καὶ μετὰ τούτου πάλιν ἄλλο, ὅτι οὐδὲ μετ' ἐκείνους ὑμεῖς. Ἔδει μὲν γὰρ καὶ πρὸ αὐτῶν· τὸ δὲ μηδὲ μετ' αὐτούς, πάσης συγγνώμης ἐστερημένον ἦν· καὶ ἄφατος κἀκείνων ἔπαινος, καὶ τούτων κατηγορία. Πρὸς ὑμᾶς ἦλθε, καὶ οὐ προσήκασθε· οὐκ ἦλθε πρὸς ἐκείνους, καὶ ἐδέξαντο· καὶ οὐδὲ ἐκείνους ἔσχετε διδασκάλους.

Ὅρα διὰ πόσων ἐκείνων δείκνυται τὸ ἐγκώμιον, καὶ τούτων ἡ κατηγορία. Πρὸς ὑμᾶς ἦλθεν, οὐ πρὸς ἐκείνους. Ὑμεῖς οὐκ ἐπιστεύσατε· τοῦτο ἐκείνους οὐκ ἐσκανδάλισεν. Αὐτοὶ ἐπίστευσαν· τοῦτο ὑμᾶς οὐκ ὠφέλησε. Τὸ δέ, «προάγουσιν», οὐχ ὡς τούτων ἑπομένων, ἀλλ' ὡς ἐλπίδα ἐχόντων, ἐὰν ἐθέλωσιν. Οὐδὲν γὰρ οὕτως ὡς ζηλοτυπία διεγείρει τοὺς παχυτέρους. Διὰ τοῦτο ἀεὶ λέγει· «οἱ πρῶτοι ἔσχατοι, καὶ

νης πρὸς ἐσᾶς, βαδίζων τὸν δρόμον τῆς δικαιοσύνης, καὶ δὲν ἐπιστεύσατε εἰς αὐτόν, ἐνῷ οἱ τελῶναι ἐπίστευσαν εἰς αὐτόν· σεῖς ὅμως ἂν καὶ τὸν εἴδατε, δὲν μετενοήσατε ἔστω καὶ ἀργότερα, ὥστε νὰ πιστεύσετε εἰς αὐτόν». Διότι ἐὰν ἔλεγεν ἁπλῶς, αἱ πόρναι εἰσέρχονται πρὶν ἀπὸ ἐσᾶς, θὰ τοὺς ἐφαίνετο ὁ λόγος ἐνοχλητικός, ἐνῷ τώρα ποὺ διατυπώνει τὴν σκέψιν του μετὰ τὴν ἰδικήν των γνώμην, φαίνεται ὁ λόγος του ὑποφερτός. Διὰ τοῦτο προσθέτει καὶ τὴν αἰτίαν.

Ποία δὲ ἦτο αὐτή; «Ἦλθεν», λέγει, «ὁ Ἰωάννης πρὸς ἐσᾶς», ὄχι πρὸς ἐκείνους· καὶ ὄχι μόνον αὐτό, ἀλλὰ καὶ «βαδίζων τὴν ὁδὸν τῆς δικαιοσύνης». Οὔτε βέβαια ἠμπορεῖτε νὰ τὸν κατηγορήσετε, ὅτι ἦτο κάποιος ἀδιάφορος καὶ ὅτι δὲν ὠφελοῦσαν εἰς τίποτε, ἀλλὰ καὶ ὁ τρόπος τῆς ζωῆς του ἦτο ἀνεπίληπτος καὶ ἡ φροντίς του μεγάλη, παρ' ὅλα αὐτὰ ὅμως δὲν τὸν ἐπροσέξατε. Καὶ μαζὶ μὲ αὐτὸ τοὺς κατηγορεῖ καὶ δι' ἄλλο πρᾶγμα, ὅτι δηλαδὴ οἱ τελῶναι τὸν ἐπρόσεξαν· καὶ μετὰ ἀπὸ αὐτὴν τὴν κατηγορίαν τοὺς κατηγορεῖ καί δι' ἄλλο, ὅτι δηλαδὴ δὲν τὸν ἐπρόσεξαν οὔτε καὶ μετὰ ἀπὸ αὐτούς. Φυσικὰ ἔπρεπε πρὶν ἀπὸ αὐτοὺς νὰ πιστεύσουν, τὸ ὅτι ὅμως δὲν ἐπίστευσαν οὔτε καὶ μετὰ ἀπὸ αὐτούς, αὐτὸ δὲν ἔχει καμμίαν συγχώρησιν· καὶ εἶναι μὲν ἀπερίγραπτος ὁ ἔπαινος ἐκείνων, ἐνῷ αὐτῶν ἡ κατηγορία. Πρὸς ἐσᾶς ἦλθε καὶ δὲν τὸν ἐδέχθητε, δὲν ἐπῆγε πρὸς ἐκείνους καὶ τὸν ἐδέχθησαν καὶ οὔτε κἂν ἐκείνους ἐδέχθητε ὡς διδασκάλους σας.

Πρόσεχε μὲ πόσους τρόπους ἀποδεικνύεται τὸ ἐγκώμιον ἐκείνων καὶ ἡ κατηγορία αὐτῶν. Πρὸς ἐσᾶς ἦλθεν, ὄχι πρὸς ἐκείνους. Σεῖς δὲν ἐπιστεύσατε· αὐτὸ δὲν τοὺς ἐσκανδάλισεν ἐκείνους. Αὐτοὶ ἐπίστευσαν· αὐτὸ δὲν σᾶς ὠφέλησε. Τὸ δέ, «εἰσέρχονται πρὶν ἀπὸ ἐσᾶς», δὲν τὸ εἶπε μὲ τὴν σημασίαν ὅτι θ' ἀκολουθήσουν καὶ αὐτοί, ἀλλὰ μὲ σκοπὸν νὰ δείξῃ ὅτι ὑπάρχει ἐλπὶς διὰ κάτι παρόμοιον, ἐὰν τὸ θελήσουν. Διότι τίποτε δὲν διεγείρει τόσον πολὺ αὐτοὺς ποὺ εἶναι πνευματικοὶ ἀτελεῖς, ὅσον ἡ ζήλεια. Διὰ τοῦτο πάντοτε λέγει· «Οἱ πρῶτοι θὰ γίνουν τελευταῖοι, καὶ οἱ τελευταῖοι

οἱ ἔσχατοι πρῶτοι». Διὰ τοῦτο καὶ πόρνας παρήγαγε καὶ τελώνας, ἵνα παραζηλώσωσι. Καὶ γὰρ τὰ δύο ταῦτα ἄκρα ἁμαρτήματα, ἐξ ἔρωτος χαλεποῦ τικτόμενα, τὸ μὲν ἀπὸ σωμάτων, τὸ δὲ ἀπὸ χρημάτων ἐπιθυμίας. Δείκνυσι δέ, ὅτι τοῦτο μάλιστά ἐστιν ἀκοῦσαι νόμου Θεοῦ, τὸ Ἰωάννῃ πιστεῦσαι. Οὐκ ἄρα χάριτος μόνης τὸ εἰσελθεῖν πόρνας, ἀλλὰ καὶ δικαιοσύνης. Οὐ γὰρ πόρναι μένουσαι εἰσῆλθον, ἀλλ' ὑπακούσασαι καὶ πιστεύσασαι καὶ καθαρισθεῖσαι καὶ μεταβαλόμεναι, οὕτως εἰσῆλθον.

Εἶδες πῶς ἀνεπαχθῆ τὸν λόγον ἐποίησε καὶ τομώτερον, ἀπὸ τῆς παραβολῆς, ἀπὸ τῆς τῶν πορνῶν ἐπαγωγῆς; Οὐδὲ γὰρ εἶπεν εὐθέως, διατί οὐκ ἐπιστεύσατε Ἰωάννῃ; ἀλλ' ὃ πολλῷ πληκτικώτερον ἦν, τοὺς τελώνας καὶ τὰς πόρνας προθείς, τότε τοῦτο ἐπήγαγεν, ἀπὸ τῆς τῶν πραγμάτων ἀκολουθίας διελέγχων αὐτῶν τὸ ἀσύγγνωστον, καὶ δεικνύς, ὅτι διὰ φόβον ἀνθρώπων πάντα ποιοῦσι καὶ δόξαν κενήν. Καὶ γὰρ τὸν Χριστὸν οὐχ ὡμολόγουν διὰ φόβον, ἵνα μὴ ἀποσυνάγωγοι γένωνται· καὶ τὸν Ἰωάννην πάλιν οὐκ ἐτόλμων κακίζειν· οὐδὲ τοῦτο δι' εὐλάβειαν, ἀλλὰ διὰ φόβον. Ἅπερ ἅπαντα ἤλεγξε διὰ τῶν εἰρημένων, καὶ χαλεπωτέραν ὕστερον ἐπήγαγε τὴν πληγήν, εἰπών· «ὑμεῖς ἰδόντες οὐ μετεμελήθητε ὕστερον, τοῦ πιστεῦσαι αὐτῷ». Κακὸν μὲν γὰρ καὶ τὸ παρὰ τὴν ἀρχὴν μὴ ἑλέσθαι τὸ καλόν· μείζων δὲ κατηγορία, τὸ μηδὲ μεταθέσθαι. Μάλιστα γὰρ τοῦτο ἐργάζεται πολλοὺς πονηρούς, ὃ καὶ νῦν πάσχοντας ἐνίους ὁρῶ ὑπὸ ἀναισθησίας ἐσχάτης.

Ἀλλὰ μηδεὶς ἔστω τοιοῦτος· ἀλλὰ κἂν εἰς ἔσχατον κατε-

---

11. Ματθ. 19, 30.

πρῶτοι»[21]. Διὰ τοῦτο ἀνέφερε καὶ τὰς πόρνας καὶ τοὺς τελώνας διὰ νὰ τοὺς κάνῃ νὰ ζηλεύσουν. Καθ' ὅσον τὰ δύο αὐτὰ χειρότερα ἁμαρτήματα γεννῶνται ἀπὸ τὸν ἀφύσικον ἔρωτα, τὸ μὲν ἕνα ἀπὸ τὸν σωματικὸν ἔρωτα, τὸ δὲ ἄλλο ἀπὸ τὴν ἐπιθυμίαν διὰ τὰ χρήματα. Τοὺς ἀποδεικνύει λοιπόν, ὅτι αὐτὸ κατ' ἐξοχὴν σημαίνει νὰ ὑπακούουν εἰς τὸν νόμον τοῦ Θεοῦ, τὸ νὰ πιστεύσουν δηλαδὴ εἰς τὸν Ἰωάννην. Ἑπομένως δὲν ἦτο ἀποτέλεσμα μόνον τῆς θείας χάριτος τὸ νὰ εἰσέλθουν αἱ πόρναι εἰς τὴν οὐράνιον βασιλείαν, ἀλλὰ καὶ δικαιοσύνης. Διότι δὲν εἰσῆλθον ἐνῷ ἦσαν πόρναι, ἀλλ' εἰσῆλθον ἀφοῦ ὑπῆκουσαν, ἐπίστευσαν, ἐκαθαρίσθησαν καὶ ἤλλαξαν τρόπον ζωῆς.

Εἶδες πῶς ἔκανε τὸν λόγον ἀνεκτικὸν καὶ πιὸ ἀποτελεσματικὸν μὲ τὴν παραβολὴν καὶ τὴν ἀναφορὰν τῶν πορνῶν; Δὲν τοὺς εἶπε δηλαδὴ εὐθὺς ἐξ ἀρχῆς, διατί δὲ ἐπιστεύσατε εἰς τὸν Ἰωάννην; ἀλλ' ἀφοῦ ἀνέφερεν εἰς τὴν ἀρχὴν αὐτὸ ποὺ ἦτο πιὸ πληκτικόν, δηλαδὴ τοὺς τελώνας καὶ τὰς πόρνας, τότε προσέθεσε καὶ αὐτό, ἐλέγχων ἀπὸ τὴν φυσικὴν σειρὰν τῶν πραγμάτων ὡς ἀσυγχώρητον τὴν συμπεριφοράν των καὶ δεικνύων, ὅτι ὅλα τὰ κάνουν ἀπὸ τὸν φόβον τῶν ἀνθρώπων καὶ ἀπὸ ματαιοδοξίαν. Καθ' ὅσον καὶ εἰς τὸν Χριστὸν δὲν ἐπίστευον, διὰ νὰ μὴ ἐκδιωχθοῦν ἀπὸ τὴν συναγωγήν, καὶ τὸν Ἰωάννην πάλιν δὲν ἐτολμοῦσαν νὰ τὸ κατηγορήσουν, ὄχι ἀπὸ εὐλάβειαν καὶ αὐτό, ἀλλὰ ἀπὸ φόβον. Ὅλα αὐτὰ τὰ ἤλεγξε μὲ ὅλα ὅσα εἶπε καὶ εἰς τὴν συνέχειαν προσέθεσε τὸ πλῆγμα κατὰ τρόπον πιὸ δραστικὸν μὲ τοὺς λόγους· «Σεῖς ὅμως ἂν καὶ τοὺς εἴδατε δὲν μετενοήσατε εἰς τὴν συνέχειαν, ὥστε νὰ πιστεύσετε εἰς αὐτόν». Ἦτο κακὸν λοιπὸν τὸ ὅτι δὲν ἐπροτίμησαν τὸ καλὸν ἀπὸ τὴν ἀρχήν, μεγαλυτέρα ὅμως εἶναι ἡ κατηγορία διὰ τὸ ὅτι δὲν μετενόησαν. Διότι αὐτὸ πρὸ πάντων εἶναι ἐκεῖνο ποὺ κάνει πολλοὺς πονηρούς, πρᾶγμα ποὺ βλέπω καὶ τώρα μερικοὺς νὰ τὸ παθαίνουν κυριευμένοι ἀπὸ τὴν πιὸ φοβερὰν ἀναισθησίαν.

Κανεὶς ὅμως νὰ μὴ εἶναι τέτοιος· ἀλλὰ καὶ ἂν ἀκόμη

νεχθῇ κακίας, μὴ ἀπογινωσκέτω τὴν ἐπὶ τὸ βέλτιον μεταβολήν. Ῥᾴδιον γὰρ ἐξ αὐτῶν τῶν βαράθρων τῆς πονηρίας ἀνενεγκεῖν. Ἢ οὐκ ἠκούσατε πῶς ἐκείνη ἡ πόρνη, ἡ ἐπὶ ἀσελγείᾳ πάντας παρελάσασα, πάντας ἀπέκρυψεν ἐν εὐλαβείᾳ; Οὐ τὴν ἐν τοῖς εὐαγγελίοις λέγω, ἀλλὰ τὴν ἐπὶ τῆς γενεᾶς τῆς ἡμετέρας, τὴν ἐκ Φοινίκης τῆς παρανομωτάτης πόλεως. Καὶ γὰρ αὕτη πόρνη ποτὲ παρ' ἡμῖν ἦν, τὰ πρωτεῖα ἐπὶ τῆς σκηνῆς ἔχουσα, καὶ πολὺ τὸ ὄνομα αὐτῆς πανταχοῦ, οὐκ ἐν τῇ πόλει τῇ ἡμετέρᾳ μόνον, ἀλλὰ καὶ μέχρι Κιλίκων καὶ Καππαδοκῶν. Καὶ πολλὰς μὲν ἐκένωσεν οὐσίας, πολλοὺς δὲ εἶλεν ὀρφανούς· πολλοὶ δὲ αὐτὴν καὶ εἰς γοητείαν διέβαλλον, ὡς οὐ τῇ τοῦ σώματος ὥρᾳ μόνον, ἀλλὰ καὶ τοῖς φαρμάκοις ἐκεῖνα τὰ δίκτυα πλέκουσαν. Εἶλέ ποτε καὶ βασιλίδος ἀδελφὸν αὕτη ἡ πόρνη· καὶ γὰρ πολλὴ ἦν αὐτῆς ἡ τυραννίς. Ἀλλ' ἀθρόον οὐκ οἶδ' ὅπως, μᾶλλον δὲ οἶδα σαφῶς· βουληθεῖσα γὰρ καὶ μεταβληθεῖσα, καὶ τοῦ Θεοῦ τὴν χάριν ἐπισπασαμένη· κατεφρόνησεν ἁπάντων ἐκείνων, καὶ ῥίψασα τοῦ διαβόλου τὰς μαγγανείας, πρὸς τὸν οὐρανὸν ἀνέδραμε. Καίτοιγε οὐδὲν αἰσχρότερον αὐτῆς ἦν, ὅτε ἐπὶ τῆς σκηνῆς ἦν· ἀλλ' ὅμως ὕστερον πολλὰς παρήλασε τῇ τῆς ἐγκρατείας ὑπερβολῇ, καὶ σάκκον περιθεμένη, πάντα τὸν χρόνον οὕτως ἠσκεῖτο.

Ταύτης ἕνεκεν καὶ ὕπαρχος ἠνωχλήθη καὶ στρατιῶται ὡπλίσθησαν, καὶ μεταστῆσαι πρὸς τὴν σκηνὴν αὐτὴν οὐκ ἴσχυσαν, οὐδὲ ἐξαγαγεῖν τῶν ὑποδεξαμένων αὐτὴν παρθένων. Αὕτη μυστηρίων καταξιωθεῖσα τῶν ἀπορρήτων, καὶ τῆς χάριτος ἀξίαν ἐπιδειξαμένη ἀπουδήν, οὕτω τὸν βίον

κυριευθῇ ἀπὸ τὴν πιὸ φοβερὰν κακίαν, ἂς μὴ καταλαμβάνεται ἀπὸ ἀπόγνωσιν διὰ τὴν μεταβολήν του πρὸς τὸ καλύτερον. Διότι εἶναι εὔκολον νὰ ἀνασυρθῇ ἐπάνω μέσα ἀπὸ τὰ βάραθρα τῆς πονηρίας. Ἢ δὲν ἠκούσατε πῶς ἐκείνη ἡ πόρνη, ποὺ ὑπερέβαλεν ὅλους ὡς πρὸς τὴν ἀσέλγειαν, ἐκάλυψεν ὅλους μὲ τὴν εὐλάβειάν της; Δὲν ἐννοῶ αὐτὴν ποὺ ἀναφέρεται εἰς τὰ εὐαγγέλια, ἀλλὰ τὴν πόρνην τῆς ἰδικῆς μας γενεᾶς, ποὺ κατήγετο ἀπὸ τὴν πιὸ παράνομον πόλιν, τὴν Φοινίκην. Καθ' ὅσον αὐτὴ κάποτε ἦτο πόρνη ποὺ ἔζη μεταξύ μας, ποὺ κατεῖχε τὰ πρωτεῖα εἰς τὰ θέατρα καὶ ἦτο πολὺ γνωστὸν τὸ ὄνομά της παντοῦ, ὄχι μόνον εἰς τὴν ἰδικήν μας πόλιν, ἀλλὰ καὶ μέχρι τὴν χώραν τῶν Κιλίκων καὶ τῶν Καππαδοκῶν. Καὶ πολλὰς μὲν περιουσίας κατεδαπάνισε, πολλοὺς δὲ ἄφησεν ὀρφανούς· πολλοὶ δὲν τὴν κατηγόρησαν καὶ διὰ μαγείαν, ὅτι δηλαδὴ συνελάμβανεν εἰς τὰ δίκτυά της ὄχι μόνον μὲ τὴν σωματικήν της ὡραιότητα, ἀλλὰ καὶ μὲ τὰ μαγικὰ ἐκεῖνα φάρμακά της. Κάποτε μάλιστα συνέλαβεν αὐτὴ ἡ πόρνη καὶ τὸν ἀδελφὸν τῆς βασιλίσσης· καθ' ὅσον ἦτο μεγάλη ἡ δύναμίς της. Ἀλλὰ ἐντελῶς ἐξαφνικά, δὲν γνωρίζω πῶς, μᾶλλον δὲ τὸ γνωρίζω πολὺ καλά· διότι ἠθέλησε καὶ μετενόησε καὶ ἀπέσπασε τὴν χάριν τοῦ Θεοῦ· περιεφρόνησεν ὅλα ἐκεῖνα καὶ ἀφοῦ ἀπέρριψε τὰς μαγείας τοῦ διαβόλου, ἔτρεξε πρὸς τὸν οὐρανόν. Μολονότι βέβαια δὲν ὑπῆρχε τίποτε πιὸ αἰσχρὸν ἀπὸ αὐτήν, ὅταν εἰργάζετο εἰς τὸ θέατρον, ἀλλ' ὅμως πολλὰς ὑπερέβαλε μὲ τὴν ὑπερβολικήν της ἐγκράτειαν καὶ ἀφοῦ ἐνεδύθη τὸν σάκκον τῆς μετανοίας, ἔζησεν ὅλον τὸν ὑπόλοιπον χρόνον της ἀσκουμένη κατ' αὐτὸν τὸν τρόπον.

Ἐξ αἰτίας αὐτῆς ἐλυπήθη καὶ ὁ ὕπαρχος καὶ οἱ στρατιῶται ἦλθον ἐναντίον της ὡπλισμένοι, ὅμως δὲν ἠμπόρεσαν νὰ τὴν ἐπαναφέρουν εἰς τὴν σκηνὴν τοῦ θεάτρου, οὔτε νὰ τὴν ἀπομακρύνουν ἀπὸ τὰς παρθένους ποὺ τὴν ὑπεδέχθησαν. Αὐτὴ ἀφοῦ κατηξιώθη τῶν ἀπορρήτων μυστηρίων καὶ ἐπέδειξε ζῆλον ἀντάξιον τῆς θείας χάριτος, ἔτσι ἐτελείω-

κατέλυσεν, ἅπαντα ἀπονιψαμένη διὰ τῆς χάριτος, καὶ μετὰ τὸ βάπτισμα πολλὴν ἐπιδειξαμένη τὴν φιλοσοφίαν. Οὐδὲ γὰρ ψιλῆς ὄψεως μετέδωκε τοῖς ποτε ἑρασταῖς ἐπὶ τοῦτο ἐλθοῦσιν, ἀποκλείσασα ἑαυτὴν καὶ ἔτη πολλὰ καθάπερ ἐν δεσμωτηρίῳ διατελέσασα. Οὕτως ἔσονται οἱ ἔσχατοι πρῶτοι καὶ οἱ πρῶτοι ἔσχατοι· οὕτω παντιαχοῦ πεπυρωμένης ἡμῖν ψυχῆς δεῖ καὶ τὸ κωλύον οὐδὲν γενέσθαι μέγαν καὶ θαυμαστόν.

4. Μηδεὶς τοίνυν τῶν ἐν κακίᾳ ἀπογινωσκέτω· μηδεὶς ἐν ἀρετῇ ὢν νυσταζέτω. Μήτε οὗτος θαρρείτω· πολλάκις γὰρ αὐτὸν ἡ πόρνη παρελεύσεται· μήτε ἐκεῖνος ἀπογινωσκέτω· δυνατὸν γὰρ αὖ:ῷ καὶ τοὺς πρώτους παρελθεῖν. Ἄκουσον τί φησιν ὁ Θεὸς πρὸς τὴν Ἰερουσαλήμ. «Εἶπον μετὰ τὸ πορνεῦσαι αὐτὴν ταῦτα πάντα, πρός με ἀνάστρεψον, καὶ οὐκ ἀνέστρεψεν». Ὅταν ἐπανέλθωμεν εἰς τὴν σφοδρὰν ἀγάπην τοῦ Θεοῦ, οὐ μέμνηται τῶν προτέρων. Οὐκ ἔστιν ὡς ἄνθρωπος ὁ Θεός· οὐ γὰρ ὀνειδίζει τὰ παρελθόντα, οὐδὲ λέγει, διατί τοσοῦτον ἀπελείφθης χρόνον, ἂν μετανοήσωμεν· ἀλλ' ἀγαπᾷ, ὅταν προσέλθωμεν· μόνον ὡς χρὴ προσέλθωμεν.

Κολληθῶμεν αὐτῷ σφοδρῶς, καὶ προσηλώσωμεν τῷ φόβῳ αὐτοῦ τὰς καρδίας ἡμῶν. Τοιαῦτα γέγονεν οὐκ ἐν τῇ Καινῇ μόνον πράγματα, ἀλλὰ καὶ ἐν τῇ Παλαιᾷ. Τί γὰρ τοῦ Μανασσῆ χεῖρον; Ἀλλ' ἠδυνήθη τὸν Θεὸν ἐξιλεώσασθαι. Τί τοῦ Σολομῶνος μακαριώτερον; ἀλλ' ἀπονυστάξας ἔπεσε. Μᾶλλον δὲ καὶ ἀμφότερα ἐν ἑνὶ ἔχω δεῖξαι γενόμενα, ἐν τῷ

22. Ἱερ. 3, 7.
23. Πρβλ. Δ' Βασ. 21, 1-18 καὶ Β' Παραλ. 33, 1-20.

σε τὴν ζωήν της, καθαρίσασα ὅλα τὰ ἁμαρτήματά της μὲ τὴν χάριν τοῦ Θεοῦ καὶ ἐπιδείξασα μετὰ τὸ βάπτισμά της πολλὴν εὐσέβειαν. Διότι δὲν ἐδέχθη οὔτε κἂν νὰ τὴν ἰδοῦν ἁπλῶς οἱ ἄλλοτε ἐρασταί της ποὺ ἦλθον πρὸς τὸν σκοπὸν αὐτόν, ἀλλ' ἀπεμονώθη καὶ ἐπέρασε τὴν ὑπόλοιπον ζωήν της ὡσὰν νὰ ἔζη μέσα εἰς φυλακήν. Μόνον κατ' αὐτὸν τὸν τρόπον οἱ τελευταῖοι θὰ γίνουν πρῶτοι καὶ οἱ πρῶτοι τελευταῖοι· ἔτσι πρέπει πάντοτε ἡ ψυχή μας νὰ κατακαίεται ἀπὸ τὴν φλόγα τῆς πίστεως καὶ δὲν θὰ ὑπάρξῃ κανένα ἐμπόδιον ὥστε νὰ γίνῃς μέγας καὶ θαυμαστός.

4. Κανεὶς λοιπὸν ἀπὸ αὐτοὺς ποὺ ζοῦν μέσα εἰς τὴν ἁμαρτίαν νὰ μὴ περιέρχεται εἰς ἀπόγνωσιν καὶ κανεὶς ἀπὸ τοὺς ἐναρέτους νὰ μὴ μένῃ ἀδρανής· καὶ αὐτὸς ἀκόμη νὰ μὴ λαμβάνῃ θάρρος ἀπὸ τὸ ὅτι εἶναι ἐνάρετος, διότι πολλὰς φορὰς ἡ πόρνη θὰ τὸν ὑποσκελίσῃ· οὔτε καὶ ὁ ἁμαρτωλὸς ὅμως νὰ μὴ καταλαμβάνεται ἀπὸ ἀπόγνωσιν, διότι εἶναι δυνατὸν αὐτὸς νὰ ξεπεράσῃ καὶ τοὺς πρώτους. Ἄκουσε τί λέγει ὁ Θεὸς πρὸς τὴν Ἰερουσαλήμ· «Εἶπα πρὸς αὐτὴν μετὰ τὴν διάπραξιν ὅλων αὐτῶν τῶν πορνειῶν, ἐπίστρεψε πλησίον μου, καὶ δὲν ἐπέστρεψεν[22]. Ὅταν ἐπιστρέψωμεν εἰς τὴν θερμὴν ἀγάπην πρὸς τὸν Θεόν, δὲν ἐνθυμεῖται τὰ προηγούμενα. Δὲν εἶναι ὁ Θεὸς ὅπως οἱ ἄνθρωποι· διότι δὲν ἐπιτιμᾷ τὰς προηγουμένας πράξεις μας, οὔτε λέγει, ἐὰν μετανοήσωμεν, διατί ἄφησες νὰ περάσῃ τόσος χρόνος· ἀλλὰ μᾶς ἀγαπᾷ ὅταν ἐπιστρέψωμεν κοντά του, ἀρκεῖ μόνον νὰ ἐπιστρέψωμεν ὅπως πρέπει.

Ἂς ἀφοσιωθῶμεν εἰς τὸν Θεὸν μὲ ὅλην τὴν δύναμιν τῆς ψυχῆς μας καὶ ἂς προσηλώσωμεν τὰς καρδίας μας εἰς τὸν φόβον πρὸς αὐτόν. Τέτοια γεγονότα συνέβησαν ὄχι μόνον εἰς τὴν Καινὴν Διαθήκην ἀλλὰ καὶ εἰς τὴν Παλαιάν. Διότι ποῖος ὑπῆρξε χειρότερος ἀπὸ τὸν Μανασσῆ[23]; Ἀλλ' ὅμως ἠμπόρεσε νὰ ἐξιλεώσῃ τὸν Θεόν. Ποῖος ὑπῆρξε μακαριώτερος ἀπὸ τὸν Σολομῶντα; ἀλλ' ἐπειδὴ ἔδειξεν ἀδιαφορίαν ἔπεσε. Μᾶλλον δὲ ἠμπορῶ νὰ σᾶς δείξω ὅτι καὶ τὰ δύο

πατρὶ τῷ τούτου· καὶ γὰρ καὶ καλὸς καὶ κακός ποτε γέγονεν ὁ αὐτός. Τί τοῦ Ἰούδα μακαριώτερον; ἀλλ' ἐγένετο προδότης. Τί τοῦ Ματθαίου ἀθλιώτερον; ἀλλ' ἐγένετο εὐαγγελιστής. Τί τοῦ Παύλου χεῖρον; ἀλλ' ἐγένετο ἀπόστολος. Τί τοῦ Σίμωνος ζηλωτότερον; ἀλλ' ἐγένετο καὶ αὐτὸς ἁπάντων ἀθλιώτερος. Πόσας τοιαύτας ἑτέρας βούλει ἰδεῖν μεταβολάς, καὶ πάλαι γεγενημένας καὶ νῦν γινομένας καθ' ἑκάστην ἡμέραν;

Διὰ δὴ τοῦτο λέγω, μήτε ὁ ἐπὶ τῆς σκηνῆς ἀπογινωσκέτω, μήτε ὁ ἐν τῇ ἐκκλησίᾳ θαρρείτω. Πρὸς μὲν γὰρ τοῦτόν φησιν, «ὁ δοκῶν ἑστάναι, βλεπέτω μὴ πέσῃ», πρὸς δὲ ἐκεῖνον· «μὴ ὁ πίπτων οὐκ ἀνίσταται;», καί· «τὰς παρειμένας χεῖρας καὶ τὰ παραλελυμένα γόνατα ἀνορθώσατε». Πάλιν πρὸς τούτους φησί, γρηγορεῖτε· πρὸς δὲ ἐκείνους· «ἔγειρε, ὁ καθεύδων, καὶ ἀνάστα ἐκ τῶν νεκρῶν». Οὗτοι μὲν γὰρ φυλάξαι δέονται ὅπερ ἔχουσιν, ἐκεῖνοι δὲ γενέσθαι ὅπερ οὐκ εἰσίν· οὗτοι διατηρῆσαι τὴν ὑγίειαν, ἐκεῖνοι τῆς ἀρρωστίας ἀπαλλαγῆναι· κἄμνουσι γάρ· ἀλλὰ πολλοὶ καὶ τῶν καμνόντων ὑγιαίνουσι, καὶ τῶν ὑγιαινόντων ῥαθυμήσαντες ἀρρωστοῦσι. Πρὸς μὲν οὖν ἐκείνους φησίν· «ἴδε, ὑγιὴς γέγονας· μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τί σοι γένηται»· πρὸς δὲ τούτους· «θέλεις ὑγιὴς γενέσθαι; ἐγερθεὶς ἆρον τὴν κλίνην σου, καὶ ὕπαγε εἰς τὸν οἶκον σου».

Δεινὴ γάρ, δεινὴ παράλυσις ἁμαρτία· μᾶλλον δὲ οὐ παράλυσις μόνον ἐστίν, ἀλλὰ καὶ ἄλλο τι χαλεπώτερον. Οὐ γὰρ ἐν ἀργίᾳ μόνον ἀγαθῶν ἐστιν ὁ τοιοῦτος, ἀλλὰ καὶ ἐν ἐνεργείᾳ κακῶν. Ἀλλ' ὅμως κἂν οὕτω διακείμενος ᾖς, καὶ θε-

---

24. Δηλαδὴ τὸν Δαυΐδ.
25. Α΄ Κορ. 10, 12.
26. Ἰερ. 8, 4.
27. Ἡσ. 35, 3. Ἑβρ. 12, 12.
28. Ἐφ. 5, 14.
29. Ἰω. 5, 14.
30. Ἰω. 5, 6-8.

συνέβησαν εἰς ἕνα καὶ τὸ αὐτὸ πρόσωπον, εἰς τὸν πατέρα αὐτοῦ[24]· καθ' ὅσον αὐτὸς ὁ ἴδιος ὑπῆρξεν ἄλλοτε μὲν καλὸς ἄλλοτε δὲ κακός. Ποῖος ὑπῆρξε μακαριώτερος ἀπὸ τὸν Ἰούδα; ἀλλ' ἔγινε προδότης. Ποῖος ἦτο ἀθλιώτερος ἀπὸ τὸν Ματθαῖον; ἀλλ' ἔγινεν εὐαγγελιστής. Ποῖος ὑπῆρξε θερμότερος ἀπὸ τὸν Σίμωνα; ἀλλ' ἔγινε καὶ αὐτὸς ὁ πιὸ ἄθλιος ἀπὸ ὅλους. Πόσας ἄλλας παρομοίας μεταβολὰς θέλεις νὰ ἰδῇς ποὺ καὶ κατὰ τὴν παλαιὰν ἐποχὴν συνέβησαν καὶ σήμερα συμβαίνουν καθημερινῶς;

Διὰ τοῦτο λοιπὸν σᾶς λέγω, οὔτε ὁ θεατρίνος νὰ μὴ καταλαμβάνεται ἀπὸ ἀπόγνωσιν, οὔτε αὐτὸς ποὺ ζῇ ἐντὸς τῆς ἐκκλησίας νὰ ἔχῃ τόσον μεγάλον θάρρος. Διότι πρὸς αὐτὸν μὲν λέγει, «Αὐτὸς ποὺ νομίζει ὅτι ἵσταται καλά, ἂς προσέχῃ μὴ τυχὸν καὶ πέσῃ»[25], πρὸς ἐκεῖνον δέ· «Μήπως αὐτὸς ποὺ πίπτει δὲν σηκώνεται;»[26]· καί· «Σηκώσατε τὰ ἀτονισμένα χέρια καὶ τὰ παραλυμένα γόνατα»[27]. Καὶ πάλιν πρὸς αὐτοὺς μὲν λέγει, «γρῃγορεῖτε», ἐνῷ πρὸς ἐκείνους· «Σήκω σὺ ποὺ κοιμᾶσαι καὶ ἀνάστα ἀπὸ τὸν ὕπνον τῶν νεκρῶν»[28]. Διότι αὐτοὶ μὲν πρέπει νὰ διαφυλάξουν αὐτὸ ποὺ ἔχουν, ἐνῷ ἐκεῖνοι πρέπει νὰ γίνουν ἐκεῖνο ποὺ δὲν εἶναι· αὐτοὶ πρέπει νὰ διατηρήσουν τὴν ὑγείαν, ἐκεῖνοι δὲ ν' ἀπαλλαγοῦν ἀπὸ τὴν ἀρρώστιαν. Βέβαια εἶναι ἀσθενεῖς· ἀλλὰ πολλοὶ ἀπὸ τοὺς ἀσθενεῖς θεραπεύονται καὶ ἀπὸ τοὺς ὑγιεῖς γίνονται ἀσθενεῖς ἐὰν δείξουν ραθυμίαν. Πρὸς ἐκείνους λοιπὸν λέγει· «Πρόσεχε, ἔγινες ὑγιής· μὴ ἁμαρτάνῃς εἰς τὸ ἑξῆς, διὰ νὰ μὴ σοῦ συμβῇ τίποτε τὸ χειρότερον»[29]· πρὸς αὐτοὺς δέ· «Θέλεις νὰ γίνῃς ὑγιής; σήκω, πᾶρε τὸ κρεββάτι σου καὶ πήγαινε εἰς τὸ σπίτι σου»[30].

Πράγματι εἶναι φοβερὰ παράλυσις ἡ ἁμαρτία· ἢ καλύτερα δὲν εἶναι μόνον παράλυσις, ἀλλὰ καὶ κάτι ἄλλο φοβερώτερον, διότι ὁ ἁμαρτωλὸς ἄνθρωπος ὄχι μόνον δὲν παράγει ἀγαθὰ ἔργα, ἀλλὰ καὶ διαπράττει κακὰ ἔργα. Ἀλλ' ὅμως καὶ ἂν ἀκόμη εὑρίσκεσαι εἰς αὐτὴν τὴν κατάστασιν καὶ θελήσῃς νὰ σηκωθῇς ἔστω καὶ ὀλίγον, ἐξαφανίζονται ὅλα τὰ

λήσῃς μικρὸν διαναστῆναι, πάντα λύεται τὰ δεινά. Κἂν τριακονταοκτὼ ἔτη ἔχῃς, σπουδάσῃς δὲ γενέσθαι ὑγιής, οὐδεὶς ὁ κωλύων. Πάρεστι καὶ νῦν ὁ Χριστὸς καὶ λέγει, «ἆρον τὴν κλίνην σου»· μόνον θέλησον διαναστῆναι· μὴ ἀπογνῷς. Οὐκ ἔχεις ἄνθρωπον; ἀλλ' ἔχεις Θεόν. Οὐκ ἔχεις τὸν βάλλοντά σε εἰς τὴν κολυμβήθραν; ἀλλ' ἔχεις τὸν οὐκ ἀφιέντά σε δεηθῆναι κολυμβήθρας. Οὐκ ἔχεις τὸν ἐκεῖ σε ρίπτοντα; ἀλλ' ἔχεις τὸν κελεύοντά σοι ἆραι τὴν κλίνην. Οὐκ ἔστιν εἰπεῖν, «ἐν ᾧ δὲ ἔρχομαι ἐγώ, ἄλλος πρὸ ἐμοῦ καταβαίνει». Ἂν γὰρ θελήσῃς κατελθεῖν εἰς τὴν πηγήν, οὐδεὶς ὁ κωλύων. Οὐκ ἀναλίσκεται, οὐ δαπανᾶται ἡ χάρις· πηγή τίς ἐστιν ἀναβλύζουσα διηνεκῶς· ἐκ τοῦ πληρώματος αὐτοῦ πάντες θεραπευόμεθα καὶ ψυχὴν καὶ σῶμα.

Προσερχώμεθα τοίνυν καὶ νῦν. Καὶ γὰρ Ραὰβ πόρνη ἦν, ἀλλ' ἐσώθη· καὶ ὁ Ἰησοῦς ἀνδροφόνος ἦν, ἀλλὰ παραδείσου πολίτης ἐγένετο. Καὶ ὁ μὲν Ἰούδας μετὰ τοῦ διδασκάλου ὢν, ἀπώλετο· ὁ δὲ Ἰησοῦς ἐν σταυρῷ ὢν, μαθητὴς ἐγένετο. Ταῦτα τοῦ Θεοῦ τὰ παράδοξα. Οὕτως οἱ μάγοι εὐδοκίμησαν· οὕτως ὁ τελώνης εὐαγγελιστὴς ἐγένετο· οὕτως ὁ βλάσφημος ἀπόστολος.

5. Ταῦτα ὅρα, καὶ μηδέποτε ἀπογνῷς, ἀλλ' ἀεὶ θάρρει καὶ διανάστησον σαυτόν. Ἆψαι μόνον τῆς ἐκεῖ φερούσης ὁδοῦ, καὶ πρόβηθι ταχέως. Μὴ τὰς θύρας ἀποκλείσῃς· μὴ τὴν εἴσοδον φράξῃς. Βραχὺς ὁ παρὼν καιρός, ὀλίγος ὁ πόνος. Εἰ δὲ καὶ πολὺς ἦν, οὐδὲ οὕτως ἀπαγορεύειν ἔδει. Κἂν γὰρ μὴ κάμῃς τὸν κάλλιστον τοῦτον κάματον τὸν ἐν τῇ μετανοίᾳ καὶ τῇ ἀρετῇ, ἐν τῷ κόσμῳ πάντως καμῇ καὶ ταλαιπωρήσεις ἑτέρως. Εἰ δὲ καὶ ἐνταῦθα κἀκεῖ κάματος, διατί μὴ τοῦτον αἱρούμεθα τὸν πολὺν ἔχοντα τὸν καρπὸν καὶ με-

31. Ἰω. 5, 7.

δεινά. Καὶ ἂν ἀκόμη εἶσαι παράλυτος ἐπὶ τριάντα ὀκτὼ ἔτη καὶ θελήσῃς νὰ γίνῃς ὑγιής, κανεὶς δὲν σὲ ἐμποδίζει. Εἶναι παρὼν καὶ τώρα ὁ Χριστὸς καὶ λέγει· «σήκωσε τὸ κρεββάτι σου»· μόνον θέλῃσε νὰ σηκωθῇς καὶ μὴ καταληφθῇς ἀπὸ ἀπόγνωσιν. Δὲν ἔχεις ἄνθρωπον; ἔχεις ὅμως Θεόν. Δὲν ἔχεις αὐτὸν ποὺ θὰ σὲ βάλῃ εἰς τὴν κολυμβήθραν; ἔχεις ὅμως ἐκεῖνον, ποὺ δὲν σ' ἀφήνει νὰ χρειασθῇς τὴν κολυμβήθραν. Δὲν ἔχεις αὐτὸν ποὺ θὰ σὲ ρίψῃ ἐκεῖ; ἔχεις ὅμως ἐκεῖνον ποὺ σὲ προστάσσει νὰ σηκώσῃς τὸ κρεββάτι σου. Δὲν ὑπάρχει τὸ ἐνδεχόμενον νὰ εἰπῇς· «ἐνῷ δὲ ἔρχομαι ἐγώ, καταβαίνει ἄλλος πρὶν ἀπὸ ἐμένα»[31]. Διότι ἐὰν θελήσῃς νὰ καταβῇς εἰς τὴν πηγήν, κανεὶς δὲν σ' ἐμποδίζει. Δὲν ἐξοδεύεται, δὲν δαπανᾶται ἡ χάρις· εἶναι πηγὴ ποὺ ἀναβλύζει συνεχῶς· ἀπὸ τὴν ἀφθονίαν τῆς χάριτος αὐτοῦ θεραπευόμεθα ψυχικῶς καὶ σωματικῶς.

Ἂς ἐρχώμεθα λοιπὸν καὶ σήμερα κοντά του. Καθ' ὅσον καὶ ἡ Ραὰβ πόρνη ἦτο, ἀλλ' ἐσώθη· καὶ ὁ ληστὴς ἦτο φονιάς, ἀλλ' ἔγινε πολίτης τοῦ παραδείσου. Καὶ ὁ μὲν Ἰούδας, ἂν καὶ εὑρίσκετο κοντὰ εἰς τὸν διδάσκαλόν του, ἀλλ' ὅμως ἐχάθη, ἐνῷ ὁ ληστής, μολονότι εὑρίσκετο ἐπάνω εἰς τὸν σταυρόν, ἔγινε μαθητής. Αὐτὰ εἶναι τὰ παράδοξα τοῦ Θεοῦ. Μ' αὐτὸν τὸν τρόπον οἱ μάγοι ἔγιναν ἐνάρετοι, ἔτσι ὁ τελώνης ἔγινεν εὐαγγελιστής, ἔτσι ὁ βλάσφημος ἔγινεν ἀπόστολος.

5. Αὐτὰ πρόσεχε καὶ μὴ περιέλθῃς ποτὲ εἰς ἀπόγνωσιν, ἀλλὰ πάντοτε ἄγγισε τὴν ὁδὸν ποὺ ὁδηγεῖ πρὸς τὰ ἐκεῖ καὶ ἀμέσως θὰ τὴν διανύσῃς. Μὴ κλείσῃς τὰς θύρας, μὴ φράξῃς τὴν εἴσοδον. Εἶναι σύντομος ὁ παρὼν καιρός, ὀλίγος ὁ κόπος. Καὶ ἂν ἀκόμη ἦτο πολύς, οὔτε τότε ἔπρεπε νὰ περιέλθῃς εἰς ἀπόγνωσιν. Διότι καὶ ἂν ἀκόμη δὲν ὑποβληθῇς εἰς αὐτὸν τὸν ἄριστον κόπον ποὺ ὁδηγεῖ εἰς τὴν μετάνοιαν καὶ τὴν ἀρετήν, ὁπωσδήποτε ὅμως εἰς τὸν κόσμον αὐτὸν θὰ κουρασθῇς καὶ θὰ ταλαιπωρηθῇς κατ' ἄλλον τρόπον. Ἐὰν δὲ καὶ εἰς αὐτὴν τὴν περίπτωσιν καὶ εἰς ἐκείνην ὑπάρχει κόπος, διατί νὰ μὴ προτιμήσωμεν αὐτὸν τὸν κόπον ποὺ ἔχει

γάλην τὴν ἀμοιβήν; Καίτοιγε οὐδὲ ὁ αὐτὸς κάματος οὗτος κἀκεῖνος. Ἐν μὲν γὰρ τοῖς βιωτικοῖς καὶ κίνδυνοι συνεχεῖς καὶ ζημίαι ἐπάλληλοι καὶ ἡ ἐλπὶς ἄδηλος καὶ δουλοπρέπεια πολλὴ καὶ χρημάτων καὶ σωμάτων καὶ ψυχῆς δαπάνη· καὶ τότε ἡ τῶν καρπῶν ἀντίδοσις πολὺ τῆς ἐλπίδος καταδεεστέρα, ἂν ἄρα βλαστήσῃ.

Οὐδὲ γὰρ πανταχοῦ φέρει καρπὸν ὁ τῶν βιωτικῶν πραγμάτων ἱδρώς· πλὴν ἀλλὰ καὶ ὅταν μὴ διαπέσῃ, ἀλλὰ καὶ πολλὴν ἐνέγκῃ τὴν φοράν, ἐν βραχεῖ παραμένει τῷ χρόνῳ. Ὅταν γάρ γηράσῃς καὶ μηκέτι λοιπὸν ἀκριβῆ τῆς ἀπολαύσεως τὴν αἴσθησιν ἔχῃς, τότε σοι φέρει τὰς ἀμοιβὰς ὁ πόνος. Καὶ ὁ μὲν πόνος ἐν ἀκμάζοντι σώματι· ὁ δὲ καρπὸς καὶ ἡ τρυφὴ ἐν γεγηρακότι καὶ παρειμένῳ, ὅταν καὶ τὴν αἴσθησιν ὁ χρόνος καταμαράνῃ· καίτοι εἰ μὴ κατεμάρανεν, ἡ τῆς τελευτῆς ἐλπὶς οὐκ ἠφίει τρυφᾶν. Ἐκεῖ δὲ οὐχ οὕτως, ἀλλ' ὁ μὲν πόνος, ἐν φθορᾷ καὶ τελευτῶντι σώματι· ὁ δὲ στέφανος, ἐν ἀκηράτῳ καὶ ἀθανάτῳ καὶ τέλος οὐκ ἔχοντι. Καὶ ὁ μὲν πόνος καὶ πρῶτος καὶ βραχύς· ἡ δὲ ἀντίδοσις καὶ ὑστέρα καὶ ἄπειρος, ἵνα μετὰ ἀδείας ἀναπαύῃ λοιπόν, μηδὲν προσδοκῶν ἀηδές. Οὐ γάρ ἐστι μεταβολὴν δεῖσαι λοιπόν, οὐδὲ ἔκπτωσιν, καθάπερ ἐνταῦθα.

Ποῖα οὖν ταῦτα ἀγαθά, τὰ μήτε ἀσφαλῆ, καὶ βραχέα καὶ πήλινα, καὶ πρὶν ἢ φανῆναι ἀφανιζόμενα, καὶ μετὰ πολλῶν κτώμενα πόνων; Ποῖα δὲ ἐκείνων ἀγαθὰ ἴσα, τῶν ἀκινήτων, τῶν ἀγηράτων, τῶν μηδένα μόχθου ἐχόντων, τῶν καὶ ἐν τῷ καιρῷ τῶν ἀγώνων τοὺς στεφάνους σοι κομιζόν-

32. Ἀνάγνωθι Ἰησ. Ναυῆ κεφ. 2 καὶ 6.

πολὺν καρπὸν καὶ πολλὴν ἀμοιβήν; Ἂν καὶ βέβαια δὲν εἶναι ὁ ἴδιος κόπος καὶ εἰς τὴν μίαν καὶ εἰς τὴν ἄλλην περίπτωσιν. Διότι εἰς μὲν τὰ κοσμικὰ πράγματα ὑπάρχουν καὶ συνεχεῖς κίνδυνοι καὶ ζημίαι ποὺ διαδέχονται ἡ μία τὴν ἄλλην καὶ ἡ ἐλπὶς δὲν εἶναι φανερά, καὶ μεγάλη δουλοπρέπεια καὶ ἀπώλεια τῶν χρημάτων, τῶν σωμάτων καὶ τῶν ψυχῶν. Ἀλλὰ καὶ τότε ἡ ἀνταπόδοσις τῶν καρπῶν εἶναι πολὺ κατωτέρα τῆς ἐλπίδος, ἂν τύχη καὶ βλαστήσῃ.

Πράγματι δὲν φέρει πάντοτε ὁ ἱδρὼς τῶν κοσμικῶν πραγμάτων καρπόν. Ἀλλὰ καὶ ἂν ἀκόμη δὲν ἀποβῇ μάταιος ὁ κόπος καὶ φέρῃ πολὺν καρπόν, καὶ πάλιν διαρκεῖ ὀλίγον χρόνον. Διότι ὅταν γηράσῃς καὶ δὲν θὰ ἔχῃς πλέον τὴν δύναμιν ν' ἀπολαύσῃς πλήρως τὸν ἱδρῶτα τῶν κόπων σου, τότε ὁ κόπος σοῦ φέρει τὰς ἀμοιβάς. Καὶ ὁ μὲν κόπος λαμβάνει χώραν ὅταν τὸ σῶμα εὑρίσκεται εἰς τὴν ἀκμήν, ἐνῷ ὁ καρπὸς καὶ ἡ τρυφὴ ὅταν γῃράσῃ καὶ ἀτονίσῃ τὸ σῶμα καὶ ὅταν ὁ χρόνος καταμαράνῃ τὰς αἰσθήσεις. Καὶ ἂν ἀκόμη βέβαια δὲν τὰς κατεμάρανεν, ἡ ἀναμονὴ καὶ πάλιν τοῦ θανάτου δὲν ἐπιτρέπει τὴν τρυφήν. Εἰς τὴν περίπτωσιν ὅμως τῶν πνευματικῶν πραγμάτων δὲν συμβαίνει τὸ ἴδιον, ἀλλὰ ὁ μὲν κόπος λαμβάνει χώραν εἰς τὸ φθαρτὸν καὶ ἀποθνῃσκον σῶμα, ὁ δὲ στέφανος εἰς τὸ μέρος ἐκεῖνο ποὺ εἶναι ἄφθαρτον καὶ ἀθάνατον καὶ δὲν ἔχει τέλος. Καὶ ὁ μὲν κόπος προηγεῖται καὶ εἶναι σύντομος, ἡ δὲ ἀμοιβὴ ἀκολουθεῖ καὶ εἶναι ἄπειρος, ὥστε εἰς τὸ ἑξῆς ν' ἀναπαύεσαι χωρὶς κανένα φόβον καὶ χωρὶς νὰ περιμένῃς κανένα δυσάρεστον. Διότι δὲν ὑπάρχει εἰς τὸ ἑξῆς νὰ φοβηθῇς καμμίαν μεταβολήν, οὔτε ἔκπτωσιν, ὅπως συμβαίνει ἐδῶ.

Τί λογῆς λοιπὸν ἀγαθὰ εἶναι αὐτά, ποὺ δὲν εἶναι ἀσφαλῆ, ἀλλ' εἶναι σύντομα καὶ πήλινα, καὶ πρὶν ἀκόμη φανοῦν, ἐξαφανίζονται καὶ ἀποκτῶνται μὲ πολλοὺς κόπους; Ποῖα δὲ ἀγαθὰ εἶναι ἴσα μὲ ἐκεῖνα τὰ ἀγαθὰ ποὺ εἶναι ἀμετάβλητα, ποὺ δὲν γηράσκουν, ποὺ δὲν ἀπαιτοῦν κανένα κόπον, ποὺ καὶ κατὰ τὴν διάρκειαν τῶν ἀγώνων σοῦ προσφέρουν τοὺς

των; Ὁ γὰρ χρημάτων καταφρονῶν καὶ ἐντεῦθεν ἤδη λαμβάνει τὸν μισθόν, φροντίδος ἀπαλλαττόμενος, βασκανίας, συκοφαντίας, ἐπιβουλῆς, φθόνου. Ὁ σώφρων, καὶ κοσμίως ζῶν, καὶ πρὸ τῆς ἐντεῦθεν ἀποδημίας στεφανοῦται καὶ τρυφᾷ, ἀσχημοσύνης, γέλωτος, κινδύνων, κατηγορίας, τῶν ἄλλων ἁπάντων ἀπαλλαττόμενος δεινῶν. Τὰ ἄλλα πάντα ὁμοίως τῆς ἀρετῆς μέρη ἐντεῦθεν ἤδη ἡμῖν δίδωσι τὴν ἀμοιβήν.

Ἵν' οὖν καὶ τῶν παρόντων καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, φύγωμεν κακίαν καὶ ἐλώμεθα ἀρετήν. Οὕτω γὰρ καὶ ἐνταῦθα τρυφήσομεν, καὶ τῶν μελλόντων ἐπιτευξόμεθα στεφάνων· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

στεφάνους; Διότι αὐτὸς ποὺ περιφρονεῖ τὰ χρήματα καὶ εἰς τὴν ἐδῶ ζωὴν λαμβάνει ἤδη τὸν μισθόν, ἀπαλλασσόμενος ἀπὸ τὴν φροντίδα, τὴν ζήλειαν, τὰς συκοφαντίας, τὰς ἐπιβουλάς, τὸν φθόνον. Αὐτὸς ποὺ εἶναι σώφρων καὶ ζῇ μὲ κοσμιότητα καὶ πρὶν φύγῃ ἀπὸ αὐτὸν τὸν κόσμον λαμβάνει τοὺς στεφάνους καὶ ἀπολαύει τοὺς καρποὺς τῶν κόπων του, ἀπαλλασσόμενος ἀπὸ τὴν ἀσχημοσύνην, τὴν γελοιοποίησιν, τοὺς κινδύνους, τὰς κατηγορίας καὶ ἀπὸ ὅλα τὰ ἄλλα τὰ κακά. Καθ' ὅμοιον τρόπον καὶ ὅλα τὰ ἄλλα εἴδη τῆς ἀρετῆς μᾶς παρέχουν ἀπὸ τὴν ἐδῶ ζωὴν ἀκόμη τὴν ἀμοιβήν.

Ὥστε λοιπὸν διὰ νὰ ἐπιτύχωμεν καὶ τὰ παρόντα ἀγαθὰ καὶ τὰ μέλλοντα, ἂς ἀποφύγωμεν τὴν κακίαν καὶ ἂς προτιμήσωμεν τὴν ἀρετήν. Διότι μ' αὐτὸν τὸν τρόπον καὶ ἐδῶ θ' ἀπολαύσωμεν τοὺς κόπους μας καὶ θὰ ἐπιτύχωμεν τοὺς μελλοντικοὺς στεφάνους, τοὺς ὁποίους εὔχομαι ὅλοι μας νὰ τοὺς ἐπιτύχωμεν μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα καὶ ἡ δύναμις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΞΗ΄

Ματθ. 21, 33 - 46

«Ἄλλην παραβολὴν ἀκούσατε. Ἄνθρωπός τις ἦν οἰκοδεσπότης, ὅστις ἐφύτευσεν ἀμπελῶνα καὶ φραγμὸν αὐτῷ περιέθηκε καὶ ὤρυξε ληνὸν καὶ ᾠκοδόμησε πύργον· καὶ ἐξέδοτο αὐτὸν γεωργοῖς καὶ ἀπεδήμησεν. Ὅτε δὲ ἤγγισεν ὁ καιρὸς τῶν καρπῶν ἀπέστειλε τοὺς δούλους αὐτοῦ λαβεῖν τοὺς καρπούς. Καὶ λαβόντες οἱ γεωργοὶ τοὺς δούλους, οὓς μὲν ἔδειραν, οὓς δὲ ἀπέκτειναν, οὓς δὲ ἐλιθοβόλησαν. Πάλιν ἀπέστειλεν ἄλλους δούλους πλείονας τῶν πρώτων καὶ ἐποίησαν αὐτοῖς ὡσαύτως. Ὕστερον ἀπέστειλε πρὸς αὐτοὺς τὸν υἱὸν αὐτοῦ, λέγων· Ἴσως ἐντραπήσονται τὸν υἱόν μου. Οἱ δὲ γεωργοὶ ἰδόντες τὸν υἱόν, εἶπον ἐν ἑαυτοῖς· Οὗτός ἐστιν ὁ κληρονόμος· δεῦτε, ἀποκτείνωμεν αὐτὸν καὶ κατάσχωμεν τὴν κληρονομίαν αὐτοῦ. Καὶ ἐκβαλόντες ἔξω τοῦ ἀμπελῶνος, ἀπέκτειναν. Ὅταν οὖν ἔλθῃ ὁ κύριος τοῦ ἀμπελῶνος, τί ποιήσει τοῖς γεωργοῖς ἐκείνοις; Λέγουσιν αὐτῷ· Κακοὺς κακῶς ἀπολέσει αὐτοὺς καὶ τὸν ἀμπελῶνα ἐκδώσεται γεωργοῖς ἑτέροις, οἵτινες ἀποδώσουσι τοὺς καρποὺς ἐν τοῖς καιροῖς αὐτῶν. Λέγει αὐτοῖς ὁ Ἰησοῦς· Οὐδέποτε ἀνέγνωτε ἐν ταῖς Γραφαῖς· λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας; παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν. Διὰ τοῦτο λέγω ὑμῖν, ὅτι ἀρθήσεται ἀφ' ὑμῶν ἡ βασιλεία τοῦ Θεοῦ καὶ δοθήσεται ἔθνει ποιοῦντι τοὺς καρποὺς αὐτῆς.

---

1. Ψαλμ. 117, 22.

ΟΜΙΛΙΑ ΞΗ΄
Ματθ. 21, 33 - 46

«Ἀκούσατε ἄλλην παραβολήν. Ὑπῆρχε κάποιος οἰκοδεσπότης ποὺ ἐφύτευσεν ἄμπελον καὶ ἐτοποθέτησε γύρω ἀπὸ αὐτὴν φράκτην καὶ ἔσκαψε μέσα εἰς αὐτὴν ἕνα πατητήρι καὶ ἔκτισε πύργον καὶ τὴν ἐνεπιστεύθη εἰς γεωργοὺς καὶ ἀνεχώρησεν εἰς ἄλλην χώραν. Ὅταν δὲ ἐπλησίασεν ὁ καιρὸς τῶν καρπῶν ἀπέστειλε τοὺς δούλους του πρὸς τοὺς γεωργοὺς διὰ νὰ λάβουν τοὺς καρποὺς. Καὶ ἀφοῦ οἱ γεωργοὶ συνέλαβαν τοὺς δούλους του, ἄλλους μὲν τοὺς ἔδειραν, ἄλλους δὲ τοὺς ἐφόνευσαν καὶ ἄλλους τοὺς ἐλιθοβόλησαν. Ἀπέστειλε καὶ πάλιν ὁ οἰκοδεσπότης ἄλλους δούλους περισσοτέρους ἀπὸ τοὺς πρώτους, καὶ ἔκαναν εἰς αὐτοὺς τὰ ἴδια. Ὕστερα ἀπέστειλε πρὸς αὐτοὺς τὸν υἱόν του, λέγων· Ἴσως νὰ ἐντραποῦν τὸν υἱόν μου. Οἱ γεωργοὶ ὅμως, ὅταν εἶδαν τὸν υἱόν, εἶπαν μεταξύ των· Αὐτὸς εἶναι ὁ κληρονόμος· ἐλᾶτε, ἂς τὸν φονεύσωμεν, ὥστε νὰ κάνωμεν ἰδικήν μας τὴν κληρονομίαν του. Καὶ ἀφοῦ τὸν ὠδήγησαν ἔξω ἀπὸ τὴν ἄμπελον, τὸν ἐφόνευσαν. Ὅταν λοιπὸν θὰ ἔλθῃ ὁ κύριος τῆς ἀμπέλου, τί πρέπει νὰ κάνῃ εἰς τοὺς γεωργοὺς ἐκείνους; Λέγουν εἰς αὐτόν· Θὰ τοὺς τιμωρήσῃ, ὡσὰν κακοὶ ποὺ εἶναι, μὲ τὸν πιὸ κακὸν τρόπον καὶ θὰ παραδώσῃ τὴν ἄμπελον εἰς ἄλλους γεωργούς, οἱ ὁποῖοι θὰ δώσουν εἰς αὐτὸν τοὺς ὀφειλομένους καρποὺς εἰς τὸν κατάλληλον καιρόν. Λέγει εἰς αὐτοὺς ὁ Ἰησοῦς· Δὲν ἀνεγνώσατε ποτὲ εἰς τὰς Γραφάς, ὅτι λίθον, ποὺ τὸν ἀπέρριψαν ὡς ἀκατάλληλον οἱ κτίσται, αὐτὸς ἔγινεν ὁ ἀκρογωνιαῖος λίθος[1]; Αὐτὸ ἔγινεν ἀπὸ τὸν Κύριον καὶ εἶναι θαυμαστὸν εἰς τὰ μάτια τῶν πιστῶν. Διὰ τοῦτο σᾶς λέγω, ὅτι θὰ ἀφαιρεθῇ ἀπὸ σᾶς ἡ βασιλεία τοῦ Θεοῦ καὶ θὰ δοθῇ εἰς ἔθνος, ποὺ θὰ παράγῃ ἀγαθοὺς καρποὺς. Καὶ

Καὶ ὁ πεσὼν ἐπὶ τὸν λίθον τοῦτον, συνθλασθήσεται· ἐφ' ὃν δ' ἂν πέσῃ, λικμήσει αὐτόν».

1. Πολλὰ ἀπὸ τῆς παραβολῆς ταύτης αἰνίττεται· τοῦ Θεοῦ τὴν πρόνοιαν, τὴν εἰς αὐτοὺς ἄνωθεν γεγενημένην· τὸ ἐξ ἀρχῆς αὐτῶν φονικόν· τὸ μηδὲν παραλειφθῆναι τῶν ἡκόντων εἰς ἐπιμέλειαν· τὸ καὶ προφητῶν σφαγέντων μὴ ἀποστραφῆναι αὐτούς, ἀλλὰ καὶ τὸν Υἱὸν πέμψαι· τὸ καὶ τῆς Καινῆς καὶ τῆς Παλαιᾶς ἕνα καὶ τὸν αὐτὸν εἶναι Θεόν· τὸ μεγάλα αὐτοῦ τὸν θάνατον κατορθώσειν· τὸ τὴν ἐσχάτην δίκην τοῦ σταυροῦ καὶ τοῦ τολμήματος αὐτοὺς ὑπομένειν· τῶν ἐθνῶν τὴν κλῆσιν, τῶν Ἰουδαίων τὴν ἔκπτωσιν. Διὰ τοῦτο αὐτὴν μετὰ τὴν ἔμπροσθεν τίθησιν, ἵνα δείξῃ κἀντεῦθεν τὸ ἔγκλημα μεῖζον καὶ σφόδρα ἀσύγγνωστον. Πῶς καὶ τίνι τρόπῳ; Ὅτι τοσαύτης τυχόντες ἐπιμελείας, πορνῶν καὶ τελωνῶν ἡττήθησαν, καὶ παρὰ τοσοῦτον.

Θέα δὲ καὶ αὐτοῦ τὴν πρόνοιαν τὴν πολλὴν καὶ τὴν τούτων ἀργίαν τὴν ἄφατον. Καὶ γὰρ ἃ τῶν γεωργῶν ἦν, αὐτὸς ἐποίησε· τὸ φραγμὸν περιθεῖναι, τὸ φυτεῦσαι τὸν ἀμπελῶνα, τὰ ἄλλα πάντα· καὶ μικρὸν αὐτοῖς κατέλιπε, τὸ ἐπιμελεῖσθαι, τῶν ὄντων καὶ διαφυλάξαι τὰ δοθέντα. Οὐδὲν γὰρ ἦν ἐλλειφθέν, ἀλλὰ πάντα ἀπηρτισμένα· καὶ οὐδὲ οὕτως ἐκέρδαναν, καὶ ταῦτα τοσούτων ἀπολαύσαντες παρ' αὐτοῦ. Ὅτε γὰρ ἐξ Αἰγύπτου ἐξῆλθον, καὶ νόμον ἔδωκε καὶ πόλιν ἀνέστησε καὶ ναὸν ᾠκοδόμησε καὶ θυσιαστήριον κατεσκεύασε. «Καὶ ἀπεδήμησε»· τουτέστιν, ἐμακροθύμησεν, οὐκ ἀεὶ τοῖς

---

2. Ματθ. 21, 34-44.

ἐκεῖνος ποὺ θὰ πέσῃ ἐπάνω εἰς τὸν λίθον αὐτόν, θὰ συντριβῇ· καὶ εἰς ἐκεῖνον ποὺ θὰ πέσῃ ὁ λίθος αὐτός, θὰ τὸν κατακομματιάσῃ καὶ θὰ τὸν διασκορπίσῃ ὡσὰν σκόνην»[2].

1. Πολλὰ ὑπαινίσσεται μὲ αὐτὴν τὴν παραβολήν· τὴν πρόνοιαν τοῦ Θεοῦ ποὺ ἔδειξεν πρὸς αὐτοὺς ἀπὸ ὑψηλά, τὴν φονικὴν διάθεσιν ποὺ εἶχαν ἀπὸ τὴν ἀρχήν, τὸ ὅτι δὲν παρελείφθη τίποτε ἀπὸ ὅσα ἔπρεπε διὰ τὴν φροντίδα των, τὸ ὅτι δὲν τοὺς ἀπεστράφη καὶ ὅταν ἀκόμῃ ἐφόνευσαν τοὺς προφήτας, ἀλλ' ἀπέστειλε καὶ τὸν Υἱόν του, τὸ ὅτι ἕνας καὶ ὁ αὐτὸς εἶναι ὁ Θεὸς τῆς Παλαιᾶς καὶ τῆς Καινῆς Διαθήκης, τὸ ὅτι θὰ ἐπιτύχῃ μὲ τὸν θάνατόν του πολλά, τὸ ὅτι οἱ Ἰουδαῖοι ὑπομένουν τὴν βαρεῖαν τιμωρίαν τοῦ σταυροῦ καὶ τοῦ τολμήματός των ἐκείνου, τὴν κλῆσιν τῶν ἐθνῶν καὶ τὴν ἔκπτωσιν τῶν Ἰουδαίων. Διὰ τοῦτο καὶ τὴν τοποθετεῖ μετὰ τὴν προηγουμένην, διὰ νὰ δείξῃ μὲ αὐτὸν τὸν τρόπον, ὅτι τὸ ἔγκλημά των εἶναι πολὺ μεγάλο καὶ εἰς μεγάλον βαθμὸν ἀσυγχώρητον. Πῶς καὶ μὲ ποῖον τρόπον; Μὲ τὸ ὅτι, ἂν καὶ τόσον μεγάλης φροντίδος ἔτυχον ἐκ μέρους τοῦ Θεοῦ, παρὰ ταῦτα ὑπεσκελίσθησαν ἀπὸ τὰς πόρνας καὶ τοὺς τελώνας, καὶ μάλιστα εἰς πολὺ μεγάλον βαθμόν.

Πρόσεχε ὅμως καὶ τὴν μεγάλην πρόνοιαν αὐτοῦ δι' αὐτοὺς καὶ τὴν ἀπερίγραπτον ἀπραξίαν αὐτῶν. Καθ' ὅσον αὐτὰ ποὺ ἦσαν ἔργον τῶν γεωργῶν, τὰ ἔκανεν ὁ ἴδιος· ἐτοποθέτησε δηλαδὴ τὸν φράκτην, ἐφύτευσε τὴν ἄμπελον καὶ ὅλα τὰ ἄλλα· καὶ ἄφησε δι' αὐτοὺς μικοὸν ἔργον, τὸ νὰ φροντίζουν διὰ τὴν ἄμπελον καὶ νὰ διαφυλάξουν αὐτὰ ποὺ τοὺς ἐνεπιστεύθησαν. Διότι τίποτε δὲν παρελείφθη, ἀλλὰ τὰ πάντα ἔγιναν εἰς τὴν ἐντέλειαν. Καὶ ὅμως οὔτε καὶ ἔτσι ἐκέρδισαν τίποτε, καὶ ὅλα αὐτὰ ἂν καὶ τόσων εὐεργεσιῶν καὶ τόσης φροντίδος ἔτυχον ἐκ μέρους τοῦ Θεοῦ. Διότι, ὅταν ἐξῆλθον ἀπὸ τὴν Αἴγυπτον, καὶ νόμον τοὺς ἔδωσε καὶ πόλιν τοὺς ἔκτισε καὶ ναὸν τοὺς ᾠκοδόμησε καὶ τοὺς κατεσκεύασε θυσιαστήριον. «Καὶ ἔφυγε δι' ἄλλην χώραν», δηλαδή, ἔδειξε μακροθυμίαν, δὲν τοὺς ἐτιμωροῦσε πάντοτε ἀμέ-

ἁμαρτήμασι παραπόδας ἐπάγων τὰς τιμωρίας· τὴν γὰρ ἀποδημίαν τὴν πολλὴν αὐτοῦ μακροθυμίαν φησί.

«Καὶ ἀπέστειλε τοὺς δούλους αὐτοῦ», τουτέστι, τοὺς προφήτας· «τὸν καρπὸν λαβεῖν», τουτέστι, τὴν ὑπακοήν, τὴν διὰ τῶν ἔργων ἐπίδειξιν. Οἱ δὲ κἀνταῦθα τὴν κακίαν ἐπεδείξαντο, οὐ τῷ μὴ δοῦναι τὸν καρπὸν τοσαύτης ἀπολαύσαντας ἐπιμελείας, ὅπερ ἀργίας ἦν, ἀλλὰ καὶ τῷ δυσχεραῖναι πρὸς τοὺς ἐλθόντας. Τοὺς γὰρ οὐκ ἔχοντας δοῦναι καὶ ὀφείλοντας, οὐκ ἀγανακτεῖν ἐχρῆν, οὐδὲ δυσχεραίνειν, ἀλλὰ παρακαλεῖν. Οἱ δὲ οὐ μόνον ἠγανάκτησαν, ἀλλὰ καὶ αἱμάτων τὰς χεῖρας ἐνέπλησαν· καὶ δίκην ὀφείλοντες, αὐτοὶ δίκην ἀπῄτουν. Διὰ τοῦτο καὶ δευτέρους ἔπεμψε καὶ τρίτους, ἵνα δειχθῇ καὶ ἡ τούτων κακία, καὶ ἡ τοῦ πέμψαντος φιλανθρωπία.

Καὶ διατί μὴ τὸν Υἱὸν εὐθέως ἀπέστειλεν; Ἵνα ἐκ τῶν εἰς ἐκείνους γενομένων καταγνόντες ἑαυτῶν, καὶ τὸν θυμὸν ἀφέντες, ἐκεῖνον ἐντραπῶσιν ἐλθόντα. Εἰσὶ δὲ καὶ ἕτεροι λόγοι· ἀλλὰ τέως ἐπὶ τὰ ἑξῆς ἴωμεν. Τί δέ ἐστι τό, «ἴσως ἐντραπήσονται»; Οὐχὶ ἀγνοοῦντος, ἄπαγε· ἀλλὰ θέλοντος δεῖξαι τὸ ἁμάρτημα μέγα, καὶ ἀπολογίας πάσης ἐστερημένον. Ἐπεὶ αὐτὸς εἰδώς, ὅτι ἀναιρήσουσιν, ἔπεμψε. Λέγει δέ, «ἐντραπήσονται», τὸ γενέσθαι ὀφεῖλον ἀπαγγέλλων· ὅτι ἔδει αὐτοὺς ἐντραπῆναι. Ἐπεὶ καὶ ἀλλαχοῦ φησιν, «ἐὰν ἄρα ἀκούσωσιν»· οὐδὲ ἐκεῖ ἀγνοῶν· ἀλλ' ἵνα μὴ λέγωσί τινες τῶν ἀγνωμόνων, ὅτι ἡ πρόρρησις αὐτοῦ γέγονεν ἀναγκαστικὴ τῆς παρακοῆς, διὰ τοῦτο οὕτω σχηματίζει τὰς λέξεις, «ἐὰν ἄρα», λέγων, καὶ «ἴσως». Εἰ γὰρ καὶ περὶ τοὺς δούλους ἀγνώμονας ἐγένοντο, τὸ τοῦ Υἱοῦ ἀξίωμα αἰδε-

3. Ἰεζ. 2, 5.

σως μετὰ τὴν διάπραξιν τῶν ἁμαρτιῶν· δηλαδὴ ὀνομάζει ἀποδημίαν τὴν μεγάλην μακροθυμίαν του.

«Καὶ ἀπέστειλε τοὺς δούλους του», δηλαδή, τοὺς προφήτας, «διὰ νὰ λάβουν τοὺς καρποὺς», δηλαδή, τὴν ὑπακοήν, ποὺ θὰ ἀπεδεικνύετο μὲ τὰ ἔργα των. Αὐτοὶ ὅμως καὶ εἰς τὴν περίπτωσιν αὐτὴν ἔδειξαν τὴν κακίαν των, ὄχι μόνον διότι δὲν ἀπέδωσαν τοὺς καρπούς, ἂν καὶ ἔτυχον τόσης μεγάλης φροντίδος ἐκ μέρους του, πρᾶγμα ποὺ ἀποδεικνύει τὴν ἀδιαφορίαν των, ἀλλὰ καὶ μὲ τὸ ὅτι ἐφέρθησαν μὲ σκληρότητα πρὸς τοὺς ἀπεσταλμένους του. Διότι ἐκεῖνοι ποὺ δὲν εἶχον νὰ δώσουν, ἂν καὶ ἦσαν ὀφειλέται, δὲν ἔπρεπε νὰ ἀγανακτοῦν, οὔτε νὰ ἐπιδεικνύουν σκληρότητα, ἀλλὰ νὰ παρακαλοῦν. Αὐτοὶ ὅμως, ὄχι μόνον ἠγανάκτησαν, ἀλλὰ καὶ ἐγέμισαν τὰ χέρια των μὲ αἷμα, καί, ἂν καὶ ἔπρεπε νὰ τιμωρηθοῦν, ἐζήτησαν νὰ γίνουν τιμωροί. Διὰ τοῦτο ἔστειλε καὶ δευτέρους καὶ τρίτους ἀπεσταλμένους διὰ νὰ ἀποδειχθῇ καὶ ἡ κακία αὐτῶν καὶ ἡ φιλανθρωπία τοῦ Θεοῦ.

Καὶ διατί δὲν ἔστειλεν ἀπὸ τὴν ἀρχὴν τὸν Υἱόν του, διὰ νὰ ἔλθουν εἰς ἐπίγνωσιν τοῦ ἑαυτοῦ των ἀπὸ ὅσα ἔκαναν εἰς βάρος τῶν ἀπεσταλμένων του καὶ ἀφοῦ ἀφήσουν τὴν ὀργήν των, νὰ ἐντραποῦν αὐτόν, ὅταν θὰ ἤρχετο; Ὑπάρχουν δὲ καὶ ἄλλοι λόγοι, ἀλλὰ τώρα ἂς προχωρήσωμεν εἰς τὴν συνέχειαν τῆς παραβολῆς. Τί σημαίνει λοιπὸν τό· «Ἴσως νὰ ἐντραποῦν»; Δὲν σημαίνει ἄγνοιαν, μὴ γένοιτο, ἀλλὰ θέλει νὰ δείξῃ ὅτι τὸ ἁμάρτημα εἶναι μεγάλο καὶ στερεῖται κάθε ἀπολογίας. Διότι αὐτὸς τὸν ἔστειλεν ἂν καὶ ἐγνώριζεν ὅτι θὰ τὸν φονεύσουν. Λέγει δέ, «θὰ ἐντραποῦν», διὰ νὰ δείξῃ τί πρέπει νὰ γίνῃ, ὅτι δηλαδὴ ἔπρεπε νὰ ἐντραποῦν. Διότι ἀλλοῦ λέγει· «Μήπως καὶ ἀκούσουν»[3]· οὔτε καὶ ἐκεῖ δείχνει ἄγνοιαν, ἀλλὰ διὰ νὰ μὴ λέγουν ὡρισμένοι ἀγνώμονες, ὅτι ἡ πρόρρησις αὐτοῦ ἔγινεν ἀναγκαστικὴ αἰτία τῆς παρακοῆς των, διὰ τοῦτο ὁμιλεῖ κατ' αὐτὸν τὸν τρόπον καὶ λέγει· «Μὴ τυχὸν» καὶ «ἴσως». Διότι καὶ ἂν ἀκόμη ἐφάνησαν ἀχάριστοι πρὸς τοὺς δούλους, ἔπρεπε νὰ σεβα-

σθῆναι ἐχρῆν.

Τί οὖν οὗτοι; Δέον προσδραμεῖν, δέον αἰτῆσαι συγγνώμην ἐπὶ τοῖς πεπλημμεληκόσι, καὶ ἐπαγωνίζονται τοῖς προτέροις, ἐπαποδύονται τοῖς μιάσμασιν, ἀεὶ τὰ πρότερα τοῖς δευτέροις ἀποκρύπτοντες· ὃ καὶ αὐτὸς δηλῶν ἔλεγε· «πληρώσατε τὸ μέτρον τῶν πατέρων ὑμῶν». Ἄνωθεν γὰρ αὐτοῖς ταῦτα ἐνεκάλουν οἱ προφῆται λέγοντες· «αἱ χεῖρες ὑμῶν αἵματος πλήρεις»· καί, «αἵματα ἐφ' αἵμασι μίσγουσι»· καί, «οἰκοδομοῦντες Σιὼν ἐν αἵμασιν». Ἀλλ' οὐκ ἐσωφρονίζοντο· καίτοι ταύτην λαβόντες πρώτην τὴν ἐντολήν, τὸ «οὐ φονεύσεις», καὶ μυρίων ἑτέρων κελευσθέντες ἀπέχεσθαι διὰ τοῦτο, καὶ διὰ πολλῶν καὶ παντοδαπῶν εἰς τὴν φυλακὴν τῆς ἐντολῆς ταύτης ἐναγόμενοι.

Ἀλλ' ὅμως τὴν πονηρὰν ἐκείνην οὐκ ἀπέθεντο συνήθειαν· ἀλλὰ τί λέγουσιν ἰδόντες αὐτόν; «Δεῦτε, ἀποκτείνωμεν αὐτόν». Τίνος ἕνεκεν καὶ διατί; τί ποτε ἔχοντες ἐγκαλεῖν ἢ μικρὸν ἢ μέγα; Ὅτι ἐτίμησεν ὑμᾶς, καὶ Θεὸς ὤν, ἄνθρωπος ἐγένετο δι' ὑμᾶς, καὶ τὰ μυρία ἐκεῖνα εἰργάσαιο θαύματα; ἀλλ' ὅτι τὰ ἁμαρτήματα συνεχώρει; ἀλλ' ὅτι ἐπὶ βασιλείαν ἐκάλει; Ὅρα δὲ μετὰ τῆς ἀσεβείας καὶ τὴν ἄνοιαν πολλὴν οὖσαν καὶ τὴν αἰτίαν τῆς σφαγῆς πολλῆς γέμουσαν παραπληξίας. «Ἀποκτείνωμεν γὰρ αὐτόν», φησί, «καὶ ἡμῶν ἔσται ἡ κληρονομία». Καὶ ποῦ ἀποκτεῖνται βουλεύονται; Ἔξω τοῦ ἀμπελῶνος.

2. Εἶδες πῶς προφητεύει καὶ τὸν τόπον, ἔνθα ἔμελλε σφάττεσθαι; «Καὶ ἐκβαλλόντες ἀπέκτειναν». Καὶ ὁ μὲν Λουκᾶς φησιν, ὅτι αὐτὸς ἀπεφήναιο δ παθεῖν ἔδει τούτους, κὰ-

4. Ματθ. 23, 32.
5. Ἡσ. 1, 15.
6. Ὡσ. 4, 5.
7. Μιχ. 3, 10.
8. Λουκά 20, 14.

σθοῦν τὸ ἀξίωμα τοῦ υἱοῦ.

Τί ἔκαναν λοιπὸν οἱ Ἰουδαῖοι; Ἐνῷ ἔπρεπε νὰ τρέξουν καὶ νὰ πέσουν εἰς τὰ πόδια του, ἐνῷ ἔπρεπε νὰ ζητήσουν συγγνώμην διὰ τὰ ἁμαρτήματά των, αὐτοὶ ἀγωνίζονται νὰ ὑπερβοῦν τὰ προηγούμενα ἐγκλήματά των, ἐπιδίδονται μὲ τὰ μιάσματα καὶ διαρκῶς μὲ τὰ νέα πλημμελήματά των καλύπτουν τὰ προηγούμενα, πρᾶγμα ποὺ διὰ νὰ τὸ δηλώσῃ ὁ Κύριος, ἔλεγε· «Συμπληρώσατε ἐκεῖνα ποὺ λείπουν ἀπὸ τοὺς πατέρας σας»[4]. Βέβαια καὶ οἱ προφῆται τοὺς κατηγοροῦσαν παλαιότερον δι' αὐτὰ καὶ τοὺς ἔλεγον· «Τὰ χέρια σας εἶναι γεμᾶτα ἀπὸ αἷμα»[5], καί, «ἀναμειγνύουν αἵματα μὲ αἵματα»[6], καί, «Αὐτοὶ ποὺ κτίζουν τὴν Σιὼν μὲ αἵματα»[7]. Ἀλλ' ὅμως δὲν ἐσωφρονίζοντο, μολονότι αὐτὴν τὴν ἐντολὴν ἔλαβαν πρώτην, τὸ «οὐ φονεύσεις», καὶ ἔλαβον ἐντολὴν νὰ ἀποφεύγουν πολλὰ ἄλλα χάριν αὐτοῦ καὶ μὲ πολλοὺς καὶ διαφόρους τρόπους ὡδηγοῦντο εἰς τὴν φύλαξιν αὐτῆς τῆς ἐντολῆς.

Ὅμως δὲν ἐγκατέλειψαν τὴν πονηρὰν ἐκείνην συνήθειάν των. Ἀλλὰ τί λέγουν ὅταν τὸν εἶδον; «Ἐλᾶτε, ἂς τὸν φονεύσωμεν». Πρὸς ποῖον σκοπὸν καὶ διατί; Ποίαν τέλος πάντων μικρὰν ἢ μεγάλην κατηγορίαν εἴχατε νὰ τοῦ ἀποδώσετε; Τὸ ὅτι σᾶς ἐτίμησε καί, ἂν καὶ ἦτο Θεός, ἔγινεν ἄνθρωπος πρὸς χάριν σας καὶ ἔκανε τὰ ἀμέτρητα ἐκεῖνα θαύματα; ἢ ἐπειδὴ συνεχώρει τὰ ἁμαρτήματα; ἢ ἐπειδὴ σᾶς ἐκαλοῦσεν εἰς τὴν βασιλείαν; Πρόσεξε ὅμως μαζὶ μὲ τὴν ἀσέβειάν των καὶ τὴν μεγάλην ἀφροσύνην των καὶ τὴν αἰτίαν τῆς σφαγῆς ποὺ ἦτο γεμάτη ἀπὸ μεγάλην παραπληξίαν, «Ἂς τὸν φονεύσωμεν», λέγει, «καὶ θὰ γίνῃ ἔτσι ἡ ἄμπελος ἰδική μας κληρονομία»[8]. Καὶ ποῦ σκέπτονται νὰ τὸν φονεύσουν; Ἔξω ἀπὸ τὴν ἄμπελον.

2. Εἶδες πῶς προφητεύει καὶ τὸν τόπον, εἰς τὸν ὁποῖον ἐπρόκειτο νὰ θανατωθῇ; «Καὶ ἀφοῦ τὸν ἔβγαλαν ἔξω ἀπὸ τὴν ἄμπελον τὸν ἐφόνευσαν». Καὶ ὁ μὲν Λουκᾶς λέγει, ὅτι ὁ Ἴδιος ὁ Κύριος εἶπεν αὐτὸ ποὺ ἔπρεπε νὰ πάθουν αὐτοί,

κεῖνοι εἶπον, «μὴ γένοιτο», καὶ τὴν μαρτυρίαν ἐπήγαγεν. «Ἐμβλέψας γὰρ αὐτοῖς εἶπε· τί οὖν ἐστι τὸ γεγραμμένον, λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας· καὶ πᾶς ὁ πεσὼν ἐπ' αὐτόν, συνθλασθήσεται;». Ὁ δὲ Ματθαῖος, ὅτι αὐτοὶ τὴν ψῆφον ἐξήνεγκαν. Ἀλλ' οὐκ ἔστι τοῦτο ἐναντιολογίας. Καὶ γὰρ ἀμφότερα γέγονε· καὶ τὴν ψῆφον αὐτοὶ ἐξήνεγκαν καθ' ἑαυτῶν, καὶ πάλιν αἰσθόμενοι τῶν εἰρημένων εἶπον, «μὴ γένοιτο»· καὶ τὸν προφήτην αὐτοῖς ἐπετείχισε, πείθων αὐτούς, ὅτι πάντως ἔσται τοῦτο.

Ἀλλ' ὅμως οὐδὲ οὕτω τὰ ἔθνη σαφῶς ἀπεκάλυψεν, ὥστε μηδεμίαν αὐτοῖς παρασχεῖν λαβήν, ἀλλ' ἠνίξατο εἰπών, «δώσει τὸν ἀμπελῶνα ἄλλοις». Διὰ τοῦτο δὴ καὶ διὰ παραβολῆς εἴρηκεν, ἵνα αὐτοὶ τὴν ψῆφον ἐξενέγκωσιν, ὅπερ καὶ ἐπὶ τοῦ Δαυὶδ γέγονεν, ὅτε ἔκρινε τὴν παραβολὴν τοῦ Νάθαν. Σὺ δέ μοι σκόπει κἀντεῦθεν πῶς δικαία ἡ ψῆφος, ὅταν αὐτοὶ οἱ μέλλοντες κολάζεσθαι ἑαυτοὺς καταδικάζωσιν.

Εἶτα ἵνα μάθωσιν, ὅτι οὐ μόνον ἡ τοῦ δικαίου φύσις ἀπήτει, ἀλλὰ καὶ ἄνωθεν ἡ τοῦ Πνεύματος χάρις προὔλεγε ταῦτα καὶ ὁ Θεὸς οὕτως ἐψηφίζετο, καὶ προφητείαν ἐπήγαγε καὶ ἐντρεπτικῶς αὐτοῖς ἐπιτιμᾷ λέγων· «οὐδέποτε ἀνέγνωτε, ὅτι λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας; παρὰ Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν»· διὰ πάντων δεικνύς, ὅτι οἱ μὲν ἐκβάλλεσθαι ἔμελλον ἀπιστοῦντες, τὰ δὲ ἔθνη

9. Λουκᾶ 20, 16.
10. Λουκᾶ 20, 17-18.

ὅτι ἐκεῖνοι ἀπήντησαν, «μὴ γένοιτο»[9], καὶ προσέθεσεν αὐτὸς τὴν μαρτυρίαν τῆς Γραφῆς· διότι λέγει, «τοὺς ἐκοίταζε εἰς τὰ μάτια καὶ τοὺς εἶπε· Τί σημαίνει λοιπὸν αὐτὸ ποὺ ἔχει γραφῆ, λίθον, ποὺ τὸν ἀπέρριψαν ὡς ἀκατάλληλον οἱ οἰκοδόμοι, αὐτὸς ἔγινεν ὁ ἀκρογωνιαῖος λίθος, καὶ ὁ καθένας ποὺ θὰ προσκόψῃ ἐπάνω εἰς τὸν λίθον αὐτόν, θὰ κατακομματιασθῇ;»[10]. Ὁ δὲ Ματθαῖος λέγει ὅτι οἱ ἴδιοι διετύπωσαν τὴν ἀπόφασιν. Ἀλλ' αὐτὸ δὲν ἀποτελεῖ ἀντίφασιν, καθ' ὅσον συνέβησαν καὶ τὰ δύο· καὶ οἱ ἴδιοι ἐσκέφθησαν τὴν ἀπόφασιν, καὶ ὅταν πάλιν ἀντελήφθησαν τὴν σημασίαν τῶν λόγων του εἶπον, «μὴ γένοιτο»· καὶ ἀκόμη τοὺς ἀνέφερε καὶ τὸν προφήτην, πείθων αὐτούς, ὅτι ὁπωσδήποτε θὰ συμβῇ αὐτό.

Ἀλλ' ὅμως οὔτε καὶ ἔτσι τοὺς ἀπεκάλυψε καθαρὰ τοὺς ἐθνικούς, ὥστε νὰ μὴ τοὺς δώσῃ καμμίαν ἀφορμὴν κατηγορίας, ἀλλ' ἁπλῶς τοὺς ὑπηνίχθη μὲ τοὺς λόγους· «θὰ παραδώσῃ τὴν ἄμπελον εἰς ἄλλους». Διὰ τοῦτο βέβαια τοὺς ὡμίλησε μὲ παραβολήν, ὥστε αὐτοὶ οἱ ἴδιοι νὰ βγάλουν τὴν ἀπόφασιν, πρᾶγμα ποὺ συνέβη καὶ εἰς τὴν περίπτωσιν τοῦ Δαυΐδ, ὅταν ἔκρινε τὴν παραβολὴν τοῦ προφήτου Νάθαν. Σὺ ὅμως σὲ παρακαλῶ πρόσεχε καὶ εἰς τὴν περίπτωσιν αὐτὴν πόσον δικαία εἶναι ἡ ἀπόφασις τῆς τιμωρίας, τὴν στιγμὴν ποὺ καὶ οἱ ἴδιοι, ποὺ ἐπρόκειτο νὰ τιμωρηθοῦν, καταδικάζουν τοὺς ἑαυτούς των.

Ἀκολούθως διὰ νὰ ἀντιληφθοῦν ὅτι ὄχι μόνον ἡ φύσις τοῦ δικαίου τὸ ἀπαιτοῦσεν αὐτό, ἀλλ' ὅτι καὶ ἡ χάρις τοῦ Πνεύματος ἐκ τοῦ οὐρανοῦ προέλεγεν αὐτὸ καὶ ὅτι αὐτὴ ἦτο ἡ ἀπόφασις τοῦ Θεοῦ, προσέθεσε καὶ τὴν μαρτυρίαν τοῦ προφήτου καὶ τοὺς ἐπιτιμᾷ κατὰ τρόπον ποὺ νὰ νοιώσουν ἐντροπήν, λέγων· «Δὲν ἀνεγνώσατε ποτὲ εἰς τὰς Γραφάς, ὅτι λίθον, ποὺ τὸν ἀπέρριψαν ὡς ἀκατάλληλον οἱ οἰκοδόμοι, αὐτὸς ἔγινεν ὁ ἀκρογωνιαῖος λίθος; αὐτὸ ἔγινεν ἀπὸ τὸν Κύριον καὶ εἶναι θαυμαστὸν εἰς τὰ μάτια μας», δεικνύων μὲ ὅλα αὐτά, ὅτι αὐτοὶ μὲν ἐπρόκειτο νὰ ἐκδιωχθοῦν ἐξ αἰτίας τῆς ἀπιστίας των, ἐνῷ τὰ ἔθνη θὰ εἰσήγοντο εἰς τὴν

εἰσάγεσθαι. Τοῦτο καὶ διὰ τῆς Χαναναίας, τοῦτο καὶ διὰ τοῦ ὄνου καὶ διὰ τοῦ ἑκατοντάρχου καὶ δι' ἄλλων πολλῶν παραβολῶν ᾐνίξατο· τοῦτο καὶ νῦν. Διὸ καὶ ἐπήγαγε· «Παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν», προδηλῶν, ὅτι τὰ ἔθνη πιστεύοντα, καὶ Ἰουδαίων ὅσοι ἂν καὶ αὐτοὶ πιστεύσωσιν, ἔσονται ἕν, καίτοι τοσούτου τοῦ μέσου ὄντος ἔμπροσθεν.

Εἶτα, ἵνα μάθωσιν ὅτι οὐδὲν τῷ Θεῷ ἐναντίον τῶν γινομένων ἦν, ἀλλὰ καὶ σφόδρα εὐαπόδεκτον τὸ συμβαῖνον καὶ παράδοξον καὶ τῶν ὁρώντων ἕκαστον ἐκπλῆττον (καὶ γὰρ ἦν θαῦμα σφόδρα ἄφατον), ἐπήγαγε λέγων· «παρὰ Κυρίου ἐγένετο αὕτη». Λίθον δὲ ἑαυτὸν καλεῖ καὶ οἰκοδόμους τοὺς διδασκάλους τῶν Ἰουδαίων· ὃ καὶ Ἰεζεκιήλ φησιν· «οἱ οἰκοδομοῦντες τὸν τοῖχον καὶ ἀλείφοντες ἀναρυτίως». Πῶς δὲ ἀπεδοκίμασαν; Λέγοντες, «οὗτος οὐκ ἔστιν ἀπὸ τοῦ Θεοῦ»· «οὗτος πλανᾷ τὸν ὄχλον»· καὶ πάλιν· «Σαμαρείτης εἶ σὺ καὶ δαιμόνιον ἔχεις».

Εἶτα, ἵνα γνῶσιν ὅτι οὐ μέχρι τοῦ ἐκβληθῆναι αὐτοὺς ἡ ζημία, ἐπήγαγε καὶ τὰς κολάσεις, λέγων· «πᾶς ὁ πίπτων ἐπὶ τὸν λίθον τοῦτον, συνθλασθήσεται· ἐφ' ὃν δ' ἂν πέσῃ, λικμήσει αὐτόν». Δύο φησὶν ἀπωλείας ἐνταῦθα· μίαν μέν, τὴν ἀπὸ τοῦ προσκόψαι καὶ σκανδαλισθῆναι· τοῦτο γάρ ἐστιν, «ὁ πίπτων ἐπὶ τὸν λίθον τοῦτον»· ἑτέραν δέ, τὴν ἀπὸ τῆς ἁλώσεως αὐτῶν καὶ τῆς συμφορᾶς καὶ πανωλεθρίας, ἣν καὶ σαφῶς προεδήλωσεν εἰπών, «λικμήσει αὐτόν». Διὰ τούτων καὶ τὴν ἀνάστασιν ᾐνίξατο τὴν ἑαυτοῦ.

Ὁ μὲν οὖν προφήτης Ἡσαΐας τὸν ἀμπελῶνα αἰτιᾶσθαί

---

11. Ἰεζ. 13, 10.
12. Ἰω. 9, 16.
13. Ἰω. 7, 12.
14. Ἰω. 8, 48.

βασιλείαν. Τὸ ἴδιον ὑπῃνίχθη καὶ μὲ τὴν Χαναναίαν, τὸ ἴδιον καὶ μὲ τὸν ὄνον, καὶ μὲ τὸν ἑκατόνταρχον καὶ μὲ πολλὰς ἄλλας παραβολάς· τὸ ἴδιον ὑπαινίσσεται καὶ τώρα. Διὰ τοῦτο καὶ προσέθεσεν· «Αὐτὸ ἔγινεν ἀπὸ τὸν Κύριον καὶ εἶναι θαυμαστὸν εἰς τὰ μάτια μας», φανερώνων ἐκ τῶν προτέρων ὅτι οἱ ἐθνικοὶ ποὺ θὰ πιστεύσουν, καὶ ἀπὸ τοὺς Ἰουδαίους ὅσοι τυχὸν πιστεύσουν, θὰ ἀποτελέσουν ἕνα σῶμα, ἂν καὶ τόση ἀπόστασις ὑπῆρχε προηγουμένως μεταξύ των.

Εἰς τὴν συνέχειαν διὰ ν' ἀντιληφθοῦν ὅτι τίποτε ἀπὸ ὅσα συμβαίνουν δὲν ἦτο ἀντίθετον πρὸς τὴν θέλησιν τοῦ Θεοῦ, ἀλλ' ὅτι τοῦ ἦτο καὶ πολὺ ἀρεστὸν αὐτὸ ποὺ συνέβαινε καὶ παράδοξον καὶ ποὺ προεκάλει κατάπληξιν εἰς τὸν καθένα ποὺ τὸ ἔβλεπε (καθ' ὅσον ἦτο θαῦμα εἰς μεγάλον βαθμὸν ἀπερίγραπτον), προσέθεσεν· «Αὐτὸ ἔγινεν ἀπὸ τὸν Κύριον». Λίθον δὲ ὀνομάζει τὸν ἑαυτόν του καὶ οἰκοδόμους τοὺς διδασκάλους τῶν Ἰουδαίων, πρᾶγμα ποὺ τὸ κάνει καὶ ὁ Ἰεζεκιήλ· «Αὐτοὶ ποὺ οἰκοδομοῦν τὸν τοῖχον καὶ ἀλείφουν χωρὶς τάξιν»[11]. Πῶς δὲ τὸν ἀπεδοκίμασαν; Λέγοντες· «Αὐτὸς ὁ ἄνθρωπος δὲν ἐστάλη ἀπὸ τὸν Θεόν»[12]· «αὐτὸς πλανᾷ τὸν λαόν»[13]· καὶ πάλιν· «Σὺ εἶσαι Σαμαρείτης καὶ εἶσαι δαιμονισμένος»[14].

Ἔπειτα διὰ νὰ κατανοήσουν, ὅτι ἡ ζημία των δὲν εἶναι ἁπλῶς ἡ ἔξωσίς των ἀπὸ τὴν βασιλείαν, προσέθεσε καὶ τὰς τιμωρίας, λέγων· «Ὁ καθένας ποὺ θὰ προσκόψῃ ἐπάνω εἰς τὸν λίθον αὐτὸν θὰ κατακομματιασθῇ· καὶ εἰς ἐκεῖνον ποὺ θὰ πέσῃ ὁ λίθος αὐτός, θὰ τὸ συνθλίψῃ καὶ θὰ τὸν διασκορπίσῃ ὡσὰν σκόνην». Δύο ἀπωλείας ἀναφέρει ἐδῶ· ἡ μία προέρχεται ἀπὸ τὸ ὅτι θὰ σκοντάψουν εἰς αὐτὸν καὶ θὰ σκανδαλισθοῦν· διότι αὐτὸ σημαίνει τό, «αὐτὸς ποὺ θὰ προσκόψῃ εἰς τὸν λίθον αὐτόν». Ἡ ἄλλη δὲ εἶναι ἡ ἀπώλεια ποὺ θὰ προέλθῃ ἀπὸ τὴν ἄλωσιν, τὴν συμφορὰν καὶ τὴν πανωλεθρίαν των, τὴν ὁποίαν προεῖπε καθαρὰ μὲ τοὺς λόγους· «λικμήσει αὐτόν». Μὲ τοὺς λόγους αὐτοὺς ὑπῃνίχθη καὶ τὴν ἀνάστασίν του.

Ὁ μὲν λοιπὸν προφήτης Ἡσαΐας λέγει ὅτι ὁ Κύριος

φησιν αὐτόν, ἐνταῦθα δὲ καὶ τοὺς ἄρχοντας τοῦ λαοῦ διαβάλλει. Καὶ ἐκεῖ μέν φησι· «τί ἔδει με ποιῆσαι τῷ ἀμπελῶνί μου, καὶ οὐκ ἐποίησα;»· καὶ ἀλλαχοῦ πάλιν· «τί εὗρον οἱ πατέρες ὑμῶν ἐν ἐμοὶ πλημμέλημα;»· καὶ πάλιν, «λαός μου, τί ἐποίησά σοι; ἢ τί ἐλύπησά σε;», δεικνὺς αὐτῶν τὴν ἀχάριστον γνώμην, καὶ ὅτι πάντων ἀπολαύοντες, τοῖς ἐναντίοις ἠμείβοντο· ἐνταῦθα δὲ μετὰ πλείονος τίθησιν αὐτὸ ὑπερβολῆς. Οὐ γὰρ αὐτὸς ἀποφαίνεται λέγων· «τί ἔδει με ποιῆσαι, καὶ οὐκ ἐποίησα;», ἀλλ' αὐτοὺς ἐκείνους εἰσάγει ψηφιζομένους, ὅτι οὐδὲν ἐνέλιπε, καὶ καταδικάζοντας ἑαυτούς. Ὅταν γὰρ εἴπωσιν, ὅτι «κακοὺς κακῶς ἀπολέσει αὐτοὺς καὶ τὸν ἀμπελῶνα ἐκδώσεται ἑτέροις γεωργοῖς», οὐδὲν ἕτερον ἢ τοῦτο λέγουσι, μετὰ πολλῆς τῆς περιουσίας τὴν ψῆφον ἐκφέροντες.

Τοῦτο καὶ Στέφανος αὐτοῖς ὀνειδίζει, ὃ καὶ μάλιστα αὐτοὺς ἔδακνεν, ὅτι πολλῆς ἀπολαύσαντες ἀεὶ προνοίας, τοῖς ἐναντίοις ἠμείβοντο τὸν εὐεργέτην· ὅπερ καὶ αὐτὸ μέγιστον ἦν σημεῖον τοῦ μὴ τὸν κολάζοντα, ἀλλὰ τοὺς κολαζομένους αἰτίους εἶναι τῆς τιμωρίας τῆς ἐπαγομένης αὐτοῖς. Τοῦτο δὴ καὶ ἐνταῦθα δείκνυται διὰ τῆς παραβολῆς, διὰ τῆς προφητείας. Οὐδὲ γὰρ ἠρκέσθη τῇ παραβολῇ μόνον, ἀλλὰ καὶ προφητείαν διπλῆν ἐπήγαγε, τὴν μὲν τοῦ Δαυΐδ, τὴν δὲ παρ' ἑαυτοῦ.

Τί οὖν ἐχρῆν ταῦτα ἀκούσαντας ποιεῖν; οὐχὶ προσκυνῆσαι; οὐχὶ θαυμάσαι τὴν κηδεμονίαν, τὴν ἔμπροσθεν, τὴν μετὰ ταῦτα; Εἰ δὲ μηδενὶ τούτων ἐγένοντο βελτίους, τῷ γοῦν φόβῳ τῆς κολάσεως οὐκ ἔδει γενέσθαι σωφρονεστέρους; Ἀλλ' οὐκ ἐγένοντο· ἀλλὰ τί μετὰ ταῦτα; «Ἀκούσαν-

15. Ἡσ. 5, 4.
16. Ἱερ. 2, 5.
17. Μιχ. 6, 3.
18. Πρβλ. Πράξ. κεφ. 6-7.

κατηγορεῖ τὸν ἀμπελῶνα, ἐδῶ ὅμως κατηγορεῖ καὶ τοὺς ἄρχοντας τοῦ λαοῦ. Καὶ ἐκεῖ μὲν λέγει· «Τί ἔπρεπε νὰ κάνω εἰς τὸν ἀμπελῶνα μου καὶ δὲν τὸ ἔκανα;»[15]. Καὶ ἀλλοῦ πάλιν· «Ποῖον πλημμέλημα εὗρον εἰς ἐμένα οἱ πατέρες σας;»[16]· καὶ πάλιν· «Λαέ μου, τί σοῦ ἔκανα; ἢ εἰς τί σὲ ἐλύπησα;»[17], δεικνύων τὴν ἀχάριστον γνώμην των καὶ ὅτι, μολονότι ἀπήλαυον τὰ πάντα, ἀνταπέδιδον εἰς αὐτὰ τὰ ἀντίθετα· εἰς τὴν περίπτωσιν δὲ αὐτὴν παρουσιάζει τὴν ἀχαριστίαν αὐτῶν μὲ μεγαλυτέραν ὑπερβολήν. Διότι δὲν διατυπώνει ὁ ἴδιος τὴν σκέψιν του, λέγων, «τί ἔπρεπε νὰ κάνω, καὶ δὲν τὸ ἔκανα;», ἀλλὰ παρουσιάζει ἐκείνους τοὺς ἰδίους νὰ βεβαιώνουν ὅτι δὲν ἔλειπε τίποτε, καὶ νὰ καταδικάζουν ἔτσι τοὺς ἑαυτούς των. Διότι ὅταν λέγουν, ὅτι «θὰ ἐξολοθρεύσῃ μὲ θάνατον κακὸν αὐτοὺς ποὺ εἶναι κακοὶ καὶ θὰ παραδώσῃ τὴν ἄμπελον εἰς ἄλλους γεωργούς», τίποτε ἄλλο δὲν λέγουν, παρὰ τὴν καταδίκην των, καὶ μὲ πολὺν κατηγορηματικὸν τρόπον ἐκφέρουν τὴν ἀπόφασιν αὐτήν.

Διὰ τὸ ἴδιον πρᾶγμα τοὺς κατηγορεῖ καὶ ὁ Στέφανος[18], πρᾶγμα ποὺ τοὺς ἐπλήγωνε περισσότερον, τὸ ὅτι δηλαδὴ ἂν καὶ ἔτυχον πάντοτε μεγάλης φροντίδος ἐκ μέρους τοῦ Θεοῦ, ὅμως αὐτοὶ ἀνταπέδιδον τὰ ἀντίθετα εἰς τὸν εὐεργέτην, πρᾶγμα ποὺ καὶ αὐτὸ ἦτο μεγάλη ἀπόδειξις, ὅτι αἴτιος τῆς τιμωρίας ποὺ τοὺς ἐπεβάλλετο δὲν ἦτο ὁ τιμωρῶν, ἀλλ' οἱ ἴδιοι οἱ τιμωρούμενοι. Αὐτὸ βέβαια ἀποδεικνύεται καὶ ἐδῶ μὲ τὴν παραβολὴν καὶ μὲ τὴν προφητείαν. Διότι δὲν ἠρκέσθη μόνον εἰς τὴν παραβολήν, ἀλλὰ προσέθεσε καὶ διπλῆν προφητείαν, ἡ μία ἦτο τοῦ Δαυῒδ καὶ ἡ ἄλλη ἰδική του.

Τί ἔπρεπε λοιπὸν νὰ κάνουν ὅταν ἤκουσαν αὐτά; δὲν ἔπρεπε νὰ τὸν προσκυνήσουν; δὲν ἔπρεπε νὰ θαυμάσουν τὴν φροντίδα του δι' αὐτοὺς καὶ τὴν παλαιὰν καὶ τὴν τωρινήν; Ἐὰν δὲ μὲ κανένα ἀπὸ αὐτὰ δὲν ἔγιναν καλύτεροι, δὲν ἔπρεπε τοὐλάχιστον νὰ γίνουν φρονιμότεροι ἀπὸ τὸν φόβον τῆς κολάσεως; Ἀλλ' ὅμως δὲν ἔγιναν. Καὶ τί ἔκαναν ὕστερα ἀπὸ αὐτά; «ὅταν ἤκουσαν αὐτά», λέγει, «ἐκατάλα-

ιες», φησίν, «ἔγνωσαν ὅτι περὶ αὐτῶν λέγει. Καὶ ζητοῦντες αὐτὸν κρατῆσαι, ἐφοβήθησαν διὰ τοὺς ὄχλους, ὅτι ὡς προφήτην αὐτὸν εἶχον». Ἠσθάνοντο γὰρ λοιπόν, ὅτι αὐτοὺς ἠνίττετο. Ποτὲ μὲν οὖν κατεχόμενος, διὰ μέσου αὐτῶν ἀναχωρεῖ, καὶ οὐχ ὁρᾶται· ποτὲ δὲ φαινόμενος, ὠδίνουσαν αὐτῶν τὴν ἐπιθυμίαν ἐπέχει. Ὃ καὶ θαυμάζοντες ἔλεγον· «οὐχ οὗτός ἐστιν Ἰησοῦς; ἴδε παρρησίᾳ λαλεῖ, καὶ οὐδὲν αὐτῷ λέγουσιν».

Ἐνταῦθα δέ, ἐπειδὴ τῷ φόβῳ τοῦ πλήθους κατείχοντο, ἀρκεῖται τούτῳ καὶ οὐ παραδοξοποιεῖ, ὥσπερ ἔμπροσθεν, διὰ μέσου ἀναχωρῶν καὶ μὴ φαινόμενος. Οὐ γὰρ ἐβούλετο πάντα ὑπὲρ ἄνθρωπον ποιεῖν, ὥστε πιστευθῆναι τὴν οἰκονομίαν. Οἱ δὲ οὐδὲ ἀπὸ τοῦ πλήθους ἐσωφρονίζοντο, οὐδὲ ἀπὸ τῶν εἰρημένων· οὐ τὴν τῶν προφητῶν μαρτυρίαν, οὐ τὴν ἑαυτῶν ἡδοῦντο ψῆφον, οὐ τὴν τῶν πολλῶν γνώμην· οὕτω καθάπαξ αὐτοὺς ἡ φιλαρχία καὶ ὁ τῆς κενοδοξίας ἐπήρωσεν ἔρως καὶ τὸ τὰ πρόσκαιρα ζητεῖν.

3. Οὐδὲ γὰρ οὕτως ἐπὶ κεφαλὴν ὠθεῖ καὶ κατὰ κρημνῶν φέρει· οὐδὲν οὕτω ποιεῖ τῶν μελλόντων ἐκπίπτειν, ὡς τὸ προσηλῶσθαι τοῖς ἐπικήροις τούτοις· οὐδὲν οὕτω ποιεῖ καὶ τούτων κἀκείνων ἀπολαύειν, ὡς τὸ πάντων ἐκεῖνα προτιμᾶν. «Ζητεῖτε» γάρ, φησὶν ὁ Χριστός, «τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν». Καίτοι εἰ μηδὲ τοῦτο προσέκειτο, οὐδὲ οὕτως αὐτῶν ἐφίεσθαι ἔδει. Νῦν δὲ ἐν τῷ λαβεῖν ἐκεῖνα, καὶ ταῦτά ἐστι προσλαβεῖν· καὶ οὐδὲ οὕτως ἔνιοι πείθονται· ἀλλὰ λίθοις ἀναισθήτοις ἐοίκασι καὶ σκιὰς διώκουσιν ἡδονῆς.

---

19. Ἰω. 7, 25-26.
19α. Ματθ. 6, 33.
20. Λουκᾶ 2, 14.

βαν ὅτι δι' αὐτοὺς τὰ λέγει. Καὶ ἐνῷ ἐζητοῦσαν νὰ τὸν συλλάβουν, ἐφοβήθησαν τὰ πλήθη τοῦ λαοῦ, διότι τὸν ἐθεωροῦσαν ὡς προφήτην». Διότι ἀντελαμβάνοντο πλέον, ὅτι ὑπηνίσσετο αὐτούς. Καὶ ἄλλοτε μέν, ἐνῷ εὑρίσκεται ἀνάμεσά των, φεύγει διὰ μέσου αὐτῶν καὶ δὲν τὸν βλέπουν, καὶ ἄλλοτε πάλιν, ἐνῷ τὸν βλέπουν καὶ ἐπιθυμοῦν σφόδρα νὰ τὸν συλλάβουν, συγκρατεῖ τὴν ἐπιθυμίαν των αὐτήν, πρᾶγμα διὰ τὸ ὁποῖον τὸν ἐθαύμαζον καὶ ἔλεγον· «Δὲν εἶναι αὐτὸς ὁ Ἰησοῦς; Νά, τοὺς ὁμιλεῖ μὲ παρρησίαν καὶ δὲν τοῦ λέγουν τίποτε»[19].

Εἰς τὴν περίπτωσιν αὐτὴν ὅμως ἐπειδὴ συνεκρατοῦντο ἀπὸ τὸν φόβον τοῦ πλήθους, ἀρκεῖται εἰς αὐτὸ καὶ δὲν ἐνεργεῖ θαύματα ὅπως προηγουμένως, ποὺ ἀνεχώρησεν ἀπὸ ἀνάμεσά τους καὶ δὲν τὸν ἔβλεπον. Διότι δὲν ἤθελε πάντοτε νὰ ἐνεργῇ ὡς ὑπεράνθρωπος διὰ νὰ γίνῃ πιστευτὴ ἡ οἰκονομία τῆς σαρκώσεως. Αὐτοὶ ὅμως οὔτε ἀπὸ τὸ πλῆθος ἐσωφρονίζοντο, οὔτε ἀπὸ τοὺς λόγους του, οὔτε τὴν μαρτυρίαν τῶν προφητῶν ἐσέβοντο, οὔτε τὴν ἰδικήν των γνώμην, οὔτε τὴν γνώμην τῶν πολλῶν. Τόσον πολὺ τοὺς ἐτύφλωσεν ἅπαξ διὰ παντὸς ἡ φιλαρχία καὶ ὁ ἔρως τῆς κενοδοξίας καὶ ἡ ἐπιδίωξις τῶν προσκαίρων πραγμάτων.

3. Πράγματι τίποτε δὲν προκαλεῖ τόσην παραφροσύνην καὶ δὲν ὁδηγεῖ εἰς τὸν κρημνόν, τίποτε δὲν συντελεῖ τόσον εἰς τὴν ἀπώλειαν τῶν μελλοντικῶν ἀγαθῶν, ὅσον ἡ προσήλωσις εἰς αὐτὰ τὰ φθαρτά. Τίποτε δὲν συντελεῖ εἰς τὸ ν' ἀπολαύῃ κανεὶς καὶ τὰ ἐδῶ ἀγαθὰ καὶ τὰ ἐκεῖ, ὅσον ἡ προτίμησις τῶν οὐρανίων ἀπὸ ὅλα γενικῶς. Διότι λέγει ὁ Χριστός· «Ζητεῖτε δὲ πρῶτον τὴν βασιλείαν τοῦ Θεοῦ καὶ τότε θὰ σᾶς δοθοῦν καὶ ὅλα τὰ ἐπίγεια»[20]. Καθ' ὅσον βέβαια ἐὰν δὲν ὑπῆρχε δυνατότης ἀποκτήσεως τῶν οὐρανίων ἀγαθῶν, δὲν ἔπρεπε τότε οὔτε τὰ ἐπίγεια νὰ ἐπιθυμῇ κανείς. Τώρα ὅμως ἐὰν λάβῃ ἐκεῖνα εἶναι δυνατὸν νὰ ἀποκτήσῃ καὶ τὰ ἐδῶ· καὶ ὅμως ὡρισμένοι οὔτε καὶ ἔτσι πείθονται, ἀλλ' ὁμοιάζουν μὲ ἀναισθήτους λίθους καὶ ἐπιδιώκουν τὰς σκιὰς τῆς ἡδονῆς.

Τί γὰρ ἡδὺ τῶν ἐν τῷ παρόντι βίῳ; τί δὲ τερπνόν; Μετὰ γὰρ παρρησίας ὑμῖν πλείονος διαλεχθῆναι βούλομαι σήμερον· ἀλλὰ ἀνάσχεσθε, ἵνα μάθητε ὅτι ὁ δοκῶν οὗτος φορτικὸς εἶναι βίος καὶ ἐπαχθής, ὁ τῶν μοναχῶν λέγω καὶ τῶν ἐσταυρωμένων, πολὺ τούτου τοῦ δοκοῦντος εἶναι προσηνοῦς καὶ ἁπαλωτέρου γλυκύτερός ἐστι καὶ ποθεινότερος. Καὶ τούτου μάρτυρες ὑμεῖς, οἱ θάνατον πολλάκις αἰτήσαντες ἐν ταῖς καταλαβούσαις ὑμᾶς περιστάσεσι καὶ ἀθυμίαις, καὶ ἐκείνους μακαρίσαντες τοὺς ἐν ὄρεσι, τοὺς ἐν σπηλαίοις, τοὺς μὴ γεγαμηκότας, τοὺς τὸν ἀπράγμονα βίον ζῶντας, οἵ τε ἐν ταῖς τέχναις, οἵ τε ἐν ταῖς στρατείαις, οἵ τε ἁπλῶς ζῶντες καὶ εἰκῇ, καὶ ἐν τῇ σκηνῇ διημερεύοντες καὶ ταῖς ὀρχήστραις. Καὶ γὰρ ἐκεῖθεν, εἰ καὶ μυρίαι ἡδοναὶ βρύειν δοκοῦσι καὶ εὐφροσύνης πηγαί, ἀλλὰ μυρία τίκτεται πικρότερα βέλη. Ἂν γὰρ ἁλῷ τις ἔρωτι κόρης τινὸς τῶν ὀρχουμένων ἐκεῖ, ὑπὲρ μυρίας στρατείας, ὑπὲρ μυρίας ἀποδημίας χαλεπωτέραν ὑποστήσεται βάσανον, πάσης πόλεως πολιορκουμένης ἀθλιώτερον διακείμενος. Πλὴν ἀλλ' ἵνα μὴ ἐκεῖνα ἐξετάσωμεν τέως, τῷ συνειδότι ταῦτα ἀφέντες τῶν ἑαλωκότων, φέρε περὶ τοῦ τῶν πολλῶν διαλεχθῶμεν βίου· καὶ τοσοῦτον εὑρήσομεν τὸ μέσον ἑκατέρας τῆς ζωῆς ταύτης, ὅσον λιμένος καὶ πελάγους συνεχῶς ἀνέμοις διακοπτομένου τὸ διάφορον.

Σκόπει δὲ ἀπὸ τῶν καταγωγίων εὐθέως τὰ προοίμια τῆς εὐημερίας. Ἀγορὰς γὰρ καὶ πόλεις καὶ τοὺς ἐν μέσῳ φυγόντες θορύβους, τὸν ἐν ὄρεσι βίον εἵλοντο, τὸν οὐδὲν ἔχοντα κοινὸν πρὸς τὰ παρόντα, τὸν οὐδὲν ἀνθρώπινον ὑπομένοντα, οὐ λύπην βιωτικήν, οὐκ ὀδύνην, οὐ φροντίδα τοσαύ-

Διότι ποῖον ἀπὸ τὰ ἀγαθὰ τῆς παρούσης ζωῆς εἶναι εὐχάριστον; Θέλω πράγματι σήμερα νὰ σᾶς ὁμιλήσω μὲ μεγαλυτέραν παρρησίαν. Δείξατε λοιπὸν ὑπομονὴν ὥστε νὰ γνωρίσετε, ὅτι ἡ ζωὴ ἐκείνη ποὺ θεωρεῖται φορτικὴ καὶ ἀνυπόφορος, δηλαδὴ ἡ ζωὴ τῶν μοναχῶν καὶ τῶν προσηλωμένων εἰς τὸν Θεόν, εἶναι πολὺ πιὸ γλυκυτέρα καὶ πιὸ ποθητὴ ἀπὸ τὴν ζωὴν αὐτήν, ποὺ νομίζομεν εὔκολον καὶ ἐλαφράν. Καὶ μάρτυρες δι' αὐτὸ εἶσθε σεῖς, ποὺ πολλὰς φορὰς εἰς τὰς δυσκολίας καὶ τὰς στενοχωρίας σας ἐζητήσατε τὸν θάνατον ὡς λυτρωτὴν καὶ ἐμακαρίσατε ἐκείνους ποὺ ζοῦν εἰς τὰ ὄρη, εἰς τὰ σπήλαια, ποὺ δὲν ἦλθον εἰς γάμον καὶ ζοῦν τὴν χωρὶς κοσμικὰς φροντίδας ζωήν, καὶ σεῖς ποὺ εἶσθε τεχνῖται ἢ στρατιῶται ἢ ζῆτε ἁπλῶς ἔτσι χωρὶς κανένα σκοπὸν καὶ περνᾶτε τὴν ἡμέραν σας εἰς τὰς σκηνὰς τοῦ θεάτρου καὶ τῆς ὀρχήστρας. Καθ' ὅσον ἀπὸ ἐκεῖ, ἂν καὶ ὑπάρχει ἡ ἀντίληψις ὅτι ἀναβλύζουν ἀμέτρητοι ἡδοναὶ καὶ πηγαὶ εὐφροσύνης, ἐν τούτοις ἀπὸ ἐκεῖ προέρχονται κατὰ τρόπον ἀνυπολόγιστον τὰ πιὸ φαρμακερὰ βέλη. Διότι ἐάν κάποιος αἰχμαλωτισθῇ ἀπὸ τὸν ἔρωτα κάποιας ἀπὸ τὰς γυναῖκας τῆς ὀρχήστρας, θὰ βασανισθῇ περισσότερον ἀπὸ ὅσον θὰ ἐβασανίζετο εἰς μυρίας ἐκστρατείας καὶ εἰς μυρίας ἀποδημίας καὶ θὰ ζῇ εἰς ἀθλιοτέραν κατάστασιν ἀπὸ μίαν πόλιν πολιορκουμένην. Ἀλλ' ὅμως διὰ νὰ μὴ ἐξετάσωμεν τώρα ἐκεῖνα, ἀφοῦ τὰ ἀφήσωμεν εἰς τὴν συνείδησιν αὐτῶν ποὺ ἔχουν γίνει αἰχμάλωτοι αὐτοῦ τοῦ πάθους, ἐμπρὸς νὰ ὁμιλήσωμεν διὰ τὴν ζωὴν τῶν πολλῶν ἐν γένει, καὶ θὰ εὕρωμεν ὅτι ὑπάρχει τόση διαφορὰ μεταξὺ τῶν δύο αὐτῶν τρόπων ζωῆς, ὅση διαφορὰ ὑπάρχει μεταξὺ λιμένος καὶ πελάγους, ποὺ συνεχῶς σαρώνεται ὑπὸ ἀνέμων.

Πρόσεχε λοιπὸν ἀπὸ τὸν τόπον διαμονῆς τὰ προοίμια τῆς εὐημερίας. Διότι οἱ μοναχοὶ ἀφοῦ ἀπέφυγον τὰς ἀγορὰς καὶ τὰς πόλεις καὶ τοὺς κοσμικοὺς θορύβους, ἐπροτίμησαν τὴν ζωὴν εἰς τὰ ὄρη, ἡ ὁποία δὲν ἔχει τίποτε τὸ κοινὸν πρὸς τὰ παρόντα πράγματα, οὔτε βιωτικὴν λύπην, οὔτε ὀδύνην,

την, οὐ κινδύνους, οὐκ ἐπιβουλάς, οὐ βασκανίαν, οὐ ζηλοτυπίαν, οὐκ ἔρωτας ἀτόπους, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν. Ἐντεῦθεν ἤδη τὰ τῆς βασιλείας μελετῶσι, νάπαις ὁμιλοῦντες καὶ ὄρεσι καὶ πηγαῖς, καὶ ἡσυχίᾳ καὶ ἠρεμίᾳ πολλῇ, καὶ πρὸ τούτων ἁπάντων τῷ Θεῷ. Καὶ παντὸς μὲν θορύβου τὸ δωμάτιον αὐτοῖς καθαρόν, παντὸς δὲ πάθους ἡ ψυχὴ καὶ νοσήματος ἐλευθέρα, λεπτὴ καὶ κούφη, καὶ τοῦ λεπτοτάτου ἀέρος σφόδρα καθαρωτέρα. Ἔργον δὲ αὐτοῖς, ὅπερ ἦν καὶ τῷ Ἀδὰμ παρὰ τὴν ἀρχὴν καὶ πρὸ τῆς ἁμαρτίας, ὅτε τὴν δόξαν ἠμφιεσμένος ἦν καὶ τῷ Θεῷ μετὰ παρρησίας ὡμίλει, καὶ τὸ χωρίον ἐκεῖνο τὸ πολλῆς γέμον μακαριότητος ᾤκει. Τί γὰρ οὗτοι χεῖρον ἐκείνου διάκεινται, ὅτε πρὸ τῆς πυρακοῆς ἐτέθη ἐργάζεσθαι τὸν παράδεισον; Οὐδεμία φροντὶς ἦν αὐτῷ βιωτική; ἀλλ' οὐδὲ τούτοις. Θεῷ διελέγετο μετὰ καθαροῦ συνειδότος; τοῦτο καὶ οὗτοι· μᾶλλον δὲ καὶ πολλῷ μείζονα ἔχουσι παρρησίαν ἐκείνου, ὅσῳ καὶ μείζονος ἀπολελαύκασι χάριτος διὰ τῆς τοῦ Πνεύματος χορηγίας.

Ἐχρῆν μὲν οὖν ὑμᾶς ὄψει ταῦτα παραλαμβάνειν· ἐπειδὴ δὲ οὐ βούλεσθε, ἀλλ' ἐν θορύβοις καὶ ἀγοραῖς διατρίβετε, κἂν λόγῳ γοῦν διδάξωμεν ὑμᾶς, ἓν μέρος ἀπολαβόντες αὐτῶν τῆς διαγωγῆς· πάντα γὰρ οὐ δυνατὸν ἐπελθεῖν τὸν ἐκείνων βίον. Οὗτοι οἱ φωστῆρες τῆς οἰκουμένης, ἐπειδὰν ἥλιος ἀνίσχῃ, μᾶλλον δὲ πολλῷ πρὸ τῆς ἀκτῖνος, ἀπὸ τῆς εὐνῆς ἀναστάντες, ὑγιεῖς καὶ ἐγρηγορότες καὶ νήφοντες (οὔτε γὰρ λύπη τις καὶ φροντίς, οὔτε καρηβαρία καὶ πόνος καὶ πραγμάτων ὄχλος, οὐκ ἄλλο τι τῶν τοιούτων οὐδὲν αὐτοῖς ἐνοχλεῖ, ἀλλ' ὡς ἄγγελοι διάγουσιν ἐν οὐρανῷ)· ἀναστάντες τοίνυν εὐθέως ἀπὸ τῆς εὐνῆς φαιδροὶ καὶ

οὔτε τόσον μεγάλην φροντίδα, οὔτε κινδύνους, οὔτε ἐπιβουλάς, οὔτε φθόνον, οὔτε ζηλοτυπίαν, οὔτε παραλόγους ἔρωτας, οὔτε τίποτε ἄλλο παρόμοιον. Ἀπὸ τὴν ἐδῶ ζωὴν ἤδη μελετοῦν τὰ τῆς οὐρανίου βασιλείας, ὁμιλοῦντες μὲ τὰς κοιλάδας, τὰ ὄρη, τὰς πηγάς, τὴν ἡσυχίαν καὶ τὴν ἠρεμίαν καὶ πρὶν ἀπὸ ὅλα αὐτὰ μὲ τὸν Θεόν. Καὶ τὸ δωμάτιόν των εἶναι καθαρὸν ἀπὸ κάθε θόρυβον, ἡ δὲ ψυχή των εἶναι ἐλευθέρα ἀπὸ κάθε πάθος καὶ ἀσθένειαν, λεπτὴ καὶ ἐλαφρὰ καὶ πιὸ καθαρὰ ἀπὸ αὐτὸν τὸν λεπτότατον ἀέρα. Τὸ ἔργον των δὲ εἶναι ὅμοιον μὲ τὸ ἔργον ποὺ εἶχεν ὁ Ἀδὰμ εἰς τὴν ἀρχὴν καὶ πρὶν ἀπὸ τὴν ἁμαρτίαν, ὅταν ἐφόρει ὡς ἔνδυμα τὴν δόξαν καὶ ὡμιλοῦσε μὲ τὸν Θεὸν μὲ παρρησίαν καὶ ἐκατοικοῦσεν εἰς τὸν τόπον ἐκεῖνον ποὺ ἦτο γεμᾶτος ἀπὸ μακαριότητα. Πράγματι ὡς πρὸς τί αὐτοὶ εἶναι κατώτεροι ἀπὸ τὸν Ἀδάμ, ὅταν, πρὶν ἀπὸ τὴν παρακοὴν ἐτοποθετήθη νὰ καλλιεργῇ τὸν παράδεισον; Δὲν εἶχε καμμίαν βιωτικὴν φροντίδα; Ἀλλ' οὔτε καὶ αὐτοὶ ἔχουν. Ὡμιλοῦσε μὲ τὸν Θεὸν μὲ καθαρὰν συνείδησιν; τὸ ἴδιον κάνουν καὶ αὐτοί· μᾶλλον δὲ ἔχουν μεγαλυτέραν παρρησίαν ἀπὸ ἐκεῖνον, τόσον μεγαλυτέραν, ὅσον μεγαλυτέραν χάριν ἔχουν ἀπολαύσει μὲ τὴν χορηγίαν τοῦ ἁγίου Πνεύματος.

Ἔπρεπε λοιπὸν νὰ τὰ ἐβλέπατε αὐτὰ οἱ ἴδιοι μὲ τὰ μάτια σας, ἐπειδὴ ὅμως δὲν θέλετε, ἀλλὰ περνᾶτε τὸν καιρόν σας μέσα εἰς τοὺς θορύβους καὶ τὰς ἀγοράς, θὰ σᾶς τὰ παρουσιάσω ἔστω καὶ διὰ τοῦ λόγου, διὰ νὰ γνωρίσετε ἕνα μόνον μέρος ἀπὸ τὸν τρόπον ζωῆς αὐτῶν, διότι δὲν εἶναι δυνατὸν νὰ ἐξετάσωμεν ὅλον τὸν βίον ἐκείνων. Αὐτοὶ οἱ φωστῆρες τῆς οἰκουμένης, ὅταν ἀνατείλῃ ὁ ἥλιος, μᾶλλον δὲ πολὺ πρὸ τῆς ἀνατολῆς, ἀφοῦ σηκωθοῦν ἀπὸ τὸ κρεββάτι των, ὑγιεῖς, γεμᾶτοι πνευματικὴν διαύγειαν καὶ νηφαλιότητα, (διότι οὔτε καμμία λύπη καὶ φροντὶς τοὺς ἐνοχλεῖ, οὔτε βάρος εἰς τὸ κεφάλι των καὶ πόνος καὶ στενοχώρια, οὔτε τίποτε ἄλλο παρόμοιον ἀπὸ αὐτά, ἀλλὰ ζοῦν ὡσὰν ἄγγελοι εἰς τὸν οὐρανόν)· ἀφοῦ λοιπὸν σηκωθοῦν ἀπὸ τὸ

γεγηθότες, καὶ χορὸν ἕνα σιησάμενοι, ἐν φαιδρῷ τῷ συνειδότι συμφώνως ἅπαντες, ὥσπερ ἐξ ἑνὸς στόματος, ὕμνους εἰς τὸν τῶν ὅλων ἄδουσι Θεόν, γεραίροντές τε αὐτὸν καὶ χάριν εἰδότες ὑπὲρ ἁπάντων αὐτῷ, τῶν τε ἰδίων, τῶν τε κοινῶν εὐεργετημάτων. Ὥστε, εἰ δοκεῖ, τὸν Ἀδὰμ ἀφέντες, ἐρωτήσωμεν τί τῶν ἀγγέλων οὗτος διέσηκεν ὁ χορὸς τῶν ἐπὶ γῆς ᾀδόντων καὶ λεγόντων· «δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία». Καὶ ἡ στολὴ δὲ αὐτοῖς τῆς ἀνδρίας ἀξία. Οὐ γὰρ δὴ κατὰ τοὺς ἑλκεχίτωνας καὶ ἐκνενευρισμένους καὶ διακλωμένους εἰσὶν ἐστολισμένοι, ἀλλὰ κατὰ τοὺς μακαρίους ἐκείνους ἀγγέλους, τὸν Ἠλίαν, τὸν Ἐλισσαῖον, τὸν Ἰωάννην, κατὰ τοὺς ἀποστόλους· τῶν ἱματίων κατεσκευασμένων αὐτοῖς, τοῖς μὲν ἀπὸ τριχῶν αἰγῶν, τοῖς δὲ ἀπὸ τριχῶν καμήλων· εἰσὶ δὲ οἷς καὶ δέρματα ἤρκεσε μόνον, καὶ ταῦτα πάλαι πεπονηκότα.

Εἶτα ἐπειδὰν τὰς ᾠδὰς ἐκείνας εἴπωσι, τὰ γόνατα κάμψαντες, τὸν ὑμνηθέντα Θεὸν παρακαλοῦσιν ὑπὲρ πραγμάτων, ὧν ἔνιοι οὐδὲ εἰς ἔννοιαν ταχέως ἔρχονται. Αἰτοῦσι γὰρ τῶν μὲν παρόντων οὐδέν· οὐδεὶς γὰρ αὐτοῖς τούτων λόγος· τὸ δὲ μετὰ παρρησίας στῆναι ἔμπροσθεν τοῦ βήματος τοῦ φοβεροῦ, ὅταν ἔλθῃ κρῖναι ζῶντας καὶ νεκροὺς ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ, καὶ τὸ μηδένα ἀκοῦσαι τῆς φοβερᾶς ἐκείνης φωνῆς τῆς λεγούσης, «οὐκ οἶδα ὑμᾶς», καὶ ὥστε μετὰ καθαροῦ συνειδότος καὶ πολλῶν τῶν κατορθωμάτων τὸν ἐπίμοχθον τοῦτον διανύσαι βίον καὶ τὸ χαλεπὸν πλεῦσαι πέλαγος ἐξ οὐρίας. Ἡγεῖται δὲ αὐτοῖς τῆς εὐχῆς, ὁ πατὴρ καὶ ὁ προεστηκώς. Εἶτα ἀνασιάντες καὶ τελέσαντες τὰς ἁγίας ἐκείνας καὶ συνεχεῖς εὐχάς, ἀνισχούσης τῆς ἀκτῖνος,

21. Ματθ. 25, 12.

κρεββάτι των πολὺ ἐνωρὶς τὸ πρωῒ γεμᾶτοι ἀπὸ χαρὰν καὶ εὐχαρίστησιν καὶ ἀφοῦ στήσουν ἕνα χορὸν ὅλοι μαζί, μὲ χαρούμενην συνείδησιν καὶ μὲ στόμα, ψάλλουν ὕμνους εἰς τὸν Θεὸν τῶν ὅλων καὶ τὸν δοξολογοῦν καὶ τὸν εὐχαριστοῦν δι' ὅλας τὰς εὐεργεσίας του, τὰς ἀτομικὰς καὶ τὰς κοινάς. Ὥστε λοιπὸν ἐὰν θέλετε, ἀφοῦ ἀφήσωμεν τὸν Ἀδάμ, ἂς ἐρωτήσωμεν ὡς πρὸς τί διαφέρει τῶν ἀγγέλων ὁ χορὸς αὐτὸς ποὺ ψάλλει εἰς τὴν γῆν καὶ λέγει· «Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία»[20]. Ἀκόμη δὲ καὶ ἡ ἐνδυμασία των εἶναι ἀνταξία τῆς ἀρετῆς των. Διότι βέβαια δὲν εἶναι στολισμένοι ὡσὰν ἐκείνους ποὺ περιφέρονται μὲ τοὺς χιτῶνας των εἰς τὰς ὁδούς, τοὺς μαλθακοὺς καὶ χαυνωμένους, ἀλλὰ ὡσὰν τοὺς μακαρίους ἐκείνους ἀγγέλους, τὸν Ἠλίαν, τὸν Ἐλισσαῖον, τὸν Ἰωάννην καὶ τοὺς ἀποστόλους, τῶν ὁποίων τὰ ἐνδύματα ἦσαν κατεσκευασμένα, τῶν μὲν ἀπὸ τρίχας αἰγῶν, τῶν δὲ ἀπὸ τρίχας καμήλων, δι' ὡρισμένους μάλιστα ἀπὸ αὐτοὺς ἤρκεσαν καὶ μόνον τὰ δέρματα τῶν ζώων καὶ αὐτὰ πολὺ πεπαλαιωμένα

Ἔπειτα, ἀφοῦ ψάλλουν τοὺς ὕμνους ἐκείνους καὶ κάμψουν τὰ γόνατα, παρακαλοῦν τὸν Θεὸν ποὺ ἐξύμνησαν διὰ πράγματα, τὰ ὁποῖα ὡρισμένοι οὔτε καὶ νὰ τὰ σκεφθοῦν ἠμποροῦν μὲ εὐκολίαν. Διότι τίποτε ἀπὸ τὰ παρόντα δὲν ζητοῦν καὶ κανένα λόγον δὲν κάνουν δι' αὐτά, ἀλλὰ ζητοῦν νὰ ἠμπορέσουν νὰ σταθοῦν μὲ παρρησίαν πρὸ τοῦ φοβεροῦ βήματος, ὅταν θὰ ἔλθῃ ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ νὰ κρίνῃ ζῶντας καὶ νεκρούς, καὶ κανεὶς νὰ μὴ ἀκούσῃ τὴν φοβερὰν ἐκείνην φωνήν, ποὺ λέκει, «δὲν σᾶς γνωρίζω»[21], καὶ ἀκόμη νὰ διανύσουν τὸν ἐπίπονον αὐτὸν βίον μὲ καθαρὰν συνείδησιν καὶ πολλὴν προκοπὴν εἰς ἔργα ἀρετῆς καὶ νὰ πλεύσουν μὲ γαλήνην τὸ φοβερὸν πέλαγος. Προΐσταται δὲ αὐτῶν κατὰ τὴν προσευχήν αὐτὴν ὁ πατήρ, ὁ ἡγούμενος αὐτῶν. Ἐν συνεχείᾳ, ἀφοῦ σηκωθοῦν καὶ τελειώσουν τὰς ἁγίας ἐκείνας καὶ συνεχεῖς προσευχάς, μὲ τὴν ἀνατολὴν τοῦ ἡλίου μεταβαίνει ὁ καθένας εἰς τὴν ἐργασίαν του, συγκεν-

εἰς ἔργον ἄπεισιν ἕκαστος, πολλὴν πρόσοδον ἐντεῦθεν τοῖς δεομένοις συνάγοντες.

4. Ποῦ νῦν εἰσιν οἱ τοῖς διαβολικοῖς ἑαυτοὺς ἐκδιδόντες χοροῖς καὶ τοῖς ἄσμασι τοῖς πορνικοῖς καὶ ἐν θεάτροις καθήμενοι; Αἰσχύνομαι μὲν γὰρ μεμνημένος ἐκείνων· πλὴν διὰ τὴν ἀσθένειαν ὑμῶν ἀνάγκη καὶ τοῦτο ποιῆσαι. Καὶ γὰρ ὁ Παῦλός φησιν· «ὥσπερ γὰρ παρεστήσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ ἀκαθαρσίᾳ, οὕτω νῦν παραστήσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ δικαιοσύνῃ εἰς ἁγιασμόν». Καὶ ἡμεῖς τοίνυν, φέρε παρεξετάσωμεν τὸν χορὸν τὸν ἐκ τῶν πορνευομένων γυναικῶν καὶ τῶν ἡταιρηκότων νέων συνεστῶτα ἐν τῇ σκηνῇ, καὶ τοῦτον αὐτὸν τὸν τῶν μακαρίων τούτων, εἰς ἡδονῆς λόγον, δι' ἣν μάλιστα πολλοὶ τῶν ῥᾳθύμων νέων ἁλίσκονται ταῖς ἐκείνων παγίσι. Τοσοῦτον γὰρ τὸ μέσον εὑρήσομεν, ὅσον εἰ ἀγγέλων τις ἤκουσεν ᾀδόντων ἄνω τὴν παναρμόνιον μελῳδίαν ἐκείνην καὶ κυνῶν καὶ χοίρων ἐπὶ τῆς κοπρίας κατωρυομένων καὶ γρυζόντων. Διὰ τούτων μὲν γὰρ τῶν στομάτων ὁ Χριστός, δι' ἐκείνων δὲ τῆς γλώττης ὁ διάβολος φθέγγεται. Ἀλλὰ σύριγγες συνηχοῦσιν ἐκείνοις ἀσήμῳ φωνῇ καὶ ἀτερπεῖ τῇ ὄψει, τῶν γνάθων αὐτοῖς φυσωμένων καὶ τῶν νεύρων διασπωμένων; Ἀλλ' ἐνταῦθα ἡ τοῦ Πνεύματος ἐνηχεῖ χάρις, ἀντὶ αὐλοῦ καὶ κιθάρας καὶ σύριγγος τοῖς τῶν ἁγίων στόμασι κεχρημένη. Μᾶλλον δὲ ὅσα ἂν εἴπωμεν, οὐ δυνατὸν παραστῆσαι τὴν ἡδονὴν διὰ τοὺς τῷ πηλῷ καὶ τῇ πλινθείᾳ προσηλωμένους. Διὰ τοῦτο καὶ ἐβουλόμην τινὰ τῶν περὶ ταῦτα μαινομένων λαβεῖν καὶ ἀπαγαγεῖν ἐκεῖ καὶ δεῖξαι τῶν ἁγίων τὸν χορὸν τούτων, καὶ οὐκ ἂν ἐδέησέ

22. Ρωμ. 6, 19.

τρώνοντες μὲ τὸν τρόπον αὐτὸν πολλὰ ἔσοδα δι' αὐτοὺς ποὺ ἔχουν ἀνάγκην.

4. Ποῦ εἶναι τώρα ἐκεῖνα ποὺ παραδίδουν τοὺς ἑαυτούς των εἰς τοὺς διαβολικοὺς χοροὺς καὶ τὰ πορνικὰ τραγούδια καὶ συχνάζουν εἰς τὰ θέατρα; καὶ βέβαια ἐντρέπομαι νὰ τοὺς φέρω εἰς τὴν μνήμην μου, ἀλλ' ὅμως χάριν τῆς ἰδικῆς σας ἀσθένειας εἶναι ἀνάγκη νὰ τὸ κάνω καὶ αὐτό. Καθ' ὅσον καὶ ὁ Παῦλος λέγει· «Ὅπως ἀκριβῶς λοιπὸν προσφέρατε τὰ μέλη σας σκλάβους εἰς τὴν ἁμαρτίαν, ἔτσι τώρα νὰ προσφέρετε τὰ μέλη σας δοῦλα εἰς τὴν ἀρετὴν πρὸς ἁγιασμόν σας»[22]. Καὶ ἡμεῖς λοιπὸν ἐμπρὸς ἂς ἐξετάσωμεν παραλλήλως καὶ τὸν χορὸν ποὺ ἀπαρτίζουν εἰς τὴν σκηνὴν τοῦ θεάτρου αἱ πορνευόμεναι γυναῖκες καὶ οἱ θηλυπρεπεῖς νέοι καὶ τὸν χορὸν τῶν μακαρίων αὐτῶν μοναχῶν ἀπὸ πλευρᾶς ἡδονῆς, ἐξ αἰτίας τῆς ὁποίας μάλιστα πολλοὶ ἀπὸ τοὺς ραθύμους νέους συλλαμβάνονται εἰς τὰς παγίδας αὐτῶν. Καὶ θὰ εὕρωμεν πράγματι νὰ ὑπάρχῃ τόση διαφορὰ μεταξὺ τῶν δύο αὐτῶν χορῶν, ὅση θὰ ὑπῆρχεν ἐὰν κάποιος εἶχεν ἀκούσει ἀγγέλους νὰ ψάλλουν εἰς τὸν οὐρανὸν τὴν παναρμόνιον ἐκείνην μελῳδίαν, καὶ σκύλους καὶ χοίρους νὰ οὐρλιάζουν καὶ νὰ μουγκρίζουν ἐπάνω εἰς τὴν κοπριάν. Διότι μὲ τὰ μὲν στόματα τῶν μοναχῶν δοξάζεται ὁ Χριστός, μὲ τὴν γλῶσσαν δὲ ἐκείνου ὑμνεῖται ὁ διάβολος. Μήπως ὅμως ἐκεῖ ἠχοῦν αὐλοὶ μαζὶ μὲ τὴν χωρὶς καμμίαν ἀξίαν φωνήν των καὶ τὴν ἀπαίσιαν ὄψιν των, καθὼς φουσκώνουν αἱ σιαγόνες των καὶ τεντώνουν τὰ νεῦρα των; Ἀλλὰ καὶ εἰς τὴν περίπτωσιν τῶν μοναχῶν ἐνηχεῖ ἡ χάρις τοῦ ἁγίου Πνεύματος, χρησιμοποιοῦσα τὰ στόματα τῶν ἁγίων ἀντὶ αὐλοῦ, κιθάρας καὶ φλογέρας. Μᾶλλον δὲ ὅσα καὶ νὰ εἴπω, δὲν θὰ ἠμπορέσω νὰ παρουσιάσω τὴν ἡδονήν, δι' αὐτοὺς ποὺ εἶναι προσκολλημένοι εἰς τὴν λάσπην καὶ τὸ χῶμα. Διὰ τοῦτο καὶ θὰ ἤθελα νὰ πάρω κάποιον ἀπὸ αὐτοὺς τοὺς μανιακοὺς καὶ νὰ τὸν ὁδηγήσω ἐκεῖ καὶ νὰ τοῦ δείξω τὸν χορὸν αὐτῶν τῶν ἁγίων καὶ δὲν θὰ ἐχρειάζετο εἰς τὸ ἑξῆς κανένας λόγος μου.

μοι λόγον λοιπόν. Πλὴν κἂν πρὸς πηλίνους διαλεγώμεθα, πειρασόμεθα καὶ τῷ λόγῳ κἂν κατὰ μικρὸν αὐτοὺς ἀνασπάσαι τῆς ἰλύος καὶ τῶν τελμάτων.

Ἐκεῖθεν μὲν γὰρ εὐθέως πῦρ δέχεται ἔρωτος ἀτόπου ὁ ἀκροατής· ὡς γὰρ οὐκ ἀρκούσης τῆς ὄψεως τῆς πόρνης φλέξαι τὴν διάνοιαν, καὶ τὴν ἀπὸ τῆς φωνῆς προστιθέασι λύμην· ἐνταῦθα δέ, κἂν ἔχῃ τι τοιοῦτον ἡ ψυχή, ἀποτίθεται εὐθέως. Οὐχ ἡ φωνὴ δὲ μόνον, οὐδὲ ἡ ὄψις, ἀλλὰ καὶ τὰ ἱμάτια μᾶλλον τούτων θορυβεῖ τοὺς ὁρῶντας. Κἂν πένης ᾖ τις τῶν παχυτέρων καὶ ἠμεληκότων, ἀπὸ τῆς θεωρίας μυρία ἀποδυσπετήσει πολλάκις καὶ πρὸς ἑαυτὸν ἐρεῖ, ὅτι ἡ μὲν πόρνη καὶ ὁ ἡταιρηκώς, μαγείρων τέκνα καὶ σκυτοτόμων, πολλάκις δὲ καὶ οἰκετῶν, ἐν τοσαύτῃ ζῶσι τρυφῇ, ἐγὼ δὲ ἐλεύθερος καὶ ἐξ ἐλευθέρων, δικαίους πόνους αἱρούμενος, οὐδὲ ὄναρ ταῦτα φαντασθῆναι δύναμαι· καὶ οὕτως ἐμπρησθεὶς ὑπὸ τῆς ἀθυμίας ἄπεισιν. Ἐπὶ δὲ τῶν μοναχῶν οὐδὲν τοιοῦτον, ἀλλὰ καὶ τοὐναντίον ἅπαν. Ὅταν γὰρ ἴδῃ πλουσίων παῖδας καὶ προγόνων περιφανῶν ἐκγόνους τοιαῦτα ἠμφιεσμένους ἱμάτια, οἷα οὐδὲ οἱ ἔσχατοι τῶν πενήτων, καὶ ἐπὶ τούτῳ χαίροντας, ἐννοήσατε πόσην τῆς πενίας παραμυθίαν δεξάμενος ἄπεισι. Κἂν πλούσιος ᾖ, σωφρονισθεὶς ἀναχωρεῖ, βελτίων γενόμενος.

Πάλιν ἐν μὲν τῷ θεάτρῳ ὅταν ἴδωσι χρυσία περικειμένην τὴν πόρνην, ὁ μὲν πένης οἰμώξεται καὶ θρηνήσει, τὴν ἑαυτοῦ γυναῖκα οὐδὲν τοιοῦτον ἔχουσαν βλέπων, οἱ δὲ πλουτοῦντες ὑπερόψονται καὶ διαπτύουσιν ἀπὸ τῆς θέας ταύτης

Ἀλλὰ ὅμως ἔστω καὶ ἂν ὁμιλῶ πρὸς ἀνθρώπους μὲ γήϊνα φρονήματα, θὰ προσπαθήσω μὲ τὸν λόγον, ἔστω καὶ κατ' ἐλάχιστον νὰ τοὺς ἀποσύρω ἀπὸ τὴν λάσπην καὶ τὸν βοῦρκον.

Λοιπὸν ἀπὸ μὲν τὰ θέατρα ὁ ἀκροατὴς δέχεται κατ' εὐθεῖαν τὸ πῦρ τοῦ παραλόγου ἔρωτος. Διότι, ὡσὰν νὰ μὴ ἀρκοῦσεν ἡ παρουσία τῆς πόρνης διὰ νὰ τοῦ ἀνάψῃ τὴν σκέψιν τοῦ προστίθεται καὶ ἡ καταστροφὴ ἀπὸ τὴν φωνήν της, ἐνῷ εἰς τὴν περίπτωσιν τῶν μοναχῶν καὶ ἂν ἀκόμη ἡ ψυχὴ πάσχῃ ἀπὸ κάτι παρόμοιον, τὸ ἀποβάλλει ἀμέσως. Ὄχι μόνον δὲ ἡ φωνή, οὔτε καὶ ἡ ὄψις, ἀλλὰ καὶ ἡ ἐνδυμασία ἐρεθίζει ἀκόμη περισσότερον τοὺς θεατάς. Καὶ ἂν ὁ προσηλωμένος εἰς τὴν ὕλην καὶ ἀδιάφορος θεατὴς συμβῇ νὰ εἶναι κάποιος πτωχός, ἀπὸ τὸ θέαμα θὰ ἀγανακτήσῃ πολλὰς φορὰς καὶ θὰ εἰπῇ εἰς τὸν ἑαυτόν του, ὅτι ἡ μὲν πόρνη καὶ ὁ θηλυπρεπὴς νέος, ἂν καὶ εἶναι παιδιὰ μαγείρων καὶ ὑποδηματοποιῶν, πολλὰς φορὰς δὲ καὶ δούλων, ζοῦν μέσα εἰς τόσην τρυφήν, ἐνῷ ἐγώ, ἂν καὶ εἶμαι ἐλεύθερος καὶ κατάγομαι ἀπὸ ἐλευθέρους γονεῖς, προτιμῶν τοὺς δικαίους τόπους, δὲν ἠμπορῶ οὔτε εἰς τὸν ὕμνον μου νὰ τὰ φαντασθῶ αὐτά· καὶ ἀφοῦ κατακυριευθῇ μὲ τὸν τρόπον αὐτὸν ἀπὸ τὴν στενοχώριαν θὰ φύγῃ. Εἰς τὴν περίπτωσιν τῶν μοναχῶν ὅμως δὲν συμβαίνει τίποτε τὸ παρόμοιον, ἀλλὰ τὸ ἐντελῶς ἀντίθετον. Διότι, ὅταν ἰδῇ τὰ παιδιὰ τῶν πλουσίων καὶ τοὺς ἀπογόνους τῶν ἐνδόξων προγόνων νὰ φοροῦν τέτοιου εἴδους ἐνδύματα, ποὺ δὲν τὰ φοροῦν οὔτε οἱ τελευταῖοι ἀπὸ τοὺς πτωχούς, καὶ νὰ χαίρωνται ἐξ αἰτίας αὐτοῦ, σκεφθῆτε πόσην παρηγορίαν τῆς πτωχείας παίρνει καὶ φεύγει. Καὶ ἂν συμβῇ νὰ εἶναι πλούσιος, ἀναχωρεῖ, ἀφοῦ σωφρονισθῇ, γενόμενος καλύτερος.

Ἐπίσης, εἰς μὲν τὸ θέατρον, ὅταν ἰδοῦν τὴν πόρνην νὰ στολίζεται μὲ χρυσᾶ κοσμήματα, ὁ μὲν πτωχὸς θὰ στενοχωρηθῇ καὶ θὰ θρηνήσῃ, βλέπων τὴν γυναῖκα του νὰ μὴ ἔχῃ τίποτε παρόμοιον, οἱ δὲ πλούσιοι θὰ περιφρονήσουν καὶ θὰ ἐγκαταλείψουν τὰς συζύγους των ἐξ αἰτίας αὐτοῦ τοῦ θεά-

τὰς συνοικούσας αὐτοῖς. Ὅταν γὰρ καὶ σχῆμα καὶ βλέμμα καὶ φωνὴν καὶ βάδισιν πάντα διακεκλασμένα ἐκείνη παρέχῃ τοῖς ὁρῶσιν, ἐμπρησθέντες ἀναχωροῦσι, καὶ αἰχμάλωτοι λοιπὸν εἰς τὰς οἰκίας εἰσέρχονται τὰς ἑαυτῶν. Ἐντεῦθεν αἱ ὕβρεις καὶ αἱ ἀτιμίαι, ἐντεῦθεν αἱ ἀπέχθειαι, οἱ πόλεμοι, οἱ θάνατοι οἱ καθημερινοί· ἐντεῦθεν ἀβίωτος τοῖς ἁλοῦσιν ὁ βίος, καὶ ἡ συνοικοῦσα λοιπὸν ἀηδὴς καὶ τὰ παιδία οὐχ ὁμοίως ποθεινὰ καὶ πάντα ἄνω καὶ κάτω τὰ τῆς οἰκίας, καὶ ὑπ' αὐτῆς λοιπὸν τῆς ἀκτῖνος ἐνοχλεῖσθαι δοκεῖ. Ἀλλ' οὐκ ἀπὸ τῶν χωρῶν τούτων ἀηδία τις τοιαύτη, ἀλλ' ἥμερον καὶ πρᾶον δέξεται ἡ γυνὴ τὸν ἄνδρα, πάσης ἡδονῆς ἀτόπου ἀπηλλαγμένον, καὶ εὐκολώτερον αὐτῷ χρήσεται, ἢ πρὸ τούτου. Τοιαῦτα ὁ μὲν χορὸς ἐκεῖνος τίκτει κακά, οὗτος δὲ ἀγαθά· ὁ μὲν ἀπὸ προβάτων λύκους ποιῶν, οὗτος δὲ ἀπὸ λύκων ἀρνειοὺς ἐργαζόμενος.

Ἀλλ' οὔπω περὶ τῆς ἡδονῆς οὐδὲν οὐδέπω τάχα εἰρήκαμεν. Καὶ τί γένοιτ' ἂν ἥδιον τοῦ μὴ θορυβεῖσθαι μηδὲ ὀδυνᾶσθαι τὴν διάνοιαν, μηδὲ ἀθυμεῖν καὶ στένειν; Πλὴν ἀλλὰ καὶ περαιτέρω τὸν λόγον προαγάγωμεν, καὶ ἑκατέρας τῆς ᾠδῆς καὶ τῆς θέας τὴν ἀπόλαυσιν ἐξετάσωμεν· καὶ ὀψώμεθα τὴν μὲν μέχρις ἑσπέρας μένουσαν, ἕως ἂν ἐν τῷ θεάτρῳ καθέζηται ὁ θεατής, μετὰ δὲ ταῦτα κένιρου παντὸς χαλεπώτερον ἀνιῶσιν αὐτόν· ἐνταῦθα δὲ διηνεκῶς ἐνακμάζουσαν ταῖς ψυχαῖς τῶν ἑωρακότων. Καὶ γὰρ καὶ τῶν ἀνδρῶν τὸν τύπον καὶ τοῦ τόπου τὸ τερπνὸν καὶ τῆς διαγωγῆς τὸ γλυκὺ καὶ τῆς πολιτείας τὸ καθαρὸν καὶ τῆς καλλίστης

ματος. Διότι ὅταν ἡ πόρνη προβάλλῃ εἰς τοὺς θεατὰς κατὰ τρόπον προκλητικὸν καὶ τὴν ἐνδυμασίαν καὶ τὸ βλέμμα, καὶ τὴν φωνὴν καὶ τὸ βάδισμα καὶ τὰ πάντα, φεύγουν ἐκεῖνοι ἀπὸ ἐκεῖ κατακυριευμένοι ἀπὸ τὴν φλόγα ἐκείνην καὶ μεταβαίνουν ἔτσι αἰχμάλωτοι εἰς τὰ σπίτια των. Ἀπὸ ἐδῶ προέρχονται αἱ ὕβρεις καὶ αἱ ἀτιμώσεις, ἀπὸ ἐδῶ αἱ περιφρονήσεις, αἱ διαμάχαι καὶ οἱ καθημερινοὶ θάνατοι. Ἀπὸ ἐδῶ γίνεται ἀνυπόφορη ἡ ζωὴ δι' αὐτοὺς ποὺ αἰχμαλωτίζονται ἀπὸ τὴν πόρνην καὶ ἡ σύζυγος προκαλεῖ εἰς τὸ ἑξῆς ἀηδίαν, καὶ τὰ παιδιὰ δὲν εἶναι ἀγαπητὰ ὅπως πρῶτα, καὶ γίνονται ὅλα ἄνω κάτω εἰς τὸ σπίτι, καὶ φαίνεται ὅτι ἐνοχλεῖται καὶ ἀπὸ αὐτὴν ἀκόμη τὴν ἡλιακὴν ἀκτῖνα. Ὅμως δὲν προκαλεῖται καμμία παρομοία ἀηδία ἀπὸ τοὺς χοροὺς τῶν μοναχῶν, ἀλλὰ θὰ δεχθῇ ἡ σύζυγος τὸν ἄνδρα ἥμερον καὶ πρᾷον, ἀπηλλαγμένον ἀπὸ κάθε παράλογον ἡδονὴν καὶ θὰ εἶναι ἡ συμπεριφορά του περισσότερον εὐχάριστος τώρα, παρὰ προηγουμένως. Ὁ μὲν χορὸς λοιπὸν τῶν θεάτρων γεννᾷ κακά, τῶν δὲ μοναχῶν ἀγαθά. Καὶ ὁ μὲν ἕνας ἀπὸ πρόβατα δημιουργεῖ λύκους, ἐνῷ ὁ ἄλλος ἀπὸ λύκους δημιουργεῖ ἀρνιά.

Ἀλλ' ὅμως φαίνεται πῶς δὲν εἴπαμεν τίποτε ἀκόμη διὰ τὴν ἡδονήν. Καὶ τί θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ πιὸ εὐχάριστον ἀπὸ τὸ νὰ μὴ ταράσσεται οὔτε νὰ ὑποφέρῃ ἡ ψυχὴ τοῦ ἀνθρώπου οὔτε νὰ στενοχωρῆται καὶ νὰ ἀναστενάζῃ; Πλὴν ὅμως πρέπει νὰ συνεχίσωμεν ἀκόμη τὸν λόγον καὶ ἂς ἐξετάσωμεν τὴν ἀπόλαυσιν ποὺ χαρίζει κάθε ἕνα ἀπὸ αὐτὰ τὰ ἄσματα καὶ τὰ θεάματα· καὶ θὰ ἰδοῦμεν ὅτι ἡ μὲν μία διαρκεῖ μόνον μέχρι τὴν ἑσπέραν, ὅσον χρόνον δηλαδὴ ὁ θεατὴς εὑρίσκεται εἰς τὸ θέατρον, ἐνῷ ὕστερα τὸν κάνει νὰ ὑποφέρῃ φοβερώτερον ἀπὸ ὁποιοδήποτε ἄλλο αἰχμηρὸν ἀντικείμενον, ἐνῷ αὐτὴ ποὺ προέρχεται ἀπὸ τοὺς μοναχοὺς αὐξάνει συνεχῶς μέσα εἰς τὰς ψυχὰς τῶν θεατῶν. Καθ' ὅσον καὶ τὸν τύπον τῶν ἀνδρῶν καὶ τὸ εὐχάριστον τοῦ τόπου καὶ τὴν γλυκύτητα τῆς συμπεριφορᾶς καὶ τὴν καθαρότητα τοῦ τρόπου ζωῆς των καὶ τὴν χάριν τοῦ ὡραιοτάτου καὶ

ᾠδῆς καὶ πνευματικῆς τὴν χάριν, ἔχουσιν ἑαυτοῖς διαπαντὸς ἐνιζάνοντα. Οἱ γοῦν τούτων ἀπολαύοντες διηνεκῶς τῶν λιμένων, ὥσπερ τινὰ χειμῶνα λοιπὸν φεύγουσι τῶν πολλῶν τοὺς θορύβους. Οὐκ ἄδοντες δὲ μόνον καὶ εὐχόμενοι, ἀλλὰ καὶ ταῖς βίβλοις προσηλωμένοι, ιερπνόν τι θέαμα τοῖς ὁρῶσίν εἰσιν. Ἐπειδὰν γὰρ τὸν χορὸν διαλύσωσιν, ὁ μὲν τὸν Ἡσαΐαν λαβὼν ἐκείνῳ διαλέγεται, ὁ δὲ τοῖς ἀποστόλοις ὁμιλεῖ, ἕτερος τὰ παρ' ἑτέρων πονηθέντα ἔπεισι, καὶ φιλοσοφεῖ περὶ Θεοῦ, περὶ τοῦδε τοῦ παντός, περὶ τῶν ὁρωμένων, περὶ τῶν ἀοράτων, περὶ αἰσθητῶν, περὶ νοητῶν, περὶ τῆς εὐτελείας τούτου τοῦ βίου, περὶ τῆς τοῦ μέλλοντος μεγαλειότητος.

5. Καὶ τρέφονται τροφὴν ἀρίστην, οὐ σάρκας ἀλόγων ἐψημένας παρατιθέμενοι, ἀλλὰ λόγια Θεοῦ ὑπὲρ μέλι καὶ κηρίον, μέλι θαυμάσιον καὶ πολλῷ κρεῖττον ἢ κατὰ τὴν ἔρημον ὁ Ἰωάννης τὸ παλαιὸν ἐσιτεῖτο. Τὸ γὰρ μέλι τοῦτο οὐ μέλιτταί τινες ἄγριαι τοῖς ἄνθεσιν ἐφιζάνουσαι συλλέγουσιν, οὐδὲ δρόσον πεπαίνουσαι τοῖς σίμβλοις ἐνιᾶσιν, ἀλλ' ἡ τοῦ Πνεύματος κατασκευάζουσα χάρις, ἀντὶ κηρίων καὶ σίμβλων καὶ συρίγγων ταῖς τῶν ἁγίων ἐναποτίθεται ψυχαῖς, ὥστε εἶναι τῷ βουλομένῳ μετὰ ἀδείας ἐσθίειν διηνεκῶς. Ταύτας δὴ οὖν τὰς μελίττας καὶ αὐτοὶ μιμούμενοι, περιίπτανται τοῖς κηρίοις τῶν ἁγίων βιβλίων, πολλὴν ἐντεῦθεν δρεπόμενοι τὴν ἡδονήν.

Καὶ εἰ βούλει μαθεῖν τὴν τράπεζαν τὴν ἐκείνων, ἐγγὺς γενοῦ, καὶ ὄψει τοιαῦτα ἐρευγομένους αὐτούς, προσηνῆ πάντα καὶ ἡδέα, καὶ εὐωδίας γέμοντα πνευματικῆς. Οὐδὲν αἰ-

πνευματικοῦ αὐτοῦ ἄσματος τὰ διατηροῦν σταθερὰ μέσα των εἰς ὅλην τὴν ζωήν των. Αὐτοὶ λοιπὸν ποὺ ἀπολαμβάνουν διαρκῶς αὐτὰ τὰ λιμάνια, ἀποφεύγουν εἰς τὸ ἑξῆς τοὺς θορύβους τοῦ κόσμου ὡσὰν κάποιαν κακοκαιρίαν. Καὶ ἀποτελοῦν εὐχάριστον θέαμα δι' αὐτοὺς ποὺ τοὺς βλέπουν, ὄχι μόνον ὅταν ψάλλουν καὶ προσεύχωνται, ἀλλὰ καὶ ὅταν εἶναι προσηλωμένοι εἰς τὰς ἱερὰς Γραφάς. Διότι μόλις τελειώσουν τὴν προσευχήν, ἄλλος μὲν παίρνει τὸ βιβλίον τοῦ Ἡσαΐου καὶ ὁμιλεῖ μὲ αὐτόν, ἄλλος ὁμιλεῖ μὲ τοὺς ἀποστόλους καὶ ἄλλος μελετᾷ τὰ συγγράματα ἄλλων καὶ φιλοσοφεῖ περὶ τοῦ Θεοῦ, περὶ τοῦ σύμπαντος, περὶ τῶν ὁρατῶν, περὶ τῶν ἀοράτων, περὶ τῶν αἰσθητῶν, περὶ τῶν πνευματικῶν, περὶ τῆς εὐτελείας τῆς παρούσης ζωῆς καὶ περὶ τοῦ μεγαλείου τῆς μελλούσης.

5. Ἀκόμη τρέφονται μὲ ἀρίστην τροφὴν θέτοντες εἰς τὴν τράπεζάν των ὄχι ἐψημένας σάρκας ἀλόγων ζώων, ἀλλὰ τρεφόμενοι μὲ τὰ λόγια τοῦ Θεοῦ, ποὺ εἶναι γλυκύτερα ἀπὸ τὸ μέλι καὶ τὴν κηρήθραν, ποὺ εἶναι μέλι θαυμάσιον καὶ πολὺ καλύτερον ἀπὸ ἐκεῖνο μὲ τὸ ὁποῖον ὁ Ἰωάννης ἐτρέφετο τὴν παλαιὰν ἐποχὴν εἰς τὴν ἔρημον. Διότι αὐτὸ τὸ μέλι δὲν τὸ συγκεντρώνουν ὡρισμέναι ἄγριαι μέλισσαι, ποὺ κάθονται ἐπάνω εἰς τὰ λουλούδια, οὔτε καθιστοῦν γλυκεῖαν τὴν δροσιὰν καὶ τὴν ἐναποθέτουν εἰς τὰς κυψέλας, ἀλλὰ τὸ κατασκευάζει ἡ χάρις τοῦ ἁγίου Πνεύματος καὶ τὸ ἐναποθέτει, ἀντὶ τῶν κηρηθρῶν, τῶν κυψελῶν, καὶ τῶν σπηλαίων, εἰς τὰς ψυχὰς τῶν πιστῶν, ὥστε, ἐκεῖνος ποὺ θέλει, νὰ ἠμπορῇ νὰ τρώγῃ συνεχῶς χωρὶς φόβον. Αὐτὰς λοιπὸν τὰς μελίσσας μιμούμενοι καὶ αὐτοὶ πετοῦν γύρω ἀπὸ τὰς κηρήθρας τῶν ἁγίων βιβλίων, ἀποκομίζοντες ἀπὸ αὐτὰ μεγάλην ἡδονήν.

Καὶ ἐὰν θέλῃς νὰ γνωρίσῃς τὴν τράπεζαν ἐκείνων, πλησίασε καὶ θὰ ἀκούσῃς νὰ λέγουν τέτοια λόγια, ποὺ εἶναι ὅλα εὐχάριστα καὶ γλυκὰ καὶ γεμᾶτα ἀπὸ πνευματικὴν εὐωδίαν. Κανένα αἰσχρὸν λόγον δὲν ἠμποροῦν νὰ εἰποῦν τὰ

σχρὸν ἐκεῖνα τὰ στόματα ἐξενεγκεῖν δύναται ῥῆμα, οὐδὲν εὐιράπελον, οὐδὲν τραχύ, ἀλλὰ πάντα τῶν οὐρανῶν ἄξια. Οὐκ ἄν τις ἁμάρτοι, τὰ μὲν στόματα τῶν πολλῶν τῶν ἐν ἀγοραῖς συρομένων καὶ πρὸς τὰ βιωτικὰ λυσσώντων, βορβόρου τινὸς ὀχετοῖς παραβάλλων, τὰ δὲ τούτων πηγαῖς μέλι ρεούσαις καὶ νάματα προχεούσαις καθαρά. Εἰ δέ τις ἐδυσχέρανεν, ὅτι τὰ τῶν πολλῶν βορβόρου τινὸς προσεῖπον ὀχετούς, ἴσιω ὅτι σφόδρα φειδόμενος εἶπον. Ἡ γὰρ Γραφὴ οὐδὲ τούτῳ κέχρηται τῷ μέτρῳ, ἀλλ' ἑτέρῳ πολλῷ σφοδροτέρῳ παραδείγματι. «Ἰὸς» γάρ, φησίν, «ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν καὶ τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν». Ἀλλ' οὐ τὰ ἐκείνων τοιαῦτα, ἀλλ' εὐωδίας γέμει πολλῆς.

Καὶ τὰ μὲν ἐνταῦθα τοιαῦτα· τὰ δὲ ἐκεῖ ποῖος ἡμῖν παραστήσει λόγος; ποία ἐννοήσει διάνοια; τὴν λῆξιν τὴν ἀγγελικήν, τὴν μακαριότητα τὴν ἄφραστον, τὰ ἀπόρρητα ἀγαθά; Τάχα πολλοὶ διεθερμάνθητε νῦν, καὶ εἰς ἐπιθυμίαν ἐνεπέσετε τῆς καλῆς ταύτης πολιτείας· ἀλλὰ τί τὸ κέρδος, ὅταν ἐνταῦθα ὄντες μόνον τοῦτο ἔχητε τὸ πῦρ, ἐξελθόντες δὲ σβέσητε τὴν φλόγα καὶ καταμαρανθῇ οὗτος ὁ πόθος; Πῶς οὖν, ἵνα μὴ τοῦτο γένηται; Ὡς ἔστι σοι θερμὸς οὗτος ὁ ἔρως, ἄπελθε πρὸς αὐτοὺς ἐκείνους τοὺς ἀγγέλους, ἀνάκαυσον αὐτὸν πλέον. Οὐ γὰρ οὕτως ὁ παρ' ἡμῶν λόγος δυνήσεταί σε ἀνάψαι, ὡς ἡ τῶν πραγμάτων θέα. Μὴ εἴπῃς, διαλεχθῶ τῇ γυναικὶ καὶ διαλύσω τὰ πράγματα πρῶτον. Ἀρχὴ ῥαθυμίας αὕτη ἡ ἀναβολή. Ἄκουσον ὅτι συντάξασθαι τοῖς ἐν τῇ οἰκίᾳ ἠθέλησέ τις, καὶ οὐκ εἴασεν ὁ προφή-

23. Ψαλμ. 139, 4.
24. Ψαλμ. 5, 10.
25. Πρβλ. Γ' Βασιλ. 19, 20.

στόματα ἐκεῖνα, οὔτε εὐτράπελον, οὔτε σκληρόν, ἀλλ' ὅλα ὅσα λέγουν εἶναι ἀντάξια τῶν οὐρανῶν. Καὶ δὲν θὰ ἤθελεν ἀποτύχει κανεὶς ἐὰν παρωμοίαζε τὰ μὲν στόματα τῶν πολλῶν ἀνθρώπων, ποὺ περιφέρονται εἰς τὴν ἀγορὰν καὶ κάνουν ὡσὰν λυσσασμένοι διὰ τὰ βιωτικὰ πράγματα, μὲ ὀχετοὺς κάποιου βούρκου, τὰ δὲ στόματα τῶν μοναχῶν μὲ πηγὰς ποὺ ρέουν μέλι καὶ ἀναβλύζουν νάματα καθαρά. Καὶ ἐὰν κάποιος ἐδυσανασχέτησεν ἐπειδὴ ὠνόμασα τὰ στόματα τῶν πολλῶν ἀνθρώπων ὀχετοὺς κάποιου βούρκου, ἂς γνωρίζῃ ὅτι τὸ εἶπα αὐτὸ ἀπὸ πολὺ μεγάλο ἐνδιαφέρον. Διότι ἡ ἁγία Γραφὴ κάνει χρῆσιν αὐτοῦ τοῦ μέτρου, ἀλλὰ χρησιμοποιεῖ ἄλλο πολὺ πιὸ χειρότερον παράδειγμα. Διότι, λέγει, «δηλητήριον φιδιῶν ὑπάρχει κάτω ἀπὸ τὰ χείλη των»[23] καὶ «ὁ λάρυγξ των ὁμοιάζει μὲ τάφον ἀνοιγμένον»[24]. Ὅμως δὲν εἶναι παρόμοια τὰ στόματα τῶν μοναχῶν, ἀλλ' εἶναι γεμᾶτα ἀπὸ πολλὴν εὐωδίαν.

Καὶ ἔτσι μὲν ἔχουν τὰ τῶν μοναχῶν, ποῖος ὅμως ἀνθρώπινος λόγος θὰ παραστήσῃ τὰ ὅσα συμβαίνουν εἰς τὸν οὐρανόν; Ποῖος νοῦς ἠμπορεῖ νὰ τὰ συλλάβῃ; τὸ ἀγγελικὸν τέλος, τὴν ἐνέκφραστον μακαριότητα, τὰ ἀπόρρητα ἀγαθά; Ἴσως εἰς πολλοὺς τώρα νὰ ἤναψεν ἡ φλόγα καὶ νὰ ἐκυριεύθητε ἀπὸ τὴν ἐπιθυμίαν νὰ μιμηθῆτε αὐτὸν τὸν ἐνάρετον τρόπον ζωῆς· ποῖον ὅμως τὸ κέρδος, ὅταν ἔχετε τὴν φλόγα αὐτὴν μόνον ἐν ὅσῳ εὑρίσκεσθε ἐδῶ, καὶ ὅταν φύγετε, θὰ σβήσετε αὐτὴν καὶ θὰ μαρανθῇ ὁ πόθος σας αὐτός;

Τί πρέπει λοιπὸν νὰ κάνωμεν διὰ νὰ μὴ συμβῇ αὐτό; Ὅσον ἀκόμη ὁ πόθος σου αὐτὸς εἶναι θερμός, πήγαινε πρὸς ἐκείνους τοὺς ἀγγέλους καὶ κάνε ν' αὐξηθῇ ἡ φλόγα αὐτοῦ περισσότερον. Διότι ὁ ἰδικός μου λόγος δὲν θὰ ἠμπορέσῃ νὰ τὸν ἀνάψῃ τόσον, ὅσον ἡ θέα τῶν πραγμάτων. Μὴ εἴπῃς, Θὰ συζητήσω μὲ τὴν σύζυγόν μου καὶ θὰ τακτοποιήσω πρῶτα τὰ προβλήματά μου Ἡ ἀναβολὴ αὐτὴ εἶναι ἀρχὴ τῆς ραθυμίας. Ἄκουσε ὅτι κάποιος ἤθέλησε νὰ ἀποχαιρετήσῃ τοὺς ἀνθρώπους τῆς οἰκίας του καὶ δὲν τὸν ἄφησεν ὁ προφήτης[25].

της. Καὶ τί λέγω συντάξασθαι; Θάψαι πατέρα ἠθέλησεν ὁ μαθητής, καὶ οὐδὲ τοῦτο συνεχώρησεν ὁ Χριστός. Καίτοι τί σοι πρᾶγμα ἀναγκαῖον οὕτως εἶναι δοκεῖ, ὡς κηδεία παιρός; ἀλλ' οὐδὲ τοῦτο ἐπέτρεψε. Τί δήποτε; Ὅτι σφοδρὸς ἐφέστηκεν ὁ διάβολος, παρείσδυσίν τινα βουλόμενος λαβεῖν· κἂν ὀλίγης ἀσχολίας ἐπιλάβηται καὶ ἀναβολῆς, μεγάλην ἐργάζεται ῥαθυμίαν. Διὰ τοῦτο παραινεῖ τις, «μὴ ἀναβάλλου ἡμέραν ἐξ ἡμέρας». Οὕτω γὰρ δυνήσῃ τὰ πλείονα κατορθοῦν, οὕτω καὶ τὰ κατὰ τὴν οἰκίαν σου καλῶς διακείσεται. «Ζητεῖτε» γάρ, φησί, «τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν». Εἰ γὰρ ἡμεῖς τοὺς τὰ ἑαυτῶν ὑπερορῶντας, καὶ τῶν ἡμετέρων τὴν ἐπιμέλειαν προτιθέντας, ἐν πολλῇ καθιστῶμεν ἀμεριμνίᾳ· πολλῷ μᾶλλον ὁ Θεός, ὁ καὶ χωρὶς τούτων κηδόμενος καὶ προνοῶν.

Μὴ τοίνυν φροντίσῃς τῶν σῶν, ἀλλὰ ἄφες αὐτὰ τῷ Θεῷ. Ἂν γὰρ σὺ φροντίσῃς, ὡς ἄνθρωπος φροντίζεις· ἂν δὲ ὁ Θεὸς προνοήσῃ, ὡς Θεὸς προνοεῖ. Μὴ φροντίσῃς αὐτῶν ἀφεὶς τὰ μείζω, ἐπεὶ αὐτὸς οὐ σφόδρα αὐτῶν προνοήσει. Ἵν' οὖν σφόδρα αὐτῶν προνοῇ, αὐτῷ μόνῳ πάντα ἐπίτρεψον. Ἂν γὰρ καὶ αὐτὸς αὐτὰ μεταχειρίσῃ, ἀφεὶς τὰ πνευματικά, οὐ πολλὴν αὐτῶν αὐτὸς ποιήσεται πρόνοιαν. Ἵν' οὖν καὶ σοὶ ταῦτα εὖ διακέηται, καὶ φροντίδος ἀπαλλαγῇς ἁπάσης, ἔχον τῶν πνευματικῶν, ὑπερόρα τῶν βιωτικῶν· οὕτω γὰρ καὶ τὴν γῆν ἕξεις μετὰ τῶν οὐρανῶν, καὶ τῶν μελλόντων ἀγαθῶν ἐπιτεύξῃ, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

26. Πρβλ. Λουκᾶ 9, 59-60.
27. Σοφ. Σειρὰχ 5, 7.
28. Ματθ. 6, 33.

Καὶ διατί λέγω νὰ ἀποχαιρετήσῃ; Νὰ θάψῃ τὸν πατέρα του ἠθέλησεν ὁ μαθητής, καὶ οὔτε αὐτὸ τοῦ ἐπέτρεψεν ὁ Χριστός[26]. Ἂν καὶ βέβαια ποῖον πρᾶγμα σοῦ φαίνεται τόσον ἀναγκαῖον, ὅσον ἡ κηδεία τοῦ πατρός; ἀλλ' ὅμως οὔτε αὐτὸ τὸ ἐπέτρεψεν. Διατὶ λοιπόν; Διότι ὁ διάβολος παραμονεύει μὲ ἀλύγιστον τὴν ὁρμήν του διὰ νὰ ἠμπορέσῃ νὰ ἐπιτύχῃ κάποιαν διείσδυσιν· καὶ ἐὰν συμβῇ νὰ εὕρῃ μικρὰν φροντίδα καὶ ἀναβολήν, δημιουργεῖ μεγάλην ἀδιαφορίαν. Διὰ τοῦτο καὶ κάποιος συμβουλεύει· «Μὴ ἀναβάλλῃς ἀπὸ τὴν μίαν ἡμέραν εἰς ἄλλην ἡμέραν»[27]. Διότι ἔτσι θὰ ἠμπορέσῃς νὰ ἐπιτύχῃς περισσότερα πράγματα, ἔτσι καὶ αἱ ὑποθέσεις τοῦ σπιτιοῦ σου θὰ ρυθμισθοῦν καλύτερα. Διότι λέγει· «Ζητεῖτε τὴν βασιλείαν τοῦ Θεοῦ καὶ ὅλα αὐτὰ θὰ σᾶς δοθοῦν»[28]. Διότι, ἐὰν ἡμεῖς ἀπαλλάσσωμεν ἀπὸ κάθε φροντίδα ἐκείνους ποὺ ἀδιαφοροῦν διὰ τὰς ἰδικάς των ὑποθέσεις καὶ ἐπιφορτίζονται τὰς ἰδικάς μας, πολὺ περισσότερον θὰ τὸ κάνῃ αὐτὸ ὁ Θεός, ὁ ὁποῖος ἐπιδεικνύει καὶ χωρὶς αὐτὰ τὴν φροντίδα του καὶ τὴν πρόνοιάν του.

Μὴ φροντίζῃς λοιπὸν διὰ τὰ ἰδικά σου θέματα, ἀλλ' ἐμπιστεύσου αὐτὰ εἰς τὸν Θεόν. Διότι, ἐὰν φροντίσῃς ἐσύ, φροντίζεις ὡς ἄνθρωπος, ἂν ὅμως δείξῃ πρόνοιαν ὁ Θεός, προνοεῖ ὡς Θεός. Μὴ φροντίσῃς δι' αὐτά, ἀδιαφορῶν διὰ τὰ σπουδαιότερα, διότι ὁ Θεὸς δὲν θὰ δείξῃ πολὺ ἐνδιαφέρον δι' αὐτά. Διὰ νὰ προνοῇ λοιπὸν εἰς μεγάλον βαθμὸν δι' αὐτὰ ὁ Θεός, ἐμπιστεύσου ὅλα αὐτὰ εἰς αὐτόν. Διότι, ἐὰν σὺ ὁ ἴδιος ἀσχοληθῇς μὲ αὐτὰ ἀφήνων τὰ πνευματικά, δὲν θὰ δείξῃ μεγάλην πρόνοιαν δι' αὐτὰ ὁ Θεός. Ἄρα λοιπὸν διὰ νὰ ἔχουν καλὴν ἐξέλιξιν τὰ θέματά σου καὶ ν' ἀπαλλαγῇς ἀπὸ κάθε φροντίδα, φρόντισε διὰ τὰ πνευματικὰ καὶ περιφρόνησε τὰ ὑλικά· διότι ἔτσι καὶ τὴν γῆν θὰ ἐπιτύχῃς μαζὶ μὲ τὸν οὐρανὸν καὶ τὰ μελλοντικὰ ἀγαθὰ θὰ ἐπιτύχῃς, μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα καὶ ἡ δύναμις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΞΘ΄
Ματθ. 22, 1 - 14

«Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπε πάλιν ἐν παραβολαῖς. Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ βασιλεῖ, ὅστις ἐποίησε γάμους τῷ υἱῷ αὐτοῦ. Καὶ ἀπέστειλε τοὺς δούλους αὐτοῦ καλέσαι τοὺς κεκλημένους εἰς τοὺς γάμους, καὶ οὐκ ἤθελον ἐλθεῖν. Πάλιν ἀπέστειλεν ἄλλους δούλους, λέγων· εἴπατε τοῖς κεκλημένοις, τὸ ἄριστόν μου ἡτοίμασα, οἱ ταῦροί μου καὶ τὰ σιτιστὰ τεθυμένα, καὶ πάντα ἕτοιμα· δεῦτε εἰς τοὺς γάμους. Οἱ δὲ ἀμελήσαντες ἀπῆλθον, ὁ μὲν εἰς τὸν ἴδιον ἀγρόν, ὁ δὲ ἐπὶ τὴν ἐμπορίαν αὐτοῦ. Οἱ δὲ λοιποὶ κρατήσαντες τοὺς δούλους αὐτοῦ ὕβρισαν καὶ ἀπέκτειναν. Ὁ δὲ βασιλεὺς ἀκούσας ὠργίσθη, καὶ πέμψας τὰ στρατεύματα αὐτοῦ, ἀπώλεσε τοὺς φονεῖς ἐκείνων, καὶ τὴν πόλιν αὐτῶν ἐνέπρησε. Τότε λέγει τοῖς δούλοις· ὁ μὲν γάμος ἕτοιμός ἐστιν, οἱ δὲ κεκλημένοι οὐκ ἦσαν ἄξιοι. Πορεύεσθε ἐπὶ τὰς διεξόδους τῶν ὁδῶν, καὶ ὅσους ἂν εὕρητε, καλέσατε εἰς τοὺς γάμους. Καὶ ἐξελθόντες οἱ δοῦλοι εἰς τὰς ὁδούς, συνήγαγον πάντας ὅσους εὗρον, πονηροὺς καὶ ἀγαθούς· καὶ ἐπλήσθη ὁ γάμος τῶν κεκλημένων. Εἰσελθὼν δὲ ὁ βασιλεὺς θεάσασθαι, εἶδεν ἄνθρωπον οὐκ ἔχοντα ἔνδυμα γάμου· καὶ λέγει αὐτῷ· ἑταῖρε, πῶς εἰσῆλθες ὧδε μὴ ἔχων ἔνδυμα γάμου; Ὁ δὲ ἐφιμώθη. Ὁ δὲ εἶπε τοῖς διακόνοις· δήσαντες αὐτοῦ

ΟΜΙΛΙΑ ΞΘ΄
Ματθ. 22, 1 - 14

«Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπε πάλιν μὲ παραβολάς. Ἡ βασιλεία τῶν οὐρανῶν ὁμοιάζει μὲ ἄνθρωπον βασιλέα, ὁ ὁποῖος ἔκανε τοὺς γάμους τοῦ υἱοῦ του. Καὶ ἔστειλε τοὺς δούλους του νὰ καλέσουν τοὺς καλεσμένους εἰς τοὺς γάμους, ἀλλ᾽ αὐτοὶ δὲν ἤθελον νὰ ἔλθουν. Πάλιν ἔστειλεν ἄλλους δούλους, λέγων· Εἴπατε εἰς τοὺς καλεσμένους· τὸ γεῦμα μου εἶναι ἕτοιμον, οἱ ταῦροι καὶ τὰ μανάρια μου εἶναι σφαγμένα καὶ ὅλα εἶναι ἕτοιμα· ἐλᾶτε εἰς τοὺς γάμους. Αὐτοὶ ὅμως ἔδειξαν ἀδιαφορίαν καὶ μετέβησαν, ἄλλος μὲν εἰς τὸ χωράφι του καὶ ἄλλος εἰς τὴν ἐπιχείρησίν του, οἱ δὲ ὑπόλοιποι, ἀφοῦ συνέλαβον τοὺς δούλους του, τοὺς ἐκακοποίησαν καὶ τοὺς ἐφόνευσαν. Ὅταν ὅμως ὁ βασιλεὺς τὰ ἤκουσεν αὐτά, ὠργίσθη καὶ ἔστειλε τὸν στρατόν του, ἐφόνευσεν ἐκείνους τοὺς φονεῖς καὶ κατέκαυσε τὴν πόλιν των. Τότε λέγει εἰς τοὺς δούλους του· Ὁ μὲν γάμος εἶναι ἕτοιμος, ἀλλ᾽ οἱ καλεσμένοι δὲν ἦσαν ἄξιοι. Πηγαίνετε εἰς τὰ σταυροδρόμια καὶ ὅσους θὰ βρῆτε καλέσατέ τους εἰς τοὺς γάμους. Καὶ ἀφοῦ ἐβγῆκαν οἱ δοῦλοι εἰς τοὺς δρόμους, ἐμάζευσαν ὅλους ὅσους εὗρον, κακοὺς καὶ καλούς, καὶ ἐγέμισεν ἡ αἴθουσα τῶν γάμων ἀπὸ τοὺς καλεσμένους. Ὅταν ὅμως εἰσῆλθεν ὁ βασιλεὺς διὰ νὰ ἰδῇ τοὺς καλεσμένους, εἶδε κάποιον ἄνθρωπον ποὺ δὲν εἶχεν ἔνδυμα γάμου καὶ τοῦ λέγει· Φίλε, πῶς εἰσῆλθες ἐδῶ χωρὶς νὰ ἔχῃς τὸ ἔνδυμα τοῦ γάμου; Αὐτὸς δὲ δὲν ἀπήντησεν. Ὁ δὲ βασιλεὺς εἶπεν εἰς τοὺς ὑπηρέτας· Δέσατέ τον πόδια καὶ χέρια καὶ

πόδας καὶ χεῖρας, ἐκβάλετε αὐτὸν εἰς τὸ σκότος τὸ ἐξώτερον· ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. Πολλοὶ γάρ εἰσι κλητοί, ὀλίγοι δὲ ἐκλεκτοί»[1].

1. Εἶδες καὶ ἐν τῇ προτέρᾳ καὶ ἐν ταύτῃ τῇ παραβολῇ τοῦ υἱοῦ καὶ τῶν δούλων τὸ μέσον; εἶδες πολλὴν μὲν ἑκατέρων τῶν παραβολῶν τὴν συγγένειαν, πολλὴν δὲ καὶ τὴν διαφοράν; Καὶ γὰρ αὕτη δείκνυσι καὶ τοῦ Θεοῦ τὴν μακροθυμίαν καὶ τὴν πρόνοιαν τὴν πολλήν, καὶ τὴν Ἰουδαϊκὴν ἀγνωμοσύνην. Ἀλλ' ἔχει τι καὶ πλέον ἐκείνης αὕτη. Προαναφωνεῖ μὲν γὰρ καὶ τὴν ἔκπτωσιν τῶν Ἰουδαίων, καὶ τὴν κλῆσιν τῶν ἐθνῶν, δείκνυσι δὲ μετὰ τούτου καὶ τοῦ βίου τὴν ἀκρίβειαν, καὶ ὅση τοῖς ἀμελοῦσιν ἡ δίκη κεῖται. Καὶ καλῶς αὕτη μετ' ἐκείνην ἐστίν. Ἐπειδὴ γὰρ εἶπε, «δοθήσεται ἔθνει ποιοῦντι τοὺς καρποὺς αὐτῆς», δηλοῖ λοιπὸν ἐνταῦθα καὶ ποίῳ ἔθνει· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἄφατον εἰς τοὺς Ἰουδαίους πάλιν τὴν πρόνοιαν ἐπιδείκνυται. Ἐκεῖ μὲν γὰρ πρὸ τοῦ σταυροῦ φαίνεται καλῶν, ἐνταῦθα δὲ καὶ μετὰ τὸ σφαγῆναι ἐπίκειται ἐπισπώμενος αὐτούς. Καὶ διὰ τὴν χαλεπωτάτην αὐτοὺς ἔδει δοῦναι δίκην, τότε καὶ εἰς γάμους αὐτοὺς ἕλκει καὶ τῇ τιμῇ τῇ ἀνωτάτῳ τιμᾷ. Καὶ ὅρα πῶς καὶ ἐκεῖ οὐ πρότερα τὰ ἔθνη, ἀλλ' Ἰουδαίους, καὶ ἐνταῦθα πάλιν. Ἀλλ' ὥσπερ ἐκεῖ, ὅτε οὐκ ἠθέλησαν αὐτὸν δέξασθαι, ἀλλὰ καὶ ἐλθόντα ἔσφαξαν, τότε ἔδωκε τὸν ἀμπελῶνα, οὕτω καὶ ἐνταῦθα, ὅτε μὴ ἠθέλησαν παραγενέσθαι ἐν τῷ γάμῳ, τότε ἑτέρους ἐκάλεσε. Τί τοίνυν γένοιτ' ἂν αὐτῶν ἀγνωμονέστερον, ὅταν ἐπὶ γάμους καλούμενοι

1. Ματθ. 21, 43.

ρίψατέ τον εἰς τὸ σκότος τὸ ἐξώτερον· ἐκεῖ θὰ εἶναι τὸ κλάμα καὶ τὸ τρίξιμον τῶν δοντιῶν. Διότι πολλοὶ εἶναι οἱ καλεσμένοι, ὀλίγοι ὅμως οἱ ἐκλεκτοί».

1. Ἀντελήφθης τὴν διαφορὰν ποὺ ὑπάρχει μεταξὺ τῆς προηγουμένης παραβολῆς τοῦ υἱοῦ καὶ αὐτῆς ἐδῶ τῆς παραβολῆς τῶν δούλων; ἀντελήφθης, ὅτι ὑπάρχει μεγάλη μὲν συγγένεια μεταξὺ τῶν δύο παραβολῶν, ἀλλὰ καὶ πολὺ μεγάλη διαφορά; Καθ' ὅσον καὶ αὐτὴ δείχνει καὶ τοῦ Θεοῦ τὴν μεγάλην μακροθυμίαν καὶ τὴν πρόνοιαν, καὶ τὴν Ἰουδαϊκὴν ἀγνωμοσύνην. Ἀλλ' αὐτὴ ἔχει καὶ κάτι ἐπὶ πλέον ἀπὸ ἐκείνην. Διότι προλέγει μὲν καὶ τὴν ἔκπτωσιν τῶν Ἰουδαίων καὶ τὴν κλῆσιν τῶν ἐθνικῶν, ἀλλὰ μαζὶ μὲ αὐτὰ δείχνει καὶ τὴν ὀρθότητα τοῦ βίου καὶ πόση τιμωρία ἐπιφυλάσσεται δι' ἐκεάνους ποὺ θὰ δείξουν ἀδιαφορίαν. Καὶ πολὺ ὀρθὰ αὐτὴ ἡ παραβολὴ ἀναφέρεται μετὰ ἀπὸ ἐκείνην. Διότι, ἐπειδὴ εἶπεν, ὅτι «θὰ δοθῇ ἡ βασιλεία τοῦ Θεοῦ εἰς ἔθνος ποὺ θὰ παράγῃ τοὺς καρπούς της»[1], ἀποκαλύπτει λοιπὸν ἐδῶ καὶ εἰς ποῖον ἔθνος θὰ δοθῇ· καὶ ὄχι μόνον αὐτό, ἀλλὰ δείχνει καὶ πάλιν τὴν ἀπερίγραπτον πρόνοιαν τοῦ Θεοῦ πρὸς τοὺς Ἰουδαίους. Διότι εἰς ἐκείνην μὲν τὴν παραβολὴν φαίνεται νὰ τοὺς καλῇ πρὶν ἀπὸ τὴν σταύρωσίν του, ἐνῷ εἰς αὐτὴν καὶ μετὰ τὴν σφαγήν του φροντίζει νὰ τοὺς προσκαλῇ κοντά του. Καὶ τότε ποὺ ἔπρεπεν αὐτοὶ νὰ ὑποστοῦν τὴν πιὸ φοβερὰν τιμωρίαν, ἀκριβῶς τότε καὶ εἰς τοὺς γάμους τοὺς προσκαλεῖ καὶ τοὺς τιμᾷ μὲ τὴν ἀνωτάτην τιμήν. Καὶ πρόσεχε, ὅτι καὶ ἐκεῖ δὲν προσκαλεῖ πρῶτα τοὺς ἐθνικούς, ἀλλὰ τοὺς Ἰουδαίους, τὸ ἴδιο δὲ κάνει καὶ ἐδῶ. Ἀλλ' ὅπως ἀκριβῶς ἐκεῖ, τότε ἔδωσεν τὸν ἀμπελῶνα εἰς τοὺς ἄλλους, ὅταν δὲν ἠθέλησαν νὰ τὸν δεχθοῦν ἀλλὰ καὶ τὸν ἔσφαξαν ὅταν ἦλθεν, ἔτσι καὶ ἐδῶ, τότε ἐκάλεσεν ἄλλους εἰς τοὺς γάμους, ὅταν δὲν ἠθέλησαν αὐτοὶ νὰ ἔλθουν. Τί λοιπὸν θὰ ἠμποροῦσε νὰ θεωρηθῇ μεγαλύτερον ἀπὸ αὐτὴν τὴν ἀχαριστίαν των, καθ' ἣν στιγμὴν ἀποσκιρτοῦν τὴν ὥραν ποὺ προσκαλοῦνται εἰς τοὺς γάμους; Διότι

ἀποπηδῶσι; Τίς γὰρ οὐκ ἂν ἔλοιτο ἐπὶ γάμους ἐλθεῖν, καὶ γάμους βασιλέως, καὶ βασιλέως υἱῷ ποιοῦντος γάμους;

Καὶ τίνος ἕνεκεν γάμος εἴρηται; φησίν. Ἵνα μάθῃς τοῦ Θεοῦ τὴν κηδεμονίαν, τὸν πόθον τὸν περὶ ἡμᾶς, πῶν πραγμάτων τὴν φαιδρότητα, ὡς οὐδὲν λυπηρὸν ἐκεῖ, οὐδὲ σκυθρωπόν, ἀλλὰ πάντα χαρᾶς γέμει πνευματικῆς. Διὰ τοῦτο καὶ νυμφίον αὐτὸν Ἰωάννης καλεῖ· διὰ τοῦτο καὶ ὁ Παῦλος λέγει· «ἡρμοσάμην γὰρ ὑμᾶς ἑνὶ ἀνδρί»· καὶ πάλιν, «Τὸ μυστήριον τοῦτο μέγα ἐστίν, ἐγὼ δὲ λέγω εἰς Χριστὸν καὶ εἰς τὴν Ἐκκλησίαν». Τί οὖν οὐκ αὐτῷ ἁρμόζεσθαι λέγεται ἡ νύμφη, ἀλλὰ τῷ Υἱῷ; Ὅτι ἡ τῷ Υἱῷ ἁρμοζομένη τῷ Πατρὶ ἁρμόζεται. Καὶ γὰρ ἀδιάφορον τῇ Γραφῇ τοῦτο ἢ τοῦτο λέγεσθαι, διὰ τὸ ἀπαράλλακτον τῆς οὐσίας. Ἀπὸ τούτου καὶ τὴν ἀνάστασιν ἀνεκήρυξεν. Ἐπειδὴ γὰρ ἐν τοῖς ἔμπροσθεν τὸν θάνατον εἶπε, δείκνυσιν ὅτι καὶ μετὰ τὸν θάνατον πότε οἱ γάμοι, τότε ὁ νυμφίος. Ἀλλ' οὐδὲ οὕτως οὗτοι γίνονται βελτίους, οὐδὲ ἡμερώτεροι· οὔ τί γένοιτ' ἂν χεῖρον; Καὶ γὰρ αὕτη τρίτη κατηγορία. Πρώτη μέν, ὅτι προφήτας ἀπέκτειναν· ἔπειτα, ὅτι τὸν Υἱόν· μετὰ ταῦτα, ὅτι καὶ ἀνελόντες, καὶ εἰς τοὺς γάμους τοῦ ἀναιρεθέντος καλούμενοι παρ' αὐτοῦ τοῦ ἀναιρεθέντος, οὐ παραγίνονται, ἀλλ' αἰτίας πλάττουσι, ζεύγη βοῶν, καὶ ἀγρούς, καὶ γυναῖκας. Καίτοι δοκοῦσιν εὔλογοι αἱ προφάσεις εἶναι, ἀλλ' ἐντεῦθεν μανθάνομεν, κἂν ἀναγκαῖα ᾖ τὰ κατέχοντα, πάντων προτιμότερα ποιεῖσθαι τὰ πνευματικά. Καὶ καλεῖ οὐχὶ προσφάτως, ἀλλὰ πρὸ πολλοῦ τοῦ χρόνου. «Εἴπατε» γάρ, φησί, «τοῖς κεκλημένοις»· καὶ πάλιν, «καλέσατε τοὺς κεκλημένους»,

2. Ἰω. 3, 29.
3. Β' Κορ. 11, 2.
4. Ἐφ. 5, 32.
5. Λουκᾶ 13, 18-20.

ποῖος δὲν θὰ ἐπροτιμοῦσε νὰ ἔλθῃ εἰς γάμους βασιλέως καὶ μάλιστα γάμους τοῦ υἱοῦ τοῦ βασιλέως;

Καὶ διατί, θὰ εἰπῇ κάποιος, ὠνομάσθη τὸ γεγονὸς αὐτὸ γάμος; Διὰ νὰ γνωρίσῃς τὴν φροντίδα τοῦ Θεοῦ, τὴν μεγάλην ἀγάπην του πρὸς ἐμᾶς, τὸ χαρωπὸν τοῦ γεγονότος, διότι τίποτε τὸ λυπηρὸν δὲν ὑπάρχει ἐκεῖ οὔτε δυσάρεστον, ἀλλ' ὅλα εἶναι γεμᾶτα ἀπὸ πνευματικὴν χαράν. Διὰ τοῦτο καὶ ὁ Ἰωάννης τὸν ὀνομάζει νυμφίον[2], διὰ τοῦτο καὶ ὁ Παῦλος λέγει· «σᾶς ἡρραβώνισα μὲ ἕνα ἄνδρα»[3]· καὶ ἀλλοῦ πάλιν· «Αὐτὸ τὸ μυστήριον εἶναι μεγάλο· κατὰ τὴν γνώμην μου δὲ ἀναφέρεται εἰς τὸν Χριστὸν καὶ τὴν Ἐκκλησίαν»[4]. Διατί λοιπὸν δὲν λέγεται ὅτι ἡ νύμφη δὲν ἀρραβωνίζεται μὲ τὸν Πατέρα, ἀλλὰ μὲ τὸν Υἱόν; Διότι ἡ νύμφη ποὺ ἀρραβωνίζεται μὲ τὸν Υἱόν, συνδέεται καὶ μὲ τὸν Πατέρα. Καθ' ὅσον ἡ Γραφὴ ἀναφέρει αὐτὸ ἢ ἐκεῖνο χωρὶς καμμίαν διάκρισιν, διότι ὁ Υἱὸς εἶναι ὁμοούσιος τοῦ Πατρός. Μὲ αὐτὴν τὴν παραβολὴν προεῖπε καὶ τὴν ἀνάστασιν. Ἐπειδὴ δηλαδὴ προηγουμένως ὡμίλησε διὰ τὸν θάνατόν του, δείχνει τώρα, ὅτι καὶ μετὰ τὸν θάνατον τότε θὰ γίνουν οἱ γάμοι, τότε θὰ ἔλθῃ ὁ νυμφίος. Ἀλλ' ὅμως οὔτε καὶ ἔτσι γίνονται αὐτοὶ καλύτεροι, οὔτε ἡμερώτεροι· τί θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ χειρότερον ἀπὸ αὐτό. Καὶ αὐτὸ εἶναι ἡ τρίτη κατηγορία. Ἡ πρώτη εἶναι ὅτι ἐφόνευσαν τοὺς προφήτας· ἡ δευτέρα, ὅτι ἐφόνευσαν καὶ τὸν Υἱόν· εἰς τὴν συνέχειαν, ἂν καὶ ἐφόνευσαν τὸν Υἱόν, καὶ καλοῦνται εἰς τοὺς γάμους τοῦ φονευθέντος Υἱοῦ ἀπὸ τὸν ἴδιον τὸν φονευθέντα, δὲν προσέρχονται, ἀλλὰ προβάλλουν δικαιολογίας, ζεύγη βοδιῶν, ἀγροὺς καὶ γυναῖκας[5]. Μολονότι βέβαια αἱ προφάσεις φαίνονται δικαιολογημέναι, ἀλλ' ἀπὸ ἐδῶ διδασκόμεθα, καὶ ἂν ἀκόμη εἶναι ἀναγκαῖα τὰ ὑλικὰ καθήκοντά μας, πρέπει πρὶν ἀπὸ ὅλα νὰ προτιμῶνται τὰ πνευματικά. Καὶ ἡ πρόσκλησις δὲν γίνεται τὴν τελευταίαν στιγμήν, ἀλλὰ πρὶν ἀπὸ πολλὴν χρόνον. Διότι λέγει «εἴπατε εἰς τοὺς καλεσμένους»· καὶ πάλιν· «καλέσατε τοὺς καλεσμένους», πρᾶγμα ποὺ ἔκα-

ὅπερ μείζονα τὴν κατηγορίαν ἐποίει.

Καὶ πότε ἐκλήθησαν; Διὰ τῶν προφητῶν ἁπάντων, διὰ Ἰωάννου πάλιν· αὐτῷ γὰρ παρέπεμπεν ἅπαντας, λέγων· «ἐκεῖνον δεῖ αὐξάνειν, ἐμὲ δὲ ἐλαττοῦσθαι»· δι' αὐτοῦ πάλιν τοῦ Υἱοῦ· «δεῦτε γὰρ πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς»· καὶ πάλιν, «εἴ τις διψᾷ, ἐρχέσθω πρός με καὶ πινέτω». Οὐ διὰ ῥημάτων δὲ μόνον, ἀλλὰ καὶ διὰ πραγμάτων αὐτοὺς ἐκάλει, καὶ μετὰ τὴν Ἀνάληψιν διὰ Πέτρου καὶ τῶν καθ' αὐτόν. «Ὁ γὰρ ἐνεργήσας», φησί, «Πέτρῳ εἰς ἀποστολὴν τῆς περιτομῆς, ἐνήργησε καὶ ἐμοὶ εἰς τὰ ἔθνη». Ἐπειδὴ γὰρ τὸν Υἱὸν ἰδόντες ὠργίσθησαν καὶ ἀνεῖλον, διὰ τῶν δούλων καλεῖ πάλιν. Καὶ ἐπὶ τί καλεῖ; Ἐπὶ μόχθον καὶ πόνους καὶ ἱδρῶτας; Οὐχί, ἀλλ' ἐπὶ τρυφήν· «οἱ ταῦροι γάρ μου», φησί, «καὶ τὰ σιτιστὰ τεθυμένα». Ὅρα πόση ἡ πανδαισία· πόση ἡ φιλοτιμία. Καὶ οὐδὲ τοῦτο αὐτοὺς ἐνέτρεψεν, ἀλλ' ὅσῳ μειζόνως ἐμακροθύμησε, τοσούτῳ μειζόνως ἐσκληρύνοντο. Οὐδὲ γὰρ ἀσχολούμενοι, ἀλλ' ἀμελήσαντες οὐκ ἦλθον.

Πῶς οὖν οἱ μὲν γάμους, οἱ δὲ ζεύγη βοῶν προβάλλονται; ταῦτα γοῦν ἀσχολίας. Οὐδαμῶς· τῶν γὰρ πνευματικῶν καλούντων, οὐκ ἔστιν ἀσχολία οὐδεμία ἀναγκαία. Ἐμοὶ δὲ δοκοῦσι καὶ ταύταις ταῖς προφάσεσι κεχρῆσθαι, τῆς ἀμελείας παρακαλύμματα ταῦτα προβαλλόμενοι. Καὶ οὐ τοῦτο μόνον τὸ δεινόν, ὅτι οὐκ ἦλθον, ἀλλὰ καὶ τὸ πολλῷ χαλεπώτερον καὶ μανικώτερον, τὸ καὶ συγκόψαι τοὺς ἐλθόντας, καὶ ὑ-

6. Ἰω. 3, 30.
7. Ματθ. 11, 28.
8. Ἰω. 7, 37.
9. Γαλ. 2, 8.

νε μεγαλυτέραν τὴν κατηγορίαν

Καὶ πότε ἐκλήθησαν; Κατ' ἀρχὴν μὲ ὅλους τοὺς προφήτας καὶ ὕστερα διὰ τοῦ Ἰωάννου· διότι πρὸς τὸν Χριστὸν τοὺς ἔστελλεν ὅλους, λέγων· «Ἐκεῖνος πρέπει ν' αὐξάνῃ, ἐγὼ δὲ νὰ μικραίνω»[6]. Ἀλλὰ καὶ μὲ τὸν ἴδιον τὸν Υἱόν του· διότι λέγει· «Ἐλᾶτε πρὸς ἐμένα ὅλοι οἱ κουρασμένοι καὶ φορτωμένοι καὶ ἐγὼ θὰ σᾶς ξεκουράσω»[7]· καὶ πάλιν· «Ἐὰν κάποιος διψᾷ, ἂς ἔλθῃ πρὸς ἐμένα καὶ ἂς πίῃ»[8]. Καὶ δὲν τοὺς ἐκάλει μόνον μὲ λόγια, ἀλλὰ καὶ μὲ ἔργα καὶ μετὰ τὴν Ἀνάληψιν διὰ τοῦ Πέτρου καὶ τῶν συνεργατῶν του. «Διότι», λέγει, «αὐτὸς ποὺ ἐνήργησεν εἰς τὸν Πέτρον, ὥστε νὰ γίνῃ ἀπόστολος τῶν περιτμημένων, ἐνήργησε καὶ εἰς ἐμένα, ὥστε νὰ γίνω ἀπόστολος εἰς τὰ ἔθνη»[9]. Διότι, ἐπειδὴ ὠργίσθησαν μόλις εἶδον τὸν Υἱὸν καὶ τὸν ἐφόνευσαν, εἰς τὴν συνέχειαν τοὺς προσκαλεῖ διὰ τῶν δούλων. Καὶ διατί πρᾶγμα τοὺς καλεῖ; Διὰ μόχθους καὶ κόπους καὶ ἱδρῶτας; Ὄχι, ἀλλὰ δι' ἀπόλαυσιν· διότι λέγει· «Οἱ ταῦροι καὶ τὰ μανάρια εἶναι σφαγμένα». Πρόσεχε πόσον πολὺ πλούσιον εἶναι τὸ συμπόσιον, πόσον μεγάλη ἡ τιμὴ ποὺ τοὺς γίνεται. Καὶ ὅμως οὔτε καὶ ἔτσι ἐφιλοτιμήθησαν, ἀλλ' ὅσον μεγαλυτέραν μακροθυμίαν ἐδείκνυε, τόσον ἐμεγάλωνεν ἡ σκληρότης αὐτῶν. Καὶ δὲν ἦλθον ὄχι ἐπειδὴ ἦσαν ἀπησχολημένοι, ἀλλὰ ἀπὸ ἀδιαφορίαν.

Πῶς λοιπὸν ἄλλοι μὲν προβάλλουν ὡς δικαιολογίαν γάμους καὶ ἄλλοι ζεύγη βοδιῶν; Ἀσφαλῶς αὐτὰ εἶναι ἀπασχόλησις. Δὲν εἶναι καθόλου ἀπασχόλησις· διότι ὅταν ὑπάρχῃ πρόσκλησις διὰ πνευματικὰ πράγματα, δὲν εἶναι ἀναγκαία καμμία ἄλλη ἀπασχόλησις. Ἔχω τὴν ἐντύπωσιν ὅτι ἐχρησιμοποίησαν αὐτὰς τὰς προφάσεις διὰ νὰ τὰς προβάλουν ὡς προκαλύμματα τῆς ἀδιαφορίας των. Καὶ δὲν εἶναι μόνον αὐτὸ τὸ φοβερόν, τὸ ὅτι δὲν ἦλθον δηλαδή, ἀλλὰ τὸ πιὸ φοβερὸν καὶ τὸ μεγαλύτερον δεῖγμα τῆς παραφροσύνης των εἶναι τὸ ὅτι ἔδεραν χωρὶς κανένα οἶκτον αὐτοὺς ποὺ ἦλ-

ὑβρίσαι, καὶ ἀνελεῖν· τοῦτο τοῦ προτέρου χεῖρον. Ἐκεῖνοι μὲν γὰρ ἦλθον ἀπαιτοῦντες πρόσοδον καὶ καρπούς, καὶ ἐσφάγησαν, οὗτοι δὲ εἰς γάμους καλοῦντες τοῦ παρ' αὐτῶν σφαγέντος, καὶ οὗτοι πάλιν φονεύονται. Τί ταύτης τῆς μανίας ἴσον; Τοῦτο καὶ Παῦλος ἐγκαλῶν αὐτοῖς ἔλεγε· «τῶν καὶ τὸν Κύριον ἀποκτεινάντων καὶ τοὺς ἰδίους προφήτας, καὶ ἡμᾶς ἐκδιωξάντων».

Εἶτα ἵνα μὴ λέγωσιν, ὅτι ἀντίθεός ἐστι, καὶ διὰ τοῦτο οὐ παραγινόμεθα, ἄκουσον τί λέγουσιν οἱ καλοῦντες· ὅτι ὁ Πατήρ ἐστιν ὁ ποιῶν τοὺς γάμους, καὶ αὐτὸς ὁ καλῶν. Τί οὖν μετὰ ταῦτα; Ἐπειδὴ οὐκ ἠθέλησαν ἐλθεῖν, ἀλλὰ καὶ ἀνεῖλον τοὺς ἐπ' αὐτοὺς ἐλθόντας, κατακαίει τὰς πόλεις, καὶ τὰ στρατόπεδα πέμψας, ἀνεῖλεν αὐτούς. Ταῦτα δὲ λέγει, προδηλῶν τὰ ἐπὶ Οὐεσπασιανοῦ καὶ Τίτου γενόμενα, καὶ ὅτι καὶ τὸν Πατέρα παρώξυναν, αὐτῷ μὴ πιστεύσαντες· αὐτὸς γοῦν ἐστιν ὁ ἐπεξελθών. Διά τοι τοῦτο οὐκ εὐθέως ἀναιρεθέντος τοῦ Χριστοῦ γέγονεν ἡ ἅλωσις, ἀλλὰ μετὰ τεσσαράκοντα ἔτη, ἵνα δείξῃ αὐτοῦ τὴν μακροθυμίαν· ὅτε ἀπέκτειναν τὸν στέφανον, ὅτε ἀνεῖλον Ἰάκωβον, ὅτε ὕβρισαν τοὺς ἀποστόλους. Εἶδες πραγμάτων ἀλήθειαν καὶ τάχος; Ἔτι γὰρ Ἰωάννου ζῶντος καὶ ἑτέρων πολλῶν τῶν τῷ Χριστῷ συγγενομένων, ταῦτα ἐξέβαινε· καὶ μάρτυρες ἦσαν τῶν γινομένων οἱ ταῦτα ἀκούοντες.

Ὅρα τοίνυν κηδεμονίαν ἄφατον. Ἐφύτευσεν ἀμπελῶνα, πάντα ἐποίησε καὶ ἀπήρτισε· τῶν οἰκείων ἀναιρεθέντων, ἑτέρους ἀπέστειλε δούλους· ἐκείνων σφαγέντων, τὸν Υἱὸν ἔπεμψε· καὶ τούτου ἀναιρεθέντος, καλεῖ αὐτοὺς εἰς τοὺς γά-

10. Α' Θεσ. 2, 15.

θον, τοὺς ἐκακοποίησαν καὶ τοὺς ἐφόνευσαν· αὐτὸ ἦτο χειρότερον ἀπὸ τὸ προηγούμενον. Διότι ἐκεῖνοι μὲν ἦλθον διὰ νὰ ζητήσουν τὴν ἐσοδείαν καὶ τοὺς καρποὺς καὶ ἐσφάγησαν, ἐνῷ αὐτοὶ καλοῦντες αὐτοὺς εἰς τοὺς γάμους αὐτοῦ ποὺ ἐσφάγη ὑπ' αὐτῶν, φονεύονται καὶ αὐτοί. Τί ἠμπορεῖ νὰ ἐξισωθῇ μὲ αὐτὴν τὴν μανίαν; Δι' αὐτὸ τὸ πρᾶγμα κατηγορῶν ὁ Παῦλος αὐτούς, ἔλεγεν· «Οἱ ὁποῖοι καὶ τὸν Κύριον ἐφόνευσαν καὶ τοὺς ἰδίους τοὺς προφήτας καὶ ἐμᾶς κατεδίωξαν»[10].

Ἔπειτα διὰ νὰ μὴ λέγουν, ὅτι εἶναι ἀντίθεος καὶ διὰ τοῦτο δὲν προσερχόμεθα, ἄκουσε τί λέγουν αὐτοὶ ποὺ τοὺς προσκαλοῦν· Ὁ Πατὴρ εἶναι αὐτὸς ποὺ κάνει τοὺς γάμους καὶ ὁ ἴδιος τοὺς προσκαλεῖ. Τί ἀκολουθεῖ εἰς τὴν συνέχειαν; Ἐπειδὴ δὲν ἠθέλησαν νὰ ἔλθουν, ἀλλὰ καὶ ἐφόνευσαν αὐτοὺς ποὺ ἦλθον νὰ τοὺς καλέσουν, κατακαίει τὰς πόλεις των, καὶ ἀφοῦ ἀπέστειλε στρατόν, ἐξωλόθρευσεν αὐτούς. Αὐτὰ δὲ τὰ λέγει, προλέγων τὰ ὅσα συνέβησαν ἐπὶ Βεσπασιανοῦ καὶ ἐπὶ Τίτου, καὶ ὅτι καὶ τὸν Πατέρα ἐξώργισαν, ἐπειδὴ δὲν ἐπίστευσαν εἰς αὐτόν· διότι αὐτὸς εἶναι ἐκεῖνος ποὺ ἐπέτρεψε τὴν καταστροφήν των. Διὰ τοῦτο καὶ ἡ ἅλωσις τῆς Ἰερουσαλὴμ δὲν ἔγινεν ἀμέσως μετὰ τὴν σταύρωσιν τοῦ Χριστοῦ, ἀλλὰ μετὰ σαράντα χρόνια, διὰ νὰ δείξῃ τὴν μακροθυμίαν του· ἡ καταστροφὴ ἔγινεν ἀφοῦ ἐφόνευσαν τὸν Στέφανον, ἀφοῦ ἐφόνευσαν τὸν Ἰάκωβον, ἀφοῦ ἐκακοποίησαν τοὺς ἀποστόλους. Εἶδες πραγματοποίησιν προφητειῶν καὶ ταχύτητα πραγματοποιήσεως αὐτῶν; Διότι αὐτὰ συνέβησαν ἐνῷ ἔζῃ ἀκόμη ὁ Ἰωάννης ὁ εὐαγγελιστὴς καὶ πολλοὶ ἄλλοι ἀπὸ αὐτοὺς ποὺ συνανεστράφησαν τὸν Χριστὸν καὶ ἦσαν μάρτυρες τῶν ὅσων συνέβησαν αὐτοὶ ποὺ τὰ ἤκουσαν αὐτά.

Πρόσεχε λοιπὸν ἀπερίγραπτον κηδεμονίαν. Ἐφύτευσεν ἀμπελῶνα καὶ ὅλα τὰ ἔκανε καὶ τὰ ἑτακτοποίησε· καὶ μολονότι ἐφονεύθησαν οἱ δοῦλοι, ἔστειλεν ἄλλους δούλους· καὶ ὅταν καὶ ἐκεῖνοι ἐσφάγησαν, ἔστειλε τὸν Υἱόν του· καὶ ὅταν καὶ ἐκεῖνος ἐφονεύθη, τοὺς καλεῖ καὶ πάλιν εἰς

μους· οὐκ ἠθέλησαν ἐλθεῖν. Εἶτα πέμπει ἑτέρους δούλους· οἱ δὲ καὶ τούτους ἀνεῖλον· Τότε λοιπὸν αὐτοὺς ἀναιρεῖ, ἅτε ἀνίατα νοσοῦντας. Ὅτι γὰρ ἀνίατα ἐνόσουν, οὐ τὰ γεγενημένα ἔδειξε μόνον, ἀλλ' ὅτι καὶ πορνῶν καὶ τελωνῶν πιστευσάντων, αὐτοὶ ταῦτα ἐποίησαν. Ὥστε οὐκ ἀφ' ὧν ἐτόλμησαν μόνον, ἀλλὰ καὶ ἀφ' ὧν ἕτεροι κατώρθωσαν, κατακρίνονται οὗτοι. Εἰ δὲ λέγοι τις, ὅτι οὐ τότε ἐκλήθησαν οἱ ἐξ ἐθνῶν, ὅτε ἐμαστίχθησαν καὶ μυρία ἔπαθον οἱ ἀπόστολοι, ἀλλ' εὐθέως μετὰ τὴν ἀνάστασιν (τότε γάρ φησιν αὐτοῖς, «πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη), εἴποιμεν ἄν, ὅτι καὶ πρὸ τοῦ σταυροῦ καὶ μετὰ τὸν σταυρὸν αὐτοῖς διελέγοντο πρώτοις. Καὶ γὰρ πρὸ τοῦ σταυροῦ φησιν αὐτοῖς· «πορεύεσθε ἐπὶ τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ»· καὶ μετὰ τὸν σταυρὸν οὐκ ἐκώλυσεν, ἀλλὰ καὶ ἐκέλευσεν αὐτοῖς διαλέγεσθαι. Εἰ γὰρ καὶ εἶπε, «μαθητεύσατε πάντα τὰ ἔθνη», ἀλλὰ μέλλων εἰς τὸν οὐρανὸν ἀναβαίνειν, ἐδήλωσεν ὅτι ἐκείνοις διαλέξονται πρώτοις. «Λήψεσθε γὰρ δύναμιν», φησίν, «ἐπελθόντος τοῦ ἁγίου Πνεύματος ἐφ' ὑμᾶς, καὶ ἔσεσθέ μοι μάρτυρες ἔν τε Ἰερουσαλήμ, καὶ ἐν πάσῃ Ἰουδαίᾳ, καὶ ἕως ἐσχάτου τῆς γῆς»· καὶ ὁ Παῦλος πάλιν· «ὁ γὰρ ἐνεργήσας Πέτρῳ εἰς ἀποστολὴν τῆς περιτομῆς, ἐνήργησε καὶ ἐμοὶ εἰς τὰ ἔθνη». Διὰ τοῦτο καὶ οἱ ἀπόστολοι πρὸς τοὺς Ἰουδαίους πρῶτον ἐχώρησαν, καὶ πολὺν ἐν Ἰερουσαλὴμ διατρίψαντες χρόνον, εἶτα ὑπ' αὐτῶν ἐλαθέντες, οὕτω διεσπάρησαν εἰς τὰ ἔθνη.

2. Σὺ δὲ ὅρα κἀντεῦθεν τὴν φιλοτιμίαν. «Ὅσους ἐὰν εὕρητε», φησί, «καλέσατε εἰς τοὺς γάμους». Πρὸ τούτου μὲν γάρ, ὅπερ ἔφην, καὶ Ἰουδαίοις καὶ Ἕλλησι διελέγον-

11. Ματθ. 28, 19.
12. Ματθ. 10, 6.
13. Πρ. 1, 8.
14. Γαλ. 2, 8.

τοὺς γάμους· ἀλλὰ δὲν ἠθέλησαν νὰ ἔλθουν. Εἰς τὴν συνέχειαν στέλλει ἄλλους δούλους· αὐτοὶ ὅμως καὶ αὐτοὺς τοὺς ἐφόνευσαν. Τότε λοιπὸν καταστρέφει αὐτούς, ἐπειδὴ ἦτο ἀθεράπευτος ἡ ἀσθένειά των. Τὸ ὅτι βέβαια ἦτο ἀθεράπευτος ἡ ἀσθένειά των, τὸ ἀπέδειξαν ὄχι μόνον τὰ ὅσα συνέβησαν, ἀλλὰ καὶ τὸ ὅτι, ἂν καὶ ἐπίστευσαν αἱ πόρναι καὶ οἱ τελῶναι, αὐτοὶ διέπραξαν ὅλα αὐτά. Ὥστε κατακρίνονται ὄχι μόνον ἀπὸ ὅσα διέπραξαν οἱ ἴδιοι, ἀλλὰ καὶ ἀπὸ ὅσα κατώρθωσαν οἱ ἄλλοι. Ἐὰν ὅμως κάποιος ἤθελεν εἰπεῖ, ὅτι δὲν ἐκλήθησαν τότε οἱ ἐθνικοί, ὅταν δηλαδὴ ἐμαστιγώθησαν οἱ ἀπόστολοι καὶ ἔπαθον τόσα πολλά, ἀλλ᾽ ἀμέσως μετὰ τὴν ἀνάστασιν (διότι τότε λέγει εἰς αὐτούς, «πηγαίνετε καὶ κάνατε μαθητάς μου ὅλα τὰ ἔθνη»[11]), θὰ ἠμπορούσαμεν νὰ τοῦ εἰποῦμεν, ὅτι καὶ πρὶν ἀπὸ τὴν σταύρωσίν του καὶ μετὰ ἀπὸ αὐτήν, μὲ αὐτοὺς κατ᾽ ἀρχὴν εἶχε συνδιαλαγάς. Καθ᾽ ὅσον πρὶν ἀπὸ τὴν σταύρωσίν του λέγει πρὸς αὐτούς· «Πηγαίνετε πρὸς τὰ πρόβατα τὰ χαμένα τοῦ οἴκου Ἰσραήλ»[12]· καὶ μετὰ ἀπὸ τὸν σταυρὸν δὲν τοὺς ἠμπόδισεν, ἀλλ᾽ ἔδωσεν ἐντολὴν πρὸς αὐτοὺς νὰ κηρύσσουν τὸ εὐαγγέλιον. Μολονότι βέβαια εἶπε, «κάνατε μαθητάς μου ὅλα τὰ ἔθνη», ὅταν ὅμως ἐπρόκειτο νὰ ἀνεβῇ εἰς τὸν οὐρανόν, εἶπεν εἰς ἐκείνους νὰ κηρύξουν πρῶτα. Διότι λέγει· «Θὰ λάβετε δύναμιν, ὅταν θὰ ἔλθῃ τὸ ἅγιον Πνεῦμα εἰς ἐσᾶς, καὶ θὰ γίνετε μάρτυρές μου καὶ εἰς τὴν Ἱερουσαλὴμ καὶ εἰς ὅλην τὴν Ἰουδαίαν καὶ μέχρι τὰ πέρατα τῆς γῆς»[13]. Καὶ ὁ Παῦλος πάλιν· «Αὐτὸς ποὺ ἐνήργησεν εἰς τὸν Πέτρον, ὥστε νὰ γίνῃ ἀπόστολος τῶν ἐθνῶν»[14]. Διὰ τοῦτο καὶ οἱ ἀπόστολοι κατ᾽ ἀρχὴν μετέβησαν πρὸς τοὺς Ἰουδαίους καὶ ἀφοῦ διέμειναν ἐπὶ πολὺν χρόνον εἰς τὴν Ἱερουσαλήμ, εἰς τὴν συνέχειαν, ἀφοῦ ἐξεδιώχθησαν ἀπὸ αὐτούς, τότε διεσκορπίσθησαν εἰς τὰ ἔθνη.

2. Σὺ ὅμως πρόσεχε καὶ εἰς τὴν περίπτωσιν αὐτὴν τὴν φιλοτιμίαν τοῦ Κυρίου «Ὅσους θὰ εὕρετε», λέγει, «καλέσατέ τους εἰς τοὺς γάμους». Διότι πρὶν ἀπὸ αὐτὸ ποὺ προανέφερα, ἐκήρυττον καὶ πρὸς τοὺς Ἰουδαίους καὶ πρὸς τοὺς

το, ἐπὶ πλεῖον ἐν τῇ Ἰουδαίᾳ διατρίβοντες, ἐπειδὴ ἐπέμενον ἐπιβουλεύοντες αὐτοῖς, ἄκουσον Παύλου τὴν παραβολὴν ἑρμηνεύοντος ταύτην, καὶ λέγοντος οὕτως· «ὑμῖν ἦν ἀναγκαῖον πρῶτον λαληθῆναι τὸν λόγον τοῦ Θεοῦ, ἐπειδὴ δὲ ἀναξίους ἑαυτοὺς ἐκρίνατε, ἰδοὺ στρεφόμεθα εἰς τὰ ἔθνη». Διὰ τοῦτό φησι καὶ αὐτός· «ὁ μὲν γάμος ἕτοιμός ἐστιν, οἱ δὲ κεκλημένοι οὐκ ἦσαν ἄξιοι». Ἴδει μὲν οὖν καὶ πρὸ τούτου τοῦτο· ἀλλ' ἵνα μηδεμίαν αὐτοῖς καταλίπῃ ἀναισχύντου τινὸς ἀντιλογίας πρόφασιν, καίπερ εἰδώς, πρὸς αὐτοὺς πρώτους καὶ ἦλθε καὶ ἔπεμψεν, ἐκείνους τε ἐπιστομίζων, καὶ ἡμᾶς παιδεύων τὰ παρ' ἑαυτῶν ἅπαντα πληροῦν, κἂν μηδεὶς μηδὲν κερδαίνειν μέλλῃ. Ἐπεὶ οὖν οὐκ ἦσαν ἄξιοι, «πορεύεσθε», φησίν, «εἰς τὰς τριόδους, καὶ ὅσους ἐὰν εὕρητε, καλέσατε», καὶ τοὺς τυχόντας καὶ τοὺς ἀπερριμμένους. Ἐπειδὴ γὰρ ἄνω καὶ κάτω ἔλεγεν, ὅτι «πόρναι καὶ τελῶναι κληρονομήσουσι τὸν οὐρανόν», καί, «οἱ πρῶτοι ἔσχατοι ἔσονται, καὶ οἱ ἔσχατοι πρῶτοι», δείκνυσιν ὅτι δικαίως ταῦτα γίνεται· ὃ μάλιστα πάντων ἔδακνεν Ἰουδαίους, καὶ τῆς κατασκαφῆς χαλεπώτερον μᾶλλον ἔκνιζε, τὸ εἰς τὰ ἐκείνων, καὶ πολλῷ μείζω τῶν ἐκείνων, τοὺς ἐξ ἐθνῶν δρᾶν εἰσαγομένους.

Εἶτα ἵνα μηδὲ οὗτοι τῇ πίστει θαρρήσωσι μόνῃ, καὶ περὶ τῆς κρίσεως αὐτοῖς διαλέγεται τῆς ἐπὶ ταῖς πονηραῖς πράξεσι, τοῖς μὲν οὐδέπω πεπιστευκόσι περὶ τοῦ προσελθεῖν τῇ πίστει, τοῖς δὲ πεπιστευκόσι περὶ τῆς κατὰ τὸν βίον ἐπιμελείας. Ἔνδυμα γὰρ βίος ἐστὶ καὶ πρᾶξις. Καὶ μὴν χάριτος ἦν ἡ κλῆσις· τίνος οὖν ἕνεκεν ἀκριβολογεῖται; Ὅτι τὸ μὲν

15. Πρ. 13, 46.
16. Ματθ. 21, 31.
17. Ματθ. 19, 30.

ἐθνικούς, καὶ ἐπερνοῦσαν τὸν περισσότερον χρόνον των διαμένοντες εἰς τὴν Ἰουδαίαν, ἐπειδὴ ὅμως ἐπέμενον οἱ Ἰουδαῖοι νὰ τοὺς ἐπιβουλεύωνται, ἄκουσε τὸν Παῦλον ποὺ ἑρμηνεύει αὐτὴν τὴν παραβολὴν καὶ λέγει τὰ ἑξῆς· «Εἰς ἐσᾶς ἦτο κατ' ἀρχὴν ἀναγκαῖον νὰ κηρυχθῇ ὁ λόγος τοῦ Θεοῦ, ἐπειδὴ ὅμως ἐφάνητε ἀνάξιοι νὰ δεχθῆτε τὸν λόγον τοῦ Θεοῦ, στρεφόμεθα πλέον πρὸς τὰ ἔθνη»[15]. Διὰ τοῦτο λέγει καὶ αὐτός· «ὁ μὲν γάμος εἶναι ἕτοιμος, οἱ καλεσμένοι ὅμως δὲν ἦσαν ἄξιοι». Βέβαια αὐτὸ τὸ ἐγνώριζε καὶ πρὶν νὰ συμβῇ, ἀλλ' ὅμως διὰ νὰ μὴ τοὺς ἀφήσῃ καμμίαν πρόφασιν ἀναισχύντου ἀντιλογίας, μολονότι τὸ ἐγνώριζε, πρὸς αὐτοὺς πρῶτα καὶ ὁ ἴδιος ἦλθε καὶ ἄλλους ἀπέστειλεν ἐν συνεχείᾳ, καὶ ἀποστομώνων ἔτσι ἐκείνους καὶ διδάσκων ἡμᾶς νὰ κάμνωμεν ὅ,τι ἐξαρτᾶται ἀπὸ ἡμᾶς καὶ ἂν ἀκόμη πρόκειται κανεὶς νὰ μὴ κερδίσῃ τίποτε ἀπὸ αὐτό. Ἐπειδὴ λοιπὸν δὲν ἦσαν ἄξιοι, «πηγαίνετε», λέγει, «εἰς τὰ σταυροδρόμια καὶ καλέσατε ὅσους θὰ εὕρετε», καὶ αὐτοὺς ποὺ θὰ εὑρίσκωνται ἐκεῖ κατὰ τύχην καὶ τοὺς περιφρονημένους. Ἐπειδὴ δηλαδὴ συνεχῶς ἔλεγεν, ὅτι «πόρναι καὶ τελῶναι θὰ κληρονομήσουν τὸν οὐρανόν»[16], καὶ «οἱ πρῶτοι θὰ γίνουν τελευταῖοι καὶ οἱ τελευταῖοι πρῶτοι»[17], ἀποδεικνύει ὅτι αὐτὰ δικαίως γίνονται, πρᾶγμα ποὺ κατ' ἐξοχὴν ἐνοχλοῦσε τοὺς Ἰουδαίους καὶ τοὺς ἐπείραζε πολὺ φοβερώτερα αὐτὸ καὶ ἀπὸ τὴν κατακρήμνισιν τοῦ ναοῦ, τὸ νὰ βλέπουν δηλαδὴ νὰ εἰσάγωνται οἱ ἐθνικοὶ καὶ μάλιστα πολὺ περισσότερον, εἰς τὴν θέσιν ἐκείνην ποὺ ἀνῆκεν εἰς αὐτούς.

Εἰς τὴν συνέχειαν διὰ νὰ μὴ ἐπαναπαυθοῦν καὶ αὐτοὶ ἁπλῶς καὶ μόνον εἰς τὴν πίστιν, τοὺς ὁμιλεῖ καὶ περὶ τῆς κρίσεως διὰ τὰς πονηρὰς πράξεις, τῶν μὲν ἀπίστων ἀκόμη διὰ τὸ ὅτι δὲν προσῆλθον εἰς τὴν πίστιν, τῶν δὲ πιστῶν διὰ τὴν ἀνάλογον φροντίδα ποὺ ἔδειξαν εἰς τὴν ζωήν των. Διότι εἰς τὴν περίπτωσιν αὐτὴν ἔνδυμα εἶναι ὁ τρόπος ζωῆς καὶ αἱ πράξεις. Καὶ βέβαια ἡ κλῆσις εἶναι ἔργον τῆς χάριτος. Διατί ὅμως ὁμιλεῖ μὲ τόσην ἀκρίβειαν; Διὰ τὸ ὅτι ἡ μὲν

κληθῆναι καὶ καθαρθῆναι, χάριτος ἦν, τὸ δὲ κληθέντα καὶ καθαρὰ ἐνδυσάμενον μεῖναι τοιαῦτα διατηροῦντα, τῆς τῶν κληθέντων σπουδῆς. Τὸ κληθῆναι οὐκ ἀπὸ τῆς ἀξίας γέγονεν, ἀλλ' ἀπὸ τῆς χάριτος. Ἔδει τοίνυν ἀμείψασθαι τὴν χάριν καὶ μὴ τοσαύτην ἐπιδείξασθαι πονηρίαν μετὰ τὴν τιμήν.

Ἀλλ' οὐκ ἀπήλαυσα, φησίν, ὅσον Ἰουδαῖοι. Καὶ μὴν πολλῷ μειζόνων ἀπήλαυσας ἀγαθῶν. Ἃ γὰρ διὰ παντὸς τοῦ χρόνου παρεσκευάζετο ἐκείνοις ταῦτα ἀθρόον ἔλαβες σύ, οὐκ ὢν ἄξιος. Διὸ καὶ Παῦλος λέγει· «τὰ δὲ ἔθνη ὑπὲρ ἐλέους δοξάσαι τὸν Θεόν». Ἃ γὰρ ἐκείνοις ὠφείλετο, ταῦτα ἔλαβες. Διὸ καὶ πολλὴ κεῖται ἡ δίκη τοῖς ἐρραθυμηκόσι. Καθάπερ γὰρ ἐκεῖνοι τῷ μὴ ἐλθεῖν ὕβρισαν, οὕτω καὶ σὺ τῷ οὕτω κατακλιθῆναι μετὰ βίου διεφθαρμένου. Τὸ γὰρ ῥυπαροῖς ἱματίοις εἰσελθεῖν τοῦτο ἔστι· βίον ἀκάθαρτον ἔχοντα ἀπελθεῖν ἐντεῦθεν· διὸ καὶ ἐφιμοῦτο. Ὁρᾷς πῶς, καίτοι οὕτω τοῦ πράγματος ὄντος καταδήλου, οὐ πρότερον κολάζει, ἕως ἂν αὐτὸς ὁ ἡμαρτηκὼς τὴν ψῆφον ἐξενέγκῃ; Τῷ γὰρ μηδὲν ἔχειν ἀντειπεῖν κατέκρινεν ἑαυτόν, καὶ οὕτω πρὸς τὰς ἀπορρήτους αἴρεται κολάσεις. Μὴ γὰρ δὴ σκότος ἀκούσας, τούτῳ νομίσῃς αὐτὸν τιμωρεῖσθαι, τῷ εἰς ἀφεγγὲς πέμπεσθαι χωρίον μόνον, ἀλλ' ὅπου καὶ ὁ κλαυθμός, καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. Τοῦτο δὲ λέγει, τὰς ἀκαριερήτους ἐνδεικνύμενος ὀδύνας.

Ἀκούσατε ὅσοι μυστηρίων ἀπολαύσαντες, καὶ τοῖς γάμοις παραγενόμενοι, ῥυπαραῖς τὴν ψυχὴν περιβάλλετε πράξεσιν. Ἀκούσατε πόθεν ἐκλήθητε. Ἀπὸ τῆς τριόδου. Τί ὄντες; Χωλοὶ καὶ ἀνάπηροι κατὰ ψυχήν, ὃ πολλῷ χαλε-

18. Ρωμ. 15, 9.

κλῆσις καὶ ἡ κάθαρσις εἶναι ἔργον τῆς χάριτος, τὸ νὰ παραμείνῃ ὅμως κανεὶς ἀπὸ αὐτοὺς ποὺ ἐκλήθησαν καὶ ἐνεδύθησαν καθαρὰ ἐνδύματα μὲ τέτοια ἐνδύματα, ὀφείλεται εἰς τὴν φροντίδα αὐτῶν ποὺ ἐκλήθησαν. Ἡ κλῆσις δὲν ἔγινεν ἐξ αἰτίας τῆς ἀξίας των, ἀλλὰ κατὰ θείαν χάριν. Ἔπρεπε λοιπὸν ἡ χάρις νὰ ἀμείψῃ αὐτὸν ποὺ ὑπήκουσε καὶ νὰ μὴ δείξῃ ὁ τιμηθείς τόσην κακίαν μετὰ τὴν τιμὴν ποὺ τοῦ ἔγινεν.

Ἀλλά, θὰ εἰπῇ κάποιος, δὲν ἀπήλαυσα αὐτὰ ποὺ ἀπήλαυσαν οἱ Ἰουδαῖοι. Καὶ ὅμως ἀπήλαυσες πολὺ περισσότερα ἀγαθά. Διότι αὐτὰ ποὺ προετοιμάζοντο δι' ἐκείνους καθ' ὅλον τὸν χρόνον, αὐτὰ σὺ τὰ ἔλαβες εἰς μίαν στιγμὴν χωρὶς νὰ εἶσαι ἄξιος. Διὰ τοῦτο καὶ ὁ Παῦλος λέγει· «Τὰ δὲ ἔθνη νὰ δοξάσουν τὸν Θεὸν διὰ τὴν εὐσπλαγχνίαν του πρὸς αὐτά»[18]. Διότι αὐτὰ ποὺ ἡτοιμάζοντο δι' ἐκείνους, αὐτὰ τὰ ἔλαβες ἐσύ. Διὰ τοῦτο καὶ ἀναμένει μεγάλη τιμωρία ἐκείνους ποὺ θὰ δείξουν ἀδιαφορίαν. Καθ' ὅσον, ὅπως ἀκριβῶς ἐκεῖνοι τὸν προσέβαλον ποὺ δὲν προσῆλθον, ἔτσι καὶ σὺ τὸν προσβάλλεις μὲ τὸ νὰ καθήσῃς εἰς τὴν τράπεζαν μὲ τέτοιον διεφθαρμένον βίον. Διότι αὐτὸ σημαίνει ἡ εἴσοδος μὲ ρυπαρὰ ἐνδύματα· τὸ νὰ φύγῃ δηλαδὴ κανεὶς ἀπὸ αὐτὴν τὴν ζωὴν μὲ βίον ἀκάθαρτον· καὶ ἀκριβῶς διὰ τοῦτο καὶ ἐσιώπα. Βλέπεις, πῶς, ἂν καὶ εἶναι τόσον ὁλοφάνερον τὸ πρᾶγμα, δὲν τιμωρεῖ κατ' ἀρχήν, προτοῦ ὁ ἴδιος ὁ ἁμαρτωλὸς γίνῃ αἴτιος τῆς καταδίκης του; Διότι, μὲ τὸ νὰ μὴ ἔχῃ νὰ εἰπῇ τίποτε, κατέκρινε τὸν ἑαυτόν του καὶ ἔτσι ὁδηγεῖται πρὸς τὰς ἀπεριγράπτους τιμωρίας. Μὴ νομίσῃς, ὅμως, ἀκούων σκότος, ὅτι αὐτὸς τιμωρεῖται κατ' αὐτὸν τὸν τρόπον, ὁδηγούμενος δηλαδὴ ἁπλῶς καὶ μόνον εἰς σκοτεινὸν μέρος, ἀλλ' ὁδηγεῖται ἐκεῖ ὅπου εἶναι τὸ κλάμα καὶ ὁ τριγμὸς τῶν δοντιῶν. Αὐτὸ δὲ τὸ λέγει διὰ νὰ δείξῃ τὰ ἀνυπόφορα βάσανα.

Ἀκούσατε ὅσοι ἀπηλαύσατε τῶν μυστηρίων καὶ περιβάλλετε τὴν ψυχήν σας μὲ ρυπαρὰς πράξεις ἂν καὶ προσήλθατε εἰς τοὺς γάμους. Ἀκούσατε ἀπὸ ποῦ προσεκλήθητε. Ἀπὸ τὰ σταυροδρόμια. Τί ἤσασθε προηγουμένως; χωλοὶ

πώτερον τῆς τοῦ σώματος λώβης. Αἰδέσθητε τὴν φιλανθρωπίαν τοῦ καλέσαντος, καὶ μηδεὶς μενέτω ρυπαρὰ ἔχων ἱμάτια, ἀλλ' ἕκαστος ἡμῶν περιεργαζέσθω τὴν στολὴν τῆς ψυχῆς. Ἀκούσατε, γυναῖκες· ἀκούσατε, ἄνδρες. Οὐ τούτων ἡμῖν δεῖ τῶν ἱματίων τῶν χρυσοπάστων, τῶν τὰ ἔξωθεν ἡμῖν καλλωπιζόντων, ἀλλ' ἐκείνων τῶν τὰ ἔνδον. Ἕως ἂν ταῦτα ἔχωμεν, ἐκεῖνα περιθέσθαι δύσκολον. Οὐκ ἔστιν ὁμοῦ καὶ ψυχὴν καὶ σῶμα καλλωπίζειν. Οὐκ ἔστιν ὁμοῦ καὶ μαμωνᾷ δουλεύειν, καὶ Χριστῷ ὑπακούειν ὡς χρή.

Ἀποθώμεθα τοίνυν ταύτην τὴν τυραννίδα τὴν χαλεπήν. Οὐδὲ γὰρ εἴ τις τὸν μὲν οἶκον ἐκόσμει, παραπετάσματα χρυσᾶ κρεμάσας, σὲ δὲ ἐν ῥακίοις γυμνὸν ἐποίει καθῆσθαι, πρᾴως ἂν ἤνεγκας. Ἀλλ' ἰδοὺ νῦν τοῦτο σὺ σαυτὸν ἐργάζῃ, τὴν μὲν οἰκίαν τῆς ψυχῆς σου, τὸ σῶμα λέγω, μυρίοις παραπετάσμασι καλλωπίζων, ἐκείνην δὲ ἐν ῥακίοις ἀφεὶς καθῆσθαι. Οὐκ οἶσθα, ὅτι τὸν βασιλέα τῆς πόλεως μᾶλλον κοσμεῖσθαι δεῖ; Διά τοι τοῦτο τῇ μὲν πόλει παραπετάσματα ἐκ λίνου κατεσκεύασται, τῷ δὲ βασιλεῖ ἁλουργὶς καὶ διάδημα. Οὕτω καὶ σύ, τὸ μὲν σῶμα πολλῷ φαυλοτέρᾳ περίβαλε στολῇ, τὸν δὲ νοῦν ἁλουργίδα ἔνδυσον, καὶ στέφανον ἐπίθες αὐτῷ, καὶ κάθισον ἐπὶ ὀχήματος ὑψηλοῦ καὶ περιφανοῦς. Νῦν γὰρ τοὐναντίον ποιεῖς, τὴν μὲν πόλιν καλλωπίζων ποικίλως, τὸν δὲ βασιλέα νοῦν ἀφεὶς σύρεσθαι δεδεμένον ὀπίσω τῶν ἀλόγων παθῶν. Οὐκ ἐννοεῖς, ὅτι εἰς γάμον ἐκλήθης, καὶ Θεοῦ γάμον; σὺ λογίζῃ πῶς εἰς ταύτας τὰς παστάδας τὴν κληθεῖσαν ψυχὴν εἰσιέναι χρή, κροσσωτοῖς χρυσοῖς περιβε-

καὶ ψυχικὰ ἀνάπηροι, πρᾶγμα ποὺ εἶναι κατὰ πολὺ χειρότερον ἀπὸ τὴν ἀκρωτηρίασιν τοῦ σώματος. Σεβασθῆτε τὴν φιλανθρωπίαν αὐτοῦ ποὺ σᾶς ἐκάλεσε καὶ κανεὶς ἂς μὴ συνεχίσῃ νὰ μένῃ μὲ ρυπαρὰ ἐνδύματα, ἀλλ᾽ ὁ καθένας ἂς φροντίζῃ διὰ τὴν στολὴν τῆς ψυχῆς του. Ἀκούσατε, γυναῖκες· ἀκούσατε, ἄνδρες. Δὲν χρειαζόμεθα αὐτὰ τὰ χρυσοΰφαντα ἐνδύματα, ποὺ μᾶς στολίζουν ἐξωτερικά, ἀλλ᾽ ἐκεῖνα ποὺ μᾶς στολίζουν ἐσωτερικά. Ἐν ὅσῳ θὰ ἔχωμεν αὐτά, εἶναι δύσκολον νὰ ἐνδυθῶμεν ἐκεῖνα. Δὲν εἶναι δυνατὸν νὰ καλλωπίζωμεν συγχρόνως καὶ τὴν ψυχὴν καὶ τὸ σῶμα. Δὲν εἶναι δυνατὸν καὶ εἰς τὸν μαμωνᾶν νὰ δουλεύῃς καὶ εἰς τὸν Χριστὸν νὰ ὑπακούῃς ὡς **πρέπει**.

Ἂς ἐκδιώξωμεν λοιπὸν ἀπὸ ἐπάνω μας αὐτὴν τὴν φοβερὴν τυραννίδα. Διότι οὔτε θὰ τὸ ἠνέχεσο μὲ εὐχαρίστησιν, ἐὰν κάποιος τὴν μὲν οἰκίαν του τὴν ἐστόλιζε κοσμῶν αὐτὴν μὲ χρυσᾶ παραπετάσματα, ἐσένα δὲ σὲ προσεκάλει νὰ καθήσῃς εἰς τὴν τράπεζάν του κουρελιάρην καὶ γυμνόν. Ἀλλὰ νὰ τώρα σὺ τὸ κάνεις αὐτὸ εἰς τὸν ἑαυτόν σου· τὴν μὲν οἰκίαν τῆς ψυχῆς σου, δηλαδὴ τὸ σῶμα, τὸ καλλωπίζεις μὲ ἄπειρα παραπετάσματα, τὴν δὲ ψυχήν σου τὴν ἀφήνεις νὰ κάθεται μέσα εἰς αὐτὸ μὲ κουρέλια. Δὲν γνωρίζεις, ὅτι ὁ βασιλεὺς τῆς πόλεως πρέπει πρὸ πάντων νὰ στολίζεται; Καὶ ἀκριβῶς διὰ τοῦτο διὰ μὲν τὴν πόλιν ἔχουν κατασκευασθῇ παραπετάσματα ἀπὸ λινόν, διὰ δὲ τὸν βασιλέα ἁλουργὶς καὶ στέμμα. Ἔτσι καὶ σύ, τὸ μὲν σῶμα ἔνδυσέ το μὲ πολὺ ἀσήμαντον στολήν, τὸν δὲ νοῦν ἔνδυσέ τον μὲ ἁλουργίδα καὶ βάλε ἐπάνω εἰς αὐτὸν στέφανον καὶ βάλε τον νὰ καθήσῃ ἐπάνω εἰς ὄχημα ὑψηλὸν καὶ περίλαμπρον. Τώρα ὅμως κάνεις τὸ ἀντίθετον· τὴν μὲν πόλιν τὴν καλλωπίζεις ποικιλοτρόπως, τὸν βασιλέα ὅμως νοῦν τὸν ἀφήνεις νὰ σύρεται δεμένος ὀπίσω ἀπὸ τὰ παράλογα πάθη. Δὲν σκέπτεσαι, ὅτι ἐκλήθης εἰς γάμον καὶ μάλιστα γάμον Θεοῦ; δὲν ἀναλογίζεσαι πῶς πρέπει νὰ εἰσέρχεται εἰς αὐτοὺς τοὺς νυμφικοὺς θαλάμους ἡ καλεσμένη ψυχή, ἐνδεδυμένη δηλαδὴ μὲ χρυσᾶ

βλημένην, πεποικιλμένην;

3. Βούλει σοι δείξω τοὺς οὕτως ἐστολισμένους; τοὺς ἔνδυμα ἔχοντας γάμου; Ἀναμνήσθητι τῶν ἁγίων ἐκείνων, ὑπὲρ ὧν πρώην ὑμῖν διελέχθην, τῶν τὰ τρίχινα ἐχόντων ἱμάτια, τῶν τὰς ἐρήμους οἰκούντων. Οὗτοι μάλιστά εἰσιν οἱ τὰ ἐνδύματα τῶν γάμων ἐκείνων ἔχοντες· καὶ δῆλον ἐντεῦθεν· ὅσας ἂν αὐτοῖς δῷς πορφυρίδας, οὐκ ἂν ἕλοιντο λαβεῖν· ἀλλ' ὥσπερ βασιλεύς, εἰ τοῦ πιωχοῦ τὰ ῥάκιά τις λαβών, κελεύει ταῦτα αὐτὸν ἐνδυθῆναι, δδελύξαιτο ἂν τὴν στολήν, οὕτω καὶ ἐκεῖνοι τὴν ἁλουργίδα τὴν ἐκείνου. Οὐδαμόθεν δὲ ἑτέρωθεν τοῦτο πάσχουσιν, ἀλλ' ἢ διὰ τὸ εἰδέναι τὸ κάλλος τῆς ἑαυτῶν στολῆς. Διὰ τοῦτο καὶ τὴν ἁλουργὸν ἐκείνην χλανίδα διαπτύουσιν ὡς ἀράχνην. Ταῦτα γὰρ αὐτοὺς ὁ σάκκος ἐδίδαξε· καὶ γάρ εἰσιν αὐτοῦ τοῦ βουλεύοντος ὑψηλότεροι πολλῷ καὶ λαμπρότεροι. Κἂν δυνηθῇς τὰς πύλας ἀναπτύξαι τοῦ νοῦ, καὶ τὴν ψυχὴν αὐτῶν καταδεῖν καὶ τὸν ἔνδον ἅπαντα κόσμον, κἂν εἰς τὴν γῆν καταπέσοις, οὐ φέρων τῆς εὐμορφίας τὴν λαμπηδόνα καὶ τὴν αἴγλην τῶν ἱματίων ἐκείνων καὶ τὴν ἀστραπὴν τοῦ συνειδότος αὐτῶν.

Ἔχομεν γὰρ εἰπεῖν καὶ παλαιοὺς ἄνδρας μεγάλους καὶ θαυμαστούς· ἀλλ' ἐπειδὴ τοὺς παχυτέρους τὰ δρώμενα ὑποδείγματα μᾶλλον ἐνάγει, διὰ τοῦτο ὑμᾶς καὶ ἐπὶ τὰς σκηνὰς πέμπω τῶν ἁγίων ἐκείνων. Οὐδὲν γὰρ ἔχουσι λυπηρόν, ἀλλ' ἅτε ἐν οὐρανοῖς πηξάμενοι τὰς καλύβας, οὕτω πόρρῳ τῶν ἐν τῷ παρόντι βίῳ μοχθηρῶν ἐσκήνωνται, στρατοπεδευόμενοι κατὰ τοῦ διαβόλου, καὶ ὥσπερ χορεύοντες, οὕτω πο-

19. Δηλαδὴ στὸν Χριστόν. «Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε Χριστὸν ἐνεδύσασθε».

κροσσωτὰ καί καλλωπισμένη;

3. Θέλεις νὰ σοῦ δείξω αὐτοὺς ποὺ εἶναι ἔτσι στολισμένοι; αὐτοὺς ποὺ ἔχουν ἔνδυμα γάμου; Ἐνθυμίσου ἐκείνους τοὺς ἁγίους, περί τῶν ὁποίων σᾶς ὡμίλησα παλαιότερα, ποὺ φοροῦν τρίχινα ἐνδύματα καὶ κατοικοῦν εἰς τὰς ἐρήμους. Αὐτοὶ κατ' ἐξοχὴν εἶναι ἐκεῖνοι ποὺ φοροῦν τὰ ἐνδύματα ἐκείνων τῶν γάμων· καὶ αὐτὸ γίνεται φανερὸν ἀπὸ τὸ ἑξῆς· ὅσα δηλαδὴ βασιλικὰ ἐνδύματα καὶ ἂν τοὺς δώσῃς, δὲν θὰ ἐπροτιμοῦσαν νὰ τὰ λάβουν· ἀλλ' ὅπως ἀκριβῶς βασιλεύς, ἐὰν κάποιος, ἀφοῦ ἐλάμβανε τὰ κουρελιασμένα ἐνδύματα τοῦ πτωχοῦ, προέτρεπεν αὐτὸν νὰ ἐνδυθῇ αὐτά, θὰ ἐβδελύσσετο τὴν στολήν, ἔτσι καὶ ἐκεῖνοι συχαίνονται τὴν βασιλικὴν στολήν. Καὶ συμβαίνει αὐτὸ εἰς αὐτοὺς ὄχι διὰ κάποιαν ἄλλην αἰτίαν, ἀλλὰ διὰ τὸ ὅτι γνωρίζουν τὸ κάλλος τῆς ἰδικῆς των στολῆς[19]. Διὰ τοῦτο καὶ τὸ βασιλικὸν ἐκεῖνο ἔνδυμα τὰ περιφρονοῦν ὡσὰν ἀράχνην. Καὶ ὅλα αὐτὰ βέβαια τοὺς τὰ ἐδίδαξεν ὁ σάκκος ποὺ φοροῦν· καθ' ὅσον εἶναι πολὺ πιὸ ὑψηλότεροι καὶ λαμπρότεροι καὶ ἀπὸ αὐτὸν τὸν ἴδιον τὸν βασιλέα. Καὶ ἂν ἠμπορέσῃς ν' ἀνοίξῃς τὰς πύλας τοῦ νοῦ των καὶ νὰ ἐξετάσῃς τὴν ψυχήν των καὶ ὅλον τὸν ἐσωτερικὸν κόσμον των, καὶ ἂν ἀκόμη ἤθελες κατέλθῃ εἰς τὴν γῆν, δὲν θὰ ἠμπορέσῃς ν' ἀνθέξῃς τὴν λαμπρότερα τῆς ὁμορφιᾶς των καὶ τὴν λάμψιν τῶν ἐνδυμάτων ἐκείνων καὶ τὴν ἀπαστράπτουσαν συνείδησίν των.

Ἠμποροῦμεν βέβαια καὶ παλαιοὺς ἄνδρας ν' ἀναφέρωμεν μεγάλους καὶ θαυμαστούς, ἐπειδὴ ὅμως τοὺς πνευματικὰ ἀνωρίμους τοὺς παρακινοῦν κατὰ πολὺ περισσότερον τὰ βλεπόμενα πράγματα, διὰ τοῦτο σᾶς παραπέμπω πρὸς τὰς σκηνὰς ἐκείνων τῶν ἁγίων. Διότι αὐτοὶ δὲν ἔχουν τίποτε τὸ λυπηρόν, ἀλλ' ἐπειδὴ ἔστησαν τὰς καλύβας των εἰς τοὺς οὐρανούς, ἔχουν κατασκηνώσει πάρα πολὺ μακρυὰ ἀπὸ τὰ δυσάρεστα τῆς παρούσης ζωῆς καί, συναθροίζοντες στρατὸν ἐναντίον τοῦ διαβόλου, πολεμοῦν αὐτὸν ὡσὰν νὰ χορεύουν.

λεμοῦσιν αὐτῷ. Διά τοι τοῦτο καλύβας πηξάμενοι, πόλεις καὶ ἀγορὰς καὶ οἰκίας ἔφυγον. Τὸν γὰρ πολεμοῦντα οὐκ ἔνι ἐν οἰκίᾳ καθῆσθαι, ἀλλὰ σχεδιάσαντα τὴν οἴκησιν, ὡς μέλλοντα εὐθέως ἐπανίστασθαι, οὕτω κατοικεῖν.

Τοιοῦτοι ἐκεῖνοι πάντες, ἀπεναντίας ἡμῖν. Ἡμεῖς μὲν γὰρ οὐχ ὡς ἐν στρατοπέδῳ, ἀλλ' ὡς ἐν πόλει εἰρηνικῇ ζῶμεν. Τίς γὰρ ἐπὶ στρατοπέδου ποτὲ θεμελίους καταβάλλεται, καὶ οἰκίαν οἰκοδομεῖται, ἣν μικρὸν ὕστερον ἀπολιμπάνειν μέλλει; Οὐκ ἔστιν οὐδείς· ἀλλὰ κἂν ἐπιχειρήσῃ τις, ὡς προδότης ἀναιρεῖται. Τίς ἐπὶ στρατοπέδου πλέθρα γῆς ὠνεῖται, καὶ πραγματείας συντίθησιν; Οὐκ ἔστιν οὐδείς· καὶ μάλα εἰκότως. Πολεμῆσαι γάρ, φησί, παραγέγονας, οὐ καπηλεῦσαι. Τί τοίνυν φιλοπονεῖς περὶ τὸν τόπον, ὃν μικρὸν ὕστερον ἀφήσεις; Ὅταν ἀπέλθωμεν εἰς τὴν πατρίδα, ταῦτα ποίει. Ταῦτα καὶ σοὶ λέγω νῦν ἐγώ. Ὅταν ἀναχωρήσωμεν εἰς τὴν πόλιν τὴν ἄνω, ταῦτα ποίει· μᾶλλον δὲ οὐδέν σοι δεῖ πόνων ἐκεῖ· λοιπὸν ὁ βασιλεύς σοι πάντα ἐργάσεται. Ἐνταῦθα δὲ ἀρκεῖ τάφρον περιελάσαι μόνον καὶ χάρακα πήξασθαι· οἰκοδομῆς δὲ οὐδεμία χρεία. Ἄκουσον οἷος τῶν ἁμαξοβίων Σκυθῶν ὁ βίος, οἷαν τοὺς νομάδας φασὶν ἔχειν διαγωγήν.

Οὕτω τοὺς Χριστιανοὺς ζῆν ἔδει· περιϊέναι τὴν οἰκουμένην, πολεμοῦντας τῷ διαβόλῳ, αἰχμαλώτους ῥυομένους τοὺς ὑπ' ἐκείνου κατεχομένους καὶ πάντων ἀπηλλάχθαι τῶν βιωτικῶν. Τί κατασκευάζεις οἰκίαν, ἄνθρωπε, ἵνα μᾶλλον σαυτὸν δήσῃς; Τί κατορύττεις θησαυρόν, καὶ καλεῖς κατὰ σαυτοῦ τὸν πολέμιον; τί περιβάλλεις τείχη, καὶ σαυτῷ κα-

---

20. Αὐτοὶ δὲν εἶχον μόνιμον κατοικίαν, ἀλλὰ μετεκινοῦντο διαρκῶς ἀπὸ τόπου εἰς τόπον, μεταφέροντες τὰ πράγματά των ἐπάνω εἰς ἅμαξαν ἐξ οὗ καὶ ἁμαξόβιοι καλοῦνται ὑπὸ τοῦ Χρυσοστόμου.

Διὰ τοῦτο λοιπόν, στήσαντες καλύβας, ἐγκατέλειψαν πόλεις καὶ ἀγορὰς καὶ οἰκίας. Διότι αὐτὸς ποὺ πολεμᾷ δὲν εἶναι δυνατὸν νὰ κάθεται εἰς τὴν οἰκίαν του, ἀλλὰ νὰ κτίζῃ τὴν κατοικίαν του ὡσὰν νὰ πρόκειται ν' ἀναχωρήσῃ ἀπ' αὐτὴν ἀμέσως καὶ κατὰ τὸν ἴδιον τρόπον νὰ κατοικῇ εἰς αὐτήν.

Τέτοιοι ἦσαν ὅλοι ἐκεῖνοι, μὲ ἐμᾶς ὅμως συμβαίνει τὸ ἐντελῶς ἀντίθετον. Καθ' ὅσον ἡμεῖς ζῶμεν ὄχι ὡσὰν εἰς στρατόπεδον, ἀλλ' ὡσὰν εἰς πόλιν εἰρηνικήν. Διότι ποῖος ποτὲ εἰς στρατόπεδον θέτει θεμέλια καὶ κτίζει οἰκίαν, τὴν ὁποίαν πρόκειται μετὰ ἀπὸ ὀλίγον νὰ ἐγκαταλείψῃ; Δὲν ὑπάρχει κανείς, ἀλλὰ καὶ ἂν ἀκόμη ἐπιχειρήσῃ κανεὶς νὰ τὸ κάνῃ, φονεύεται ὡσὰν προδότης. Ποῖος ἀγοράζει μέσα εἰς τὸν χῶρον τοῦ στρατοπέδου ὡρισμένην ἔκτασιν γῆς καὶ ἐγκαθιστᾷ εἰς αὐτὴν ἐμπορικὴν ἐπιχείρησιν; Δὲν ὑπάρχει κανείς· καὶ κατὰ πολὺ φυσικὸν λόγον· διότι, λέγει, ἦλθες νὰ πολεμήσῃς καὶ ὄχι ν' ἀσχοληθῇς μὲ ἐμπόριον. Διατί λοιπὸν κοπιάζεις διὰ τὸν τόπον, τὸν ὁποῖον μετὰ ἀπὸ ὀλίγον θὰ τὸν ἐγκαταλείψῃς; Ὅταν θὰ μεταβῶμεν εἰς τὴν πατρίδα τότε κάμνε αὐτά. Τὰ ἴδια σὲ συμβουλεύω καὶ ἐγὼ τώρα. Ὅταν φύγωμεν καὶ μεταβῶμεν εἰς τὴν οὐράνιον πόλιν, τότε κάμνε τα αὐτά· ἢ καλύτερα ἐκεῖ δὲν χρειάζεσαι κανένα κόπον· διότι ἐκεῖ ὅλα θὰ σοῦ τὰ κάνῃ ὁ βασιλεύς σου. Ἐδῶ σοῦ εἶναι ἀρκετὸν ν' ἀνοίξῃς ἕνα μόνον αὐλάκι καὶ νὰ στήσῃς ἕνα πάσσαλον καὶ δὲν χρειάζεται νὰ κατασκευάσῃς καμμίαν οἰκοδομήν. Ἀναλογίσου ποῖος εἶναι ὁ τρόπος ζωῆς τῶν ἀμαξοβίων Σκυθῶν[10], ποὺ ὁμοιάζει μὲ τὴν ζωὴν τῶν νομάδων.

Ἔτσι ἔπρεπε καὶ οἱ Χριστιανοὶ νὰ ζοῦν· νὰ περιέρχωνται τὴν οἰκουμένην, νὰ πολεμοῦν τὸν διάβολον, νὰ ἐλευθερώνουν ἐκείνους ποὺ συνελήφθησαν ὑπ' αὐτοῦ αἰχμάλωτοι καὶ νὰ εἶναι ἀπηλλαγμένοι ἀπὸ ὅλας τὰς κοσμικὰς φροντίδας. Διατί κτίζεις, ἄνθρωπε, οἰκίαν, διὰ νὰ δέσῃς περισσότερον τὸν ἑαυτόν σου; Διατί κρύπτεις μέσα εἰς τὴν γῆν θησαυρὸν καὶ καλεῖς ἐναντίον σου τὸν ἐχθρόν; διατί περιβάλλεις μὲ τείχη τὴν οἰκίαν σου καὶ κατασκευάζεις φυ-

ιασκευάζεις φυλακήν; Εἰ δὲ δύσκολα ταῦτα εἶναί σοι δοκεῖ, ἀπέλθωμεν πρὸς τὰς ἐκείνων σκηνάς, ἵνα διὰ τῶν ἔργων μάθωμεν τὴν εὐκολίαν. Καλύβας γὰρ ἐκεῖνοι πηξάμενοι, κἂν ἀποσῆναι δέῃ τούτων, οὕτως ἀφίστανται, ὥσπερ οἱ στρατιῶται ἐν εἰρήνῃ τὸ στρατόπεδον ἀφέντες. Καὶ γὰρ οὕτως ἐσκήνωται, μᾶλλον δὲ καὶ πολλῷ ἥδιον. Καὶ γὰρ ἥδιον ἰδεῖν ἐρημίαν σκηνὰς ἔχουσαν μοναχῶν συνεχεῖς, ἢ στρατιώτας ἐν στρατοπέδῳ παραπετάσματα τεινόντας καὶ δόρατα πηγνυμένους καὶ τῆς τῶν δοράτων αἰχμῆς φάρη κροκωτὰ ἐξαρτῶντας, καὶ πλῆθος ἀνθρώπων χαλκᾶς ἐχόντων κεφαλάς, καὶ πολὺ τῶν ἀσπίδων ἀστράπτοντας τοὺς ὀμφαλούς, καὶ σιδήρῳ τεθωρακισμένους ὅλους διόλου, καὶ βασίλεια ἐσχεδιασμένα, καὶ πεδίον ἡπλωμένον πολύ, καὶ ἀριστοποιουμένους καὶ αὐλοῦντας. Οὐδὲ γὰρ οὕτω τερπνὸν τὸ θέατρον τοῦτο, οἷον ὃ ἐγὼ λέγω νῦν. Ἂν γὰρ ἀπέλθωμεν εἰς τὴν ἔρημον, καὶ ἴδωμεν τῶν τοῦ Χριστοῦ στρατιωτῶν τὰς σκηνάς, οὐ παραπετάσματα τεινόμενα ὀψόμεθα, οὐδὲ αἰχμὰς δοράτων, οὐδὲ πέπλους χρυσοῦς θόλον βασιλικὴν ποιοῦντας, ἀλλ' οἷον ἂν εἴ τις ἐν γῇ πολλῷ ταύτης μακροτέρᾳ καὶ ἀπείρῳ πολλοὺς ἔτεινεν οὐρανούς, καινὸν καὶ φρικῶδες ἂν ἔδειξε τὸ θέατρον, οὕτω καὶ ἐκεῖ θεάσασθαι ἔνι. Οὐδὲν γὰρ αὐτῶν τὰ καταγώγια χεῖρον τῶν οὐρανῶν διάκεινται· καὶ γὰρ ἄγγελοι κατάγονται πρὸς αὐτοὺς καὶ ὁ τῶν ἀγγέλων Δεσπότης. Εἰ γὰρ πρὸς τὸν Ἀβραὰμ ἦλθον, ἄνδρα γυναῖκα ἔχοντα καὶ παιδία τρέφοντα, ἐπειδὴ φιλόξενον εἶδον· ὅταν πολλῷ πλείονα εὕρωσιν ἀρετήν, καὶ ἄνθρωπον σώματος ἀπαλλα-

λακὴν διὰ τὸν ἑαυτόν σου; Ἐὰν δὲ αὐτὰ σοῦ φαίνονται δύσκολα, ἂς μεταβῶμεν πρὸς τὰς σκηνὰς ἐκείνων, ὥστε διὰ τῶν ἔργων νὰ γνωρίσωμεν τὴν εὐκολίαν. Διότι ἐκεῖνοι στήσαντες καλύβας, καὶ ἂν ἀκόμη χρειασθῇ ν' ἀποχωρισθοῦν αὐτάς, μὲ τόσην εὐκολίαν τὰς ἐγκαταλείπουν, ὅπως ἀκριβῶς οἱ στρατιῶται ἐγκαταλείπουν ἐν καιρῷ εἰρήνης τὸ στρατόπεδον. Πράγματι κατ' αὐτὸν τὸν τρόπον ἔχουν στήσει τὰς σκηνάς των, μᾶλλον δὲ καὶ μὲ πολὺ μεγαλυτέραν εὐχαρίστησιν. Καθ' ὅσον εἶναι εὐχάριστον νὰ βλέπῃς μίαν ἔρημον τοποθεσίαν νὰ ἔχῃ συνεχεῖς σκηνὰς τῶν μοναχῶν, παρὰ στρατιώτας νὰ στήνουν ἀντίσκηνα εἰς στρατόπεδον καὶ νὰ θέτουν μέσα εἰς τὴν γῆν δόρατα καὶ νὰ κρεμοῦν ἀπὸ τὴν αἰχμὴν τῶν δοράτων κροκοβαμένους χιτῶνας, καὶ πλῆθος ἀνθρώπων ποὺ φοροῦν χάλκινα κράνη καὶ ν' ἀπαστράπτουν εἰς μεγάλον βαθμὸν αἱ στραγγύλαι ἐπιφάνειαι τῶν ἀσπίδων, καὶ νὰ εἶναι ἐντελῶς καλυμμένοι μὲ σιδηρένιους θώρακας, καὶ κτίρια ἀρχιτεκτονικὰ κατασκευασμένα, καί μεγάλην ἔκτασιν στρατοπέδου, καὶ στρατιώτας ἄλλους μὲν νὰ τρώγουν καὶ ἄλλους νὰ διασκεδάζουν. Πράγματι αὐτὸ τὸ θέαμα δὲν εἶναι τόσον εὐχάριστον, ὅσον αὐτὸ ποὺ ἐγὼ σᾶς περιγράφω τώρα. Διότι ἐὰν μεταβῶμεν εἰς τὴν ἔρημον καὶ ἰδοῦμεν τὰς σκηνὰς τῶν στρατιωτῶν τοῦ Χριστοῦ, δὲν θὰ ἰδοῦμεν στημένας σκηνάς, οὔτε αἰχμὰς δοράτων, οὔτε χρυσᾶ πέπλα, παριστάνοντα βασιλικὰς αἰθούσας, ἀλλ' ὅπως ἀκριβῶς, ἐὰν κάποιος ἐτέντωνε πολλοὺς οὐρανοὺς εἰς γῆν πολὺ πιὸ μεγάλην ἀπὸ αὐτὴν καὶ ἀπέραντον, θὰ παρουσίαζε ἕνα παράδοξον καὶ φρικιαστικὸν θέαμα, τὰ ἴδια ἀκριβῶς εἶναι δυνατὸν νὰ ἰδῇ κανεὶς καὶ ἐκεῖ. Διότι τὰ καταγώγια τῶν ἀσκητῶν δὲν εἶναι ὡς πρὸς τίποτε κατώτερα τῶν οὐρανῶν, καθ' ὅσον κατεβαίνουν πρὸς αὐτοὺς ἄγγελοι καθὼς καὶ ὁ Κύριος τῶν ἀγγέλων. Διότι, ἐὰν ἦλθον εἰς τὸν Ἀβραάμ, ποὺ ἦτο ἄνθρωπος ἔγγαμος καὶ πατὴρ τέκνων ἐπειδὴ τὸν εἶδον φιλόξενον, πολὺ περισσότερον κατέρχονται ἐδῶ καὶ ψάλλουν τὴν πρέπουσαν εἰς αὐτοὺς ὑμνῳδίαν, ὅταν εὕρουν περισ-

γέντα, καὶ ἐν σαρκὶ σαρκὸς ὑπερορῶντα, πολλῷ μᾶλλον ἐνταῦθα διατρίβουσι, καὶ χορεύουσι τὴν αὐτοῖς πρέπουσαν χορείαν. Καὶ γὰρ τράπεζα παρ' ἐκείνοις πάσης πλεονεξίας καθαρά, καὶ φιλοσοφίας μεστή.

Οὐχ αἱμάτων χείμαρροι παρ' αὐτοῖς, οὐδὲ κρεῶν κατακοπαί, οὐδὲ καρηβαρίαι, οὐδὲ καρυκεῖαι, οὐδὲ κνῖσαι παρ' αὐτοῖς ἀηδεῖς, οὐδὲ καπνὸς ἀτερπής, οὐδὲ δρόμοι καὶ θόρυβοι καὶ ταραχαὶ καὶ κραυγαὶ ἐπαχθεῖς, ἀλλ' ἄρτος καὶ ὕδωρ· τὸ μὲν ἐκ πηγῆς καθαρᾶς, τὸ δὲ ἀπὸ πόνων δικαίων. Εἰ δέ που καὶ φιλοτιμότερον ἑστιᾶσασθαι βουληθεῖεν, ἀκρόδρυα ἡ φιλοτιμία γίνεται· καὶ μείζων ἐνταῦθα ἡ ἡδονή, ἢ ἐν ταῖς βασιλικαῖς τραπέζαις. Οὐδεὶς ἐνταῦθα φόβος καὶ τρόμος, οὐκ ἄρχων ἐνεκάλεσεν, οὐ γυνὴ παρώξυνεν, οὐ παιδίον εἰς ἀθυμίαν ἐνέβαλεν, οὐ γέλως ἄτακτος ἐξέλυσεν, οὐ κολάκων πλῆθος ἐφύσησεν· ἀλλ' ἀγγέλων ἐστὶν ἡ τράπεζα, πάσης τοιαύτης ταραχῆς ἀπηλλαγμένη. Καὶ στιβὰς αὐτοῖς χόρτος ἁπλῶς ὑπόκειται, καθάπερ ἐν ἐρήμῳ ἀριστοποιῶν ὁ Χριστὸς ἐποίησε. Πολλοὶ δὲ οὐδὲ ὑπωρόφιοι τοῦτο ποιοῦσιν, ἀλλ' ἀντὶ στέγης τὸν οὐρανὸν ἔχουσι, καὶ τὴν σελήνην ἀντὶ φωτὸς λύχνου, οὐ δεομένου ἐλαίου, οὐδὲ τοῦ διακονησομένου· ἐκείνοις μόνοις ἀξίως ἄνωθεν αὕτη φαίνει.

4. Ταύτην καὶ ἄγγελοι ἐκ τοῦ οὐρανοῦ τὴν τράπεζαν θεωροῦντες, τέρπονται καὶ ἥδονται. Εἰ γὰρ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι χαίρουσιν, ἐπὶ δικαίοις τοσούτοις μιμουμένοις αὐτοὺς τί οὐκ ἐργάσονται; Οὐκ ἔστιν ἐκεῖ δεσπότης καὶ δοῦλος· πάντες δοῦλοι, πάντες ἐλεύθεροι. Καὶ μὴ νομίσῃς αἴνιγμα εἶναι τὸ εἰρημένον· καὶ γὰρ δοῦλοι ἀλλήλων, καὶ δεσπόται ἀλλήλων εἰσίν. Οὐκ ἔστιν ἑσπέρας καταλαβού-

---

21. Ἀκρόδρυα: καρποὶ ὀπωροφόρων δένδρων καὶ ἰδίως αὐτοὶ ποὺ μετὰ τὴν ὡρίμανσιν ἔχουν ξυλώδες καὶ σκληρὸν κέλυφος, ὡς κάστανα, ξυλοκέρατα κλπ.

22. Λουκᾶ 15, 7.

σοτέραν ἀρετὴν καὶ ἄνθρωπον ποὺ ἀπηλλάγη τοῦ σώματος καὶ ποὺ περιφρονεῖ τὴν σάρκα, ἂν καὶ περιβάλλεται ἀπὸ τὴν σάρκα. Καθ' ὅσον καὶ τράπεζα παρατίθεται εἰς αὐτοὺς ποὺ εἶναι καθαρὰ ἀπὸ κάθε πλεονεξίαν καὶ γεμάτη μὲ φιλοσοφίαν.

Δὲν ὑπάρχουν εἰς αὐτοὺς χείμαρροι αἱμάτων, οὔτε τεμάχια κρεάτων, οὔτε κεφαλόπονοι, οὔτε φαγητὰ καρυκευμένα, οὔτε ἀηδιαστικαὶ ὀσμαὶ ψητῶν, οὔτε δυσάρεστος καπνός, οὔτε δρόμοι καὶ θόρυβοι καὶ ταραχαὶ καὶ θόρυβοι ἐνοχλητικοί, ἀλλ' ὑπάρχει ψωμὶ καὶ νερό, τὸν μὲν νερὸ προερχόμενον ἀπὸ πηγὴν καθαράν, τὸ δὲ ψωμὶ ἀπὸ κόπους δικαίους. Ἐὰν ὅμως ἤθελον ἐπιθυμήσει νὰ φάγουν καὶ κάτι ἐπὶ πλέον, ἡ ἐπιθυμία αὐτὴ ἐκπληρώνεται μὲ ἀκρόδρυα[21], καὶ εἶναι μεγαλυτέρα ἡ ἡδονὴ εἰς τὰς τραπέζας αὐτάς, παρὰ εἰς τὰς βασιλικὰς τραπέζας. Διότι δὲν ὑπάρχει ἐδῶ κανεὶς φόβος καὶ τρόμος, οὔτε κατηγορία ἄρχοντος, οὔτε ἐρεθισμὸς ἐκ μέρους γυναικός, οὔτε παιδὶ ποὺ νὰ προκαλῇ στενοχώριαν, οὔτε συμβαίνουν γέλια ἀπρεπῆ, οὔτε ὑπερηφάνεια προερχομένη ἀπὸ τὸ πλῆθος τῶν κολάκων, ἀλλ' ἡ τράπεζα εἶναι ἀγγελική, ἀπηλλαγμένη ἀπὸ κάθε παρομοίαν ταραχήν. Καὶ διὰ στρῶμα χρησιμοποιοῦν ἁπλῶς χόρτα, ὅπως ἀκριβῶς συνέβη εἰς τὴν ἔρημον, ὅταν ὁ Χριστὸς παρέθεσε τράπεζαν (πολλαπλασιάζων τοὺς ἄρτους). Πολλοὶ δὲ δὲν χρησιμοποιοῦν οὔτε καὶ ὑπόστεγον, ἀλλ' ἔχουν ἀντὶ στέγης τὸν οὐρανόν, καὶ τὴν σελήνην ἀντὶ λυχναριοῦ φωτός, ποὺ δὲν χρειάζεται λάδι οὔτε καὶ ὑπηρέτην· μόνον εἰς ἐκείνους φωτίζει ἀπὸ ὑψηλὰ ἐπαξίως.

4. Αὐτὴν τὴν τράπεζαν βλέποντες καὶ οἱ ἄγγελοι ἀπὸ τὸν οὐρανόν, χαίρονται καὶ εὐχαριστιοῦνται. Διότι, ἐὰν χαίρωνται ὅταν μετανοῇ ἕνας ἁμαρτωλός[22], τί δὲν θὰ κάνουν ὅταν τόσοι πολλοὶ μιμοῦνται αὐτούς; Δὲν ὑπάρχει ἐκεῖ κύριος καὶ δοῦλος· ὅλοι εἶναι δοῦλοι, ὅλοι εἶναι ἐλεύθεροι. Καὶ μὴ θεωρήσῃς αὐτὸν τὸν λόγον ὡσὰν αἴνιγμα, διότι αὐτοὶ πράγματι εἶναι μεταξύ των καὶ δοῦλοι καὶ κύριοι ὁμοίως. Δὲν εἶναι δυνατὸν νὰ ἔλθῃ ἑσπέρας καὶ νὰ τοὺς εὕρῃ νὰ

σης ἐν καιηφείᾳ γενέσθαι, ὅπερ πολλοὶ τῶν ἀνθρώπων πάσχουσι, τὰς ἐκ τῶν μεθημερινῶν κακῶν ἀναλογιζόμενοι φροντίδας. Οὐκ ἔστι μετὰ τὸ δεῖπνον μεριμνῆσαι λῃστὰς καὶ ἀποκλεῖσαι θύρας καὶ ἐπιθεῖναι μοχλούς, οὐδὲ τἆλλα δεῖσαι, ἃ πολλοὶ δεδοίκασι, τοὺς λύχνους μετὰ ἀκριβείας κοιμίζοντες, μή που σπινθὴρ ἐμπρήσῃ τὴν οἰκίαν. Καὶ ἡ διάλεξις δὲ αὐτοῖς τῆς αὐτῆς γέμει γαλήνης. Οὐ γὰρ ταῦτα, ἅπερ ἡμεῖς διαλεγόμεθα, φθέγγονται, τὰ μηδὲν πρὸς ἡμᾶς· ὁ δεῖνα γέγονεν ἄρχων, ὁ δεῖνα ἐπαύσατο τῆς ἀρχῆς, ὁ δεῖνα ἐτελεύτησε καὶ τὸν κλῆρον διεδέξατο ἕτερος, καὶ ὅσα τοιαῦτα· ἀλλ᾽ ἀεὶ περὶ τῶν μελλόντων φθέγγονται καὶ φιλοσοφοῦσι· καὶ ὥσπερ ἑτέραν οἰκοῦντες οἰκουμένην, ὥσπερ εἰς αὐτὸν μετασπάντες τὸν οὐρανόν, ὥσπερ ἐκεῖ ζῶντες, οὕτω τὰ ἐκεῖ πάντα διαλέγονται, περὶ τῶν κόλπων τοῦ Ἀβραάμ, περὶ τῶν στεφάνων τῶν ἁγίων, περὶ τῆς μετὰ Χριστοῦ χορείας· καὶ τῶν παρόντων αὐτοῖς οὐδὲ μνήμη τις, οὐδὲ λόγος· ἀλλ᾽ ὥσπερ ἡμεῖς οὐκ ἂν ἀξιώσαιμέν τι εἰπεῖν περὶ ὧν οἱ μύρμηκες κατὰ τὰς ὁπὰς καὶ τοὺς χηραμοὺς πράττουσιν, οὕτως οὐδὲ ἐκεῖνοι, τί ποιοῦμεν ἡμεῖς, ἀλλὰ περὶ τοῦ βασιλέως τοῦ ἄνω, περὶ τοῦ πολέμου τοῦ ἐν χερσί, περὶ τῶν τοῦ διαβόλου μηχανημάτων, περὶ τῶν κατορθωμάτων ὧν οἱ ἅγιοι κατώρθωσαν.

Τί τοίνυν πρὸς ἐκείνους ἡμεῖς παραβαλλόμενοι μυρμήκων διενηνόχαμεν; Καθάπερ γὰρ ἐκεῖνοι τῶν σωματικῶν ἐπιμελοῦνται, οὕτω καὶ ἡμεῖς· καὶ εἴθε τούτων μόνων ἡμεῖς· νῦν δὲ καὶ πολλῷ χειρόνων. Οὐ γὰρ τῶν ἀναγκαίων ἐπιμελούμεθα μόνον, καθάπερ ἐκεῖνοι, ἀλλὰ καὶ τῶν περιττῶν.

εἶναι στενοχωρημένοι, πρᾶγμα ποὺ παθαίνουν πολλοὶ ἀπὸ τοὺς ἀνθρώπους σκεπτόμενοι τὰς φροντίδας τῶν καθημερινῶν κακῶν. Δὲν εἶναι ἀνάγκη μετὰ τὸ δεῖπνον νὰ φροντίσουν ν' ἀσφαλισθοῦν ἀπὸ λῃστὰς καὶ νὰ κλείσουν τὰς θύρας, καὶ νὰ θέσουν μοχλούς, οὔτε νὰ φοβηθοῦν ὅλα τὰ ἄλλα, ποὺ φοβοῦνται πολλοί, σβήνοντες μὲ πολλὴν προσοχὴν τὰ λυχνάρια μὴ τυχὸν κάποιος σπινθὴρ προκαλέσῃ πυρκαϊὰν εἰς τὴν οἰκίαν. Ἀλλὰ καὶ ἡ μεταξύ των συζήτησις εἶναι γεμάτη ἀπὸ τὴν ἰδίαν γαλήνην. Διότι δὲν συζητοῦν αὐτὰ ποὺ συζητοῦμεν ἐμεῖς, ποὺ δὲν μᾶς ἐνδιαφέρουν καθόλου, ὅπως ἐπὶ παραδείγματι ὁ τάδε ἔγινεν ἄρχων, ὁ τάδε ἔχασε τὴν ἐξουσίαν, ὁ τάδε ἀπέθανε καὶ ἄλλος ἐκληρονόμησε τὴν περιουσίαν του καὶ τόσα παρόμοια, ἀλλὰ συνεχῶς συζητοῦν καὶ φιλοσοφοῦν διὰ τὰ μελλοντικὰ πράγματα· καὶ ὡσὰν νὰ κατοικοῦν εἰς ἄλλην οἰκουμένην, ὡσὰν νὰ μετέβησαν εἰς αὐτὸν τὸν οὐρανόν, ὡσὰν νὰ ζοῦν ἐκεῖ, ἔτσι συζητοῦν ὅλα τὰ σχετικὰ μὲ ἐκεῖ, τὰ περὶ τῶν κόλπων δηλαδὴ τοῦ Ἀβραάμ, περὶ τῶν στεφάνων τῶν ἁγίων, περὶ τῆς χορείας τοῦ Χριστοῦ· καὶ καμμία σκέψις δὲν δημιουργεῖται εἰς αὐτοὺς διὰ τὰ κοσμικὰ πράγματα, οὔτε καὶ συζητοῦν τίποτε σχετικόν, ἀλλ' ὅπως ἀκριβῶς ἐμεῖς δὲν θὰ ἦτο δυνατὸν νὰ θελήσωμεν νὰ εἰποῦμεν κάτι δι' ἐκεῖνα ποὺ κάνουν τὰ μυρμήγκια μέσα εἰς τὰς ὀπὰς καὶ τὰς φωλεάς των, ἔτσι οὔτε καὶ ἐκεῖνοι ἀσχολοῦνται μὲ ἐκεῖνα ποὺ κάμνομεν ἐμεῖς, ἀλλὰ συζητοῦν περὶ τοῦ οὐρανίου βασιλέως, περὶ τοῦ πολέμου ποὺ προβάλλει ἐμπρός των, περὶ τῶν μηχανορραφιῶν τοῦ διαβόλου, περὶ τῶν κατορθωμάτων ποὺ ἐπέτυχον οἱ ἅγιοι.

Ὡς πρὸς τί λοιπὸν διαφέρομεν ἐμεῖς ἀπὸ τὰ μυρμήγκια, συγκρινόμενοι πρὸς ἐκείνους; Διότι ὅπως ἀκριβῶς ἐκεῖνα φροντίζουν διὰ τὰ σωματικὰ πράγματα, ἔτσι καὶ ἐμεῖς· καὶ μακάρι νὰ ἐφροντίζαμεν μόνον δι' αὐτά, ἐνῷ ἐμεῖς τώρα φροντίζομεν διὰ πολὺ πιὸ χειρότερα. Διότι δὲν φροντίζομεν μόνον διὰ τὰ ἀναγκαῖα, ὅπως ἀκριβῶς τὰ μυρμήγκια, ἀλλὰ καὶ διὰ τὰ περιττά. Καθ' ὅσον ἐκεῖνα μὲν χρησιμοποιοῦν τρό-

Οἱ μὲν γὰρ πόρον παντὸς ἐγκλήματος ἀπηλλαγμένον μετέρχονται· ἡμεῖς δὲ πᾶσαν πλεονεξίαν· καὶ οὐδὲ τὰ μυρμήκων μιμούμεθα, ἀλλὰ τὰ τῶν λύκων, τὰ τῶν παρδάλεων· μᾶλλον δὲ καὶ ἐκείνων χείρους. Ἐκείνοις μὲν γὰρ ἡ φύσις οὕτως ἔδωκε τρέφεσθαι· ἡμᾶς δὲ λόγῳ καὶ ἰσονομίᾳ τετίμηκεν ὁ Θεός, καὶ τῶν θηρίων γεγόναμεν χείρους. Καὶ ἡμεῖς μὲν τῶν ἀλόγων χείρους, ἐκεῖνοι δὲν τῶν ἀγγέλων ἴσοι, ξένοι καὶ παρεπίδημοι τῶν ἐνταῦθα ὄντες· καὶ πάντα αὐτοῖς ἐνήλλακται πρὸς ἡμᾶς, καὶ ἐνδύματα, καὶ τροφή, καὶ οἰκία, καὶ ὑποδήματα, καὶ λαλιά. Καὶ εἴ τις ἐκείνων ἤκουσε διαλεγομένων καὶ ἡμῶν, τότε ἂν ἔγνω καλῶς πῶς οἱ μὲν οὐρανοπολῖται, ἡμεῖς δὲ οὐδὲ τῆς γῆς ἄξιοι. Διὰ δὴ τοῦτο, ἐπειδάν τις ἀξίωμα περιβεβλημένος πρὸς αὐτούς, τότε μάλιστα ἐλέγχεται ὁ τῦφος ἅπας. Ὁ γὰρ γηπόνος ἐκεῖνος, καὶ ὁ πάντων ἄπειρος τῶν βιωτικῶν, τοῦ στρατηγοῦ καὶ μέγα ἐπὶ τῇ ἀρχῇ φρονοῦντος πλησίον κάθηται ἐπὶ στιβάδος, ἐπὶ προσκεφαλαίου ῥυπῶντος. Οὐ γάρ εἰσιν οἱ αἴροντες αὐτὸν καὶ φυσῶντες, ἀλλὰ ταὐτὸν γίνεται, οἷον ἂν εἴ τις παρὰ χρυσοχόου ἔλθοι καὶ ῥοδωνιάν· καὶ γὰρ καὶ ἀπὸ τοῦ χρυσίου καὶ ἀπὸ τῶν ῥόδων δέχεταί τινα λαμπηδόνα· οὕτω κἀκεῖνοι, ἀπὸ τῆς αὐτῆς τῆς τούτων κερδαίνοντες μικρόν, τῆς ἀπονοίας τῆς ἔμπροσθεν ἐπαλλάττονται. Καὶ ὥσπερ εἴ τις εἰς ὑψηλὸν ἔλθοι τόπον, κἂν σφόδρα βραχὺς ᾖ, ὑψηλὸς φαίνεται, οὕτω καὶ οὗτοι, πρὸς τὰς ὑψηλὰς αὐτῶν ἐρχόμενοι διανοίας, τοιοῦτοι φαίνονται, ἕως ἂν ἐκεῖ μένωσι, κατελθόντες δὲ ταπεινοῦνται

που; πρὸς ἐξεύρεσιν τῶν ἀναγκαίων ἀπηλλαγμένα ἀπὸ κάθε κατηγορίαν, ἐνῷ ἐμεῖς χρησιμοποιοῦμεν κάθε μορφὴν πλεονεξίας· καὶ οὔτε τὰ ἔργα τῶν μυρμηγκιῶν μιμούμεθα, ἀλλὰ τὰ ἔργα τῶν λύκων, τῶν λεοπαρδάλεων, μᾶλλον δὲ εἴμεθα χειρότεροι καὶ ἀπὸ ἐκείνους. Διότι ἐκεῖνα ἡ φύσις ἔτσι τὰ ἔκανε νὰ τρέφωνται, ἐνῷ ἐμᾶς ὁ Θεὸς μᾶς ἐτίμησε μὲ λόγον καὶ ἰσονομίαν, καὶ ὅμως ἐγίναμεν χειρότεροι ἀπὸ τὰ θηρία. Καὶ ἐμεῖς μὲν εἴμεθα χειρότεροι ἀπὸ τὰ ἄλογα ζῶα, ἐνῷ οἱ ἀσκηταὶ εἶναι ἴσοι μὲ τοὺς ἀγγέλους, ζῶντες ὡσὰν ξένοι καὶ παρεπίδημοι εἰς τὴν γῆν, καὶ ὡς πρὸς ὅλα διαφέρουν αὐτοὶ ἀπὸ ἐμᾶς, εἰς τὰ ἐνδύματα, τὴν τροφήν, τὴν οἰκίαν, τὰ ὑποδήματα, τὴν ὁμιλίαν. Καὶ ἐὰν κάποιος ἤκουσε καὶ ἐκείνους νὰ συζητοῦν καὶ ἐμᾶς, τότε θὰ ἠμποροῦσε ν' ἀντιληφθῇ πλήρως, πῶς, ἐκεῖνοι μὲν εἶναι οὐρανοπολῖται, ἐνῷ ἐμεῖς δὲν ἀξίζομεν οὔτε νὰ ζῶμεν εἰς τὴν γῆν. Διὰ τοῦτο λοιπόν, ἐὰν κάποιος ἀξιωματοῦχος μεταβῇ πρὸς αὐτούς, τότε κατ' ἐξοχὴν ἐλέγχεται ἡ ὅλη ἀνθρωπίνη ἀλαζονεία. Διότι ἐκεῖνος ὁ γεωργὸς καὶ ποὺ εἶναι ἄπειρος ἀπὸ κάθε τι βιωτικόν, κάθεται κοντὰ εἰς τὸν στρατηγόν, ποὺ θεωρεῖ τὸν ἑαυτόν του μέγαν λόγῳ τοῦ ἀξιώματός του, ἐπάνω εἰς σωρὸν χόρτων καὶ εἰς προσκέφαλον γεμᾶτο ἀπὸ ρύπον. Διότι δὲν ὑπάρχουν ἐκεῖ αὐτοὶ ποὺ τὸν μεταφέρουν καὶ τὸν κολακεύουν, ἀλλὰ συμβαίνει τὸ ἴδιο πρᾶγμα, ὅπως ἀκριβῶς ἐὰν κάποιος ἤθελε μεταβῇ πλησίον χρυσοχόου καὶ τριανταφυλλιᾶς, καθ' ὅσον, ὅπως ἐκεῖνος δέχεται καὶ ἀπὸ τὸν χρυσὸν καὶ ἀπὸ τὰ τριαντάφυλλα κάποιαν ἀκτινοβολίαν, ἔτσι καὶ οἱ ἀξιωματοῦχοι, λαμβάνοντες κάποιαν μικρὰν ὠφέλειαν ἀπὸ τὴν λάμψιν τῶν ἀσκητῶν, ἀπαλλάσσονται ἀπὸ τὴν προηγουμένην ἀλαζονείαν των. Καὶ ὅπως ἀκριβῶς, ἐὰν κάποιος ἤθελεν ἀναβῇ εἰς ὑψηλὸν τόπον, καὶ ἂν ἀκόμη εἶναι πάρα πολὺ κοντὸς σωματικῶς, φαίνεται ὑψηλός, ἔτσι καὶ αὐτοί, ἐρχόμενοι πρὸς τὰς ὑψηλὰς σκέψεις ἐκείνων, φαίνονται ὑψηλοὶ ὅσον χρόνον μείνουν ἐκεῖ, ὅταν ὅμως κατεβοῦν χάνουν τὸ πνευματικὸν ὕψος των, καθ' ὅσον κατε-

πάλιν, ἀπὸ τοῦ ὕψους ἐκείνου καταβαίνοντες. Οὐδὲν παρ' ἐκείνοις βασιλεύς, οὐδὲν ὕπαρχος, ἀλλ' ὥσπερ ἡμεῖς τῶν παιδίων ταῦτα παιζόντων γελῶμεν, οὕτω κἀκεῖνοι τὴν φλεγμονὴν τῶν ἔξω σοβούντων διαπτύουσι. Καὶ δῆλον ἐντεῦθεν· εἰ γάρ τις αὐτοῖς δοίη μετὰ ἀσφαλείας βασιλείαν, οὐκ ἄν ποτε ἔλοιντο· εἵλοντο δ' ἄν, εἰ μὴ μεῖζον αὐτῆς ἐφρόνουν, εἰ μὴ πρόσκαιρον τὸ πρᾶγμα εἶναι ἐνόμιζον.

Τί οὖν; οὐκ αὐτομολήσομεν πρὸς τοσαύτην μακαριότητα; οὐχ ἥξομεν πρὸς τοὺς ἀγγέλους τούτους; οὐ ληψόμεθα καθαρὰ ἱμάτια, καὶ ἐμπομπεύσομεν τοῖς γάμοις τούτοις, ἀλλὰ μενοῦμεν προσαιτοῦντες, τῶν ἐν ταῖς τριόδοις πτωχῶν οὐδὲν ἄμεινον διακείμενοι, μᾶλλον δὲ πολλῷ χεῖραν καὶ ἀθλιώτερον; Καὶ γὰρ ἐκείνων πολλῷ χείρους οἱ κακῶς πλουτοῦντες, καὶ βέλτιον ἐπαιτεῖν ἢ ἁρπάζειν· τὸ μὲν γὰρ ἔχει συγγνώμην, τὸ δὲ κόλασιν φέρει· καὶ ὁ μὲν οὐδὲν προσκρούει Θεῷ, οὗτος δὲ καὶ ἀνθρώποις καὶ Θεῷ· καὶ τοὺς μὲν πόνους ὑφίσταται τῆς ἁρπαγῆς, τὴν δὲ ἀπόλαυσιν ἕτεροι πολλάκις ἐκαρπώσαντο ἅπασαν.

Ταῦτ' οὖν εἰδότες καὶ ἀποθέμενοι τὴν πλεονεξίαν πᾶσαν, πλεονεκτήσωμεν τὰ ἄνω, μετὰ πολλῆς σπουδῆς τὴν βασιλείαν ἁρπάζοντες. Οὐ γάρ ἐστιν, οὐκ ἔστι ῥαθυμοῦντά τινα εἰς αὐτὴν εἰσελθεῖν. Γένοιτο δὲ πάντας σπουδαίους καὶ ἐγρηγορότας γεγονότας ταύτης ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

βαίνουν ἀπὸ τὸ ὕψος ἐκεῖνο. Τίποτε δὲν ἀξίζει δι' αὐτοὺς ὁ βασιλεύς, τίποτε καὶ ὁ ὕπαρχος, ἀλλ' ὅπως ἀκριβῶς ἐμεῖς γελῶμεν ὅταν τὰ παιδιὰ παίζουν τέτοια παιχνίδια, ἔτσι καὶ ἐκεῖνοι περιφρονοῦν τὰ ἐρεθίσματα ποὺ προέρχονται ἀπὸ τοὺς δῆθεν ὑπερηφάνους τοῦ κόσμου αὐτοῦ. Καὶ αὐτὸ γίνεται φανερὸν ἀπὸ τὸ ἑξῆς· Ἐὰν δηλαδὴ κάποιος ἤθελε δώσει εἰς αὐτοὺς βασιλείαν τελείως ἀσφαλῆ, δὲν θὰ ἦτο δυνατὸν νὰ τὴν δεχθοῦν ποτέ· θὰ ἦτο δυνατὸν νὰ τὴν προτιμήσουν, ἐὰν δὲν ἐπίστευον εἰς κάτι ἀνώτερον ἀπὸ αὐτήν, ἐὰν δὲν ἐθεωροῦσαν τὸ γεγονὸς αὐτὸ ὡς κάτι τὸ πρόσκαιρον.

Τί λοιπόν; δὲν θὰ προσφύγωμεν πρὸς μίαν τόσον μεγάλην μακαριότητα; δὲν θὰ μεταβῶμεν πρὸς αὐτοὺς τοὺς ἀγγέλους; δὲν θὰ φορέσωμεν καθαρὰ ἐνδύματα διὰ ν' ἀκολουθήσωμεν τοὺς γάμους αὐτούς, ἀλλὰ θὰ παραμείνωμεν ἐπαῖται, ζῶντες ὡς πρὸς τίποτε καλύτερα ἀπὸ τοὺς πτωχοὺς τῶν σταυροδρομίων, μᾶλλον δὲ κατὰ πολὺ χειρότερα καὶ ἀθλιώτερα; Καθ' ὅσον εἶναι πολὺ πιὸ χειρότεροι ἀπὸ ἐκείνους, ὅσοι πλουτίζουν παράνομα, καὶ εἶναι προτιμότερον νὰ ζητιανεύῃ κανεὶς παρὰ ν' ἁρπάζῃ· διότι τὸ μὲν πρῶτον εἶναι δυνατὸν νὰ συγχωρηθῇ, τὸ δεύτερον ὅμως εἶναι ἄξιον κατηγορίας· καὶ ὁ μὲν ζητιάνος δὲν προσκοὐει ὡς πρὸς τίποτε εἰς τὸν Θεόν, αὐτὸς ποὺ ἁρπάζει ὅμως παρανομεῖ καὶ ἔναντι τῶν ἀνθρώπων καὶ ἔναντι τοῦ Θεοῦ· καὶ τοὺς μὲν κόπους τῆς ἁρπαγῆς τοὺς ὑφίσταται, τὴν εὐχαρίστησιν ὅμως τῆς ἁρπαγῆς πολλάκις τὴν ἐκαρπώθησαν ὁλόκληρον ἄλλοι.

Γνωρίζοντες λοιπὸν αὐτὰ καὶ ἀπορρίπτοντες τὴν πλεονεξίαν ἐξ ὁλοκλήρου, ἂς προσπαθοῦμεν νὰ συγκεντρώνωμεν περισσότερον οὐράνιον πλοῦτον, ἁρπάζοντες μὲ πολλὴν προθυμίαν τὴν οὐράνιον βασιλείαν. Διότι δὲν εἶναι δυνατόν, δὲν εἶναι δυνατὸν κάποιος ποὺ εἶναι ράθυμος νὰ εἰσέλθῃ εἰς αὐτήν. Εἴθε δὲ ἀφοῦ ὅλοι γίνουν πρόθυμοι καὶ ἐπάγρυπνοι νὰ ἐπιτύχουν αὐτήν, μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα καὶ ἡ δύναμις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ Ο΄
Ματθ. 22, 15 - 33

«Τότε πορευθέντες οἱ Φαρισαῖοι συμβούλιον ἔλαβον, ὅπως αὐτὸν παγιδεύσωσιν ἐν λόγῳ».

1. «Τότε»· πότε; Ὅτε μάλισια κατανυγῆναι ἔδει, ὅτε ἐκπλαγῆναι τὴν φιλανθρωπίαν, ὅτε φοβηθῆναι τὰ μέλλοντα, ὅτε ἀπὸ τῶν παρελθόντων καὶ περὶ τῶν μελλόντων πιστεῦσαι ἐχρῆν. Καὶ γὰρ ἐπὶ τῶν πραγμάτων τὰ εἰρημένα ἐβόα. Καὶ γὰρ τελῶναι καὶ πόρναι ἐπίστευσαν, καὶ προφῆται καὶ δίκαιοι ἀνηρέθησαν, καὶ ἀπὸ τούτων ἐχρῆν καὶ περὶ τῆς ἀπωλείας ἑαυτῶν μὴ ἀντιλέγειν, ἀλλὰ καὶ πιστεύειν καὶ σωφρονίζεσθαι. Ἀλλ᾽ ὅμως οὐδὲ οὕτω λήγει τὰ τῆς κακίας αὐτῶν, ἀλλ᾽ ὠδίνει καὶ πρόεισι περαιτέρω. Καὶ ἐπειδὴ κατασχεῖν αὐτὸν οὐκ εἶχον (ἐφοβοῦντο γὰρ τοὺς ὄχλους), ἑτέραν ἦλθον ὁδόν, ὡς δὴ εἰς κίνδυνον ἐμβαλοῦντες, καὶ δημοσίων ποιήσοντες ἀδικημάτων ὑπεύθυνον.

«Ἀποστέλλουσι γὰρ αὐτῷ τοὺς μαθητὰς αὐτῶν μετὰ τῶν Ἡρωδιανῶν, λέγοντες· διδάσκαλε, οἴδαμεν ὅτι ἀληθὴς εἶ, καὶ τὴν ὁδὸν τοῦ Θεοῦ ἐν ἀληθείᾳ διδάσκεις, καὶ οὐ μέλει σοι περὶ οὐδενός· οὐ γὰρ βλέπεις εἰς πρόσωπον ἀνθρώπων. Εἰπέ οὖν ἡμῖν, τί σοι δοκεῖ; ἔξεστι δοῦναι κῆνσον Καίσαρι, ἢ οὔ;». Καὶ γὰρ φόρου λοιπὸν ἦσαν ὑποτελεῖς, τῶν πραγμάτων αὐτοῖς εἰς τὴν Ρωμαίων ἀρχὴν μεταπεσόντων. Ἐπειδὴ οὖν εἶδον, ὅτι οἱ πρὸ τούτου διὰ τοῦτο ἀπέθανον, οἱ περὶ Θευδᾶν

ΟΜΙΛΙΑ Ο΄

Ματθ. 22, 15 - 33

«Τότε ἀφοῦ ἐπῆγαν οἱ Φαρισαῖοι ἀπεφάσισαν νὰ τὸν παγιδεύσουν μὲ τὰ λόγια».

1 «Τότε»· πότε; Ὅταν πρὸ πάντων ἔπρεπε νὰ δείξουν κατάνυξιν, ὅταν ἔπρεπε νὰ ἐκπλαγοῦν ἀπὸ τὴν φιλανθρωπίαν του, ὅταν ἔπρεπε νὰ φοβηθοῦν διὰ τὰ μέλλοντα, ὅταν ἔπρεπε νὰ πιστεύσουν καὶ διὰ τὰ μέλλοντα λαμβάνοντες ἀφορμὴν ἀπὸ τὰ παρόντα. Καθ' ὅσον τὰ ὅσα ἐλέχθησαν ἐβροντοφώναζον καὶ περὶ τῶν γεγονότων τοῦ μέλλοντος. Διότι πράγματι τελῶναι καὶ πόρναι ἐπίστευσαν, καὶ προφῆται καὶ δίκαιοι ἐφονεύθησαν, καὶ ἔπρεπεν ἀπὸ ὅλα αὐτὰ νὰ μὴ ἔχουν καμμίαν ἀμφιβολίαν καὶ περὶ τῆς ἰδικῆς των ἀπωλείας, ἀλλ' ἀντιθέτως ἔπρεπε καὶ νὰ πιστεύουν καὶ νὰ σωφρονίζωνται. Ἀλλ' ὅμως οὔτε καὶ ἐδῶ τερματίζουν τὰ τῆς κακίας των, ἀλλ' αὐτὴ αὐξάνεται διαρκῶς καὶ προχωροῦν ἀκόμη παραπέρα. Καὶ ἐπειδὴ δὲν ἠμποροῦσαν νὰ τὸν συλλάβουν (διότι ἐφοβοῦντο τὰ πλήθη τοῦ λαοῦ), μετεχειρίσθησαν ἄλλην ὁδόν, ἠθέλησαν δηλαδὴ νὰ τὸν παρουσιάσουν ὡς ἐπικίνδυνον καὶ ὡς ὑπεύθυνον δημοσίων ἀδικημάτων.

«Ἀποστέλλουν λοιπὸν πρὸς αὐτὸν τοὺς μαθητάς των μαζὶ μὲ τοὺς Ἡρωδιανούς, λέγοντες· Διδάσκαλε, γνωρίζομεν ὅτι εἶσαι ἀληθινὸς διδάσκαλος καὶ ὅτι διδάσκεις ἀληθινὰ τὴν ὁδὸν τοῦ Θεοῦ, καὶ δὲν σὲ νοιάζει διὰ κανένα· διότι δὲν δίδεις σημασίαν εἰς τὸ πρόσωπον τῶν ἀνθρώπων. Εἰπέ λοιπὸν εἰς ἡμᾶς, ποία εἶναι ἡ γνώμη σου; Ἐπιτρέπεται νὰ πληρώνωμεν φόρον εἰς τὸν Καίσαρα ἢ ὄχι;». Καθ' ὅσον βέβαια ἦσαν φόρου ὑποτελεῖς, ἀφοῦ τὰ πράγματά των εἶχον περιέλθει ὑπὸ τὴν ἐξουσίαν τῶν Ρωμαίων. Ἐπειδὴ λοιπὸν ἐγνώριζον, ὅτι οἱ ὀπαδοὶ τοῦ Θευδᾶ καὶ τοῦ Ἰούδα, ποὺ ἔ-

καὶ Ἰούδαν, ὡς ἀποστασίαν μελετήσαντες, ἐβούλοντο καὶ αὐτὸν διὰ τῶν λόγων τούτων εἰς τοιαύτην ὑποψίαν ἐμβαλεῖν. Διὰ τοῦτο καὶ τοὺς αὐτῶν μαθητὰς καὶ τοὺς Ἡρώδου στρατιώτας ἔπεμπον, διπλοῦν, ὡς ᾠοντο, τὸν κρημνὸν ἑκατέρωθεν ὀρύτοντες καὶ πάντοθεν τιθέντες τὴν παγίδα, ἵν', ὅπερ ἂν εἴπῃ, ἐπιλάβωνται· κἂν μὲν ὑπὲρ τῶν Ἡρωδιανῶν ἀποκρίνηται, αὐτοὶ ἐγκαλέσωσιν, ἂν δὲ ὑπὲρ αὐτῶν, ἐκεῖνοι κατηγορήσωσι. Καίτοιγε ἦν δεδωκὼς τὰ δίδραχμα, ἀλλ' οὐκ ἤδεσαν τοῦτο. Καὶ ἑκατέρωθεν μὲν αὐτὸν προσεδόκων αἱρήσειν, ἐπεθύμουν δὲ μᾶλλον κατὰ τῶν Ἡρωδιανῶν αὐτὸν εἰπεῖν τι. Διὸ καὶ τοὺς μαθητὰς πέμπουσιν, εἰς τοῦτο ὠθοῦντες αὐτὸν τῇ παρουσίᾳ, ἵνα παραδῶσι τῷ ἡγεμόνι ὡς τύραννον. Τοῦτο γὰρ καὶ ὁ Λουκᾶς αἰνιττόμενος ἐδήλου λέγων, ὅτι καὶ ἐπὶ τῶν ὄχλων ἠρώτων, ὡς μείζονα γενέσθαι τὴν μαρτυρίαν. Ἐγένετο δὲ τοὐναντίον ἅπαν· ἐν πλείονι γὰρ θεάτρῳ τῆς αὐτῶν ἀνοίας παρεῖχον τὴν ἀπόδειξιν.

Καὶ ὅρα τὴν κολακείαν καὶ τὸν ἐγκεκρυμμένον δόλον. «Οἴδαμεν», φησίν, «ὅτι ἀληθὴς εἶ». Πῶς οὖν ἐλέγετε, ὅτι πλάνος ἐστὶ καὶ πλανᾷ τὸν ὄχλον καὶ δαιμόνιον ἔχει καὶ οὐκ ἔστιν ἀπὸ Θεοῦ; πῶς πρὸ μικροῦ ἐβουλεύεσθε αὐτὸν ἀνελεῖν; Ἀλλὰ πάντα γίνονται, ἅπερ ἂν ἡ ἐπιβουλὴ ὑπαγορεύσῃ. Ἐπειδὴ γὰρ πρὸ μικροῦ εἰπόντες μετὰ αὐθαδείας, «ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς;», πρὸς τὴν ἐρώτησιν οὐκ ἔτυχον ἀποκρίσεως, προσδοκῶσιν αὐτὸν τῇ κολακείᾳ χαυνοῦν καὶ πεῖθειν εἰπεῖν τι κατὰ τῶν καθεστώτων νόμων καὶ τῇ κρατούσῃ πολιτείᾳ τὸ ὑπεναντίον. Ὅθεν καὶ τὴν ἀλήθειαν μαρτυροῦσιν αὐτῷ, ὁμολογοῦν-

ζησαν πρὶν ἀπὸ αὐτόν, ὅτι ἐξ αἰτίας αὐτοῦ ἐθανατώθησαν, ἐπειδὴ δηλαδὴ ἐπεχείρησαν ἀποστασίαν, ἤθελον καὶ αὐτὸν μὲ αὐτοὺς τοὺς λόγους νὰ τὸν ὁδηγήσουν εἰς μίαν παρομοίου εἴδους ὑποψίαν. Διὰ τοῦτο καὶ τοὺς ἰδικούς των μαθητὰς ἀπέστελλον καὶ τοὺς στρατιώτας τοῦ Ἡρώδου, σκάπτοντες διπλόν, ὡς ἐπίστευον, κρημνὸν γύρω ἀπὸ τὸν Χριστὸν καὶ θέτοντες ἀπὸ παντοῦ τὴν παγίδα των, ὥστε, ὁτιδήποτε καὶ ἂν ἤθελεν εἰπεῖ, νὰ τὸν συλλάβουν. Ἐὰν μὲν ὁμιλήσῃ ὑπὲρ τῶν Ἡρωδιανῶν νὰ τὸν κατηγορήσουν αὐτοί, ἐὰν δὲ ὑπὲρ αὐτῶν, νὰ τὸν κατηγορήσουν ἐκεῖνοι. Μολονότι βέβαια εἶχε πληρώσει τὰ δίδραχμα, ἀλλὰ δὲν τὸ ἐγνώριζον αὐτό. Καὶ ἐπερίμεναν νὰ φέρῃ ἀντίρρησιν καὶ πρὸς τοὺς δύο, ἀλλ' ἐπεθύμουν πολὺ περισσότερον νὰ εἰπῇ κάτι ἐναντίον τῶν Ἡρωδιανῶν. Διὰ τοῦτο ἀποστέλλουν καὶ τοὺς μαθητάς των, ὠθοῦντες αὐτόν, μὲ τὴν παρουσίαν αὐτῶν, πρὸς αὐτὴν τὴν κατεύθυνσιν, ὥστε νὰ τὸν παραδώσουν εἰς τὸν ἡγεμόνα ὡσὰν τύραννον. Αὐτὸ βέβαια καὶ ὁ Λουκᾶς τὸ ἐδήλωσεν ὑπαινισσόμενος, λέγων ὅτι τὸν ἐρωτοῦσαν παρουσίᾳ τοῦ πλήθους τοῦ λαοῦ, ὥστε νὰ ἔχουν πολὺ περισσοτέρους μάρτυρας. Ἀλλ' ὅμως συνέβη ἐντελῶς τὸ ἀντίθετον· διότι παρουσίᾳ περισσοτέρου πλήθους θεατῶν ἀπέδειξαν τὴν ἀνοησίαν των.

Καὶ πρόσεχε τὴν κολακείαν των καὶ τὸν καλυμμένον δόλον των. «Γνωρίζομεν», λέγουν, «ὅτι εἶσαι ἀληθινὸς διδάσκαλος». Πῶς λοιπὸν ἐλέγατε, ὅτι εἶναι πλάνος καὶ ὅτι πλανᾷ τὸν λαὸν καὶ ὅτι ἔχει δαιμόνιον καὶ ὅτι δὲν εἶναι ἀπεσταλμένος ἀπὸ τὸν Θεόν; πῶς πρὶν ἀπὸ ὀλίγον ἠθέλατε νὰ τὸν φονεύσετε; Ἀλλ' ὅλα γίνονται ὅπως ἀκριβῶς τὰ εἶχεν ὑπαγορεύσει ἡ συκοφαντική των διάθεσις. Ἐπειδὴ δηλαδὴ πρὶν ἀπὸ ὀλίγον τὸν ἠρώτησαν μὲ αὐθάδειαν, «Μὲ ποίαν ἐξουσίαν τὰ κάνεις αὐτά;», καὶ δὲν ἔλαβον ἀπάντησιν εἰς τὴν ἐρώτησίν των, ἀναμένουν νὰ τὸν ἐξαπατήσουν μὲ τὴν κολακείαν των καὶ νὰ τὸν πείσουν νὰ εἰπῇ κάτι ἐναντίον τῶν ἰσχυόντων νόμων καὶ ἀντίθετον πρὸς τὴν κυβερνῶσαν ἐξουσίαν. Διὰ τοῦτο βεβαιώνουν ὅτι λέγει καὶ τὴν ἀλήθειαν,

ιες τὸ ὄν· πλὴν οὐκ ὀρθῇ γνώμῃ, οὐδὲ ἑκόντες· καὶ προστιθέασι λέγοντες· «οὐ μέλει σοι περὶ οὐδενός».

Ὅρα πῶς εἰσι δῆλοι βουλόμενοι εἰς τούτους μᾶλλον ἐμβαλεῖν αὐτὸν τοὺς λόγους, τοὺς ποιοῦντας αὐτὸν καὶ Ἡρῴδῃ προσκροῦσαι καὶ τυράννου ὑποψίαν λαβεῖν, ὡς κατεξανιστάμενον τῶν νόμων, ἵν' ὡς στασιαστὴν καὶ τύραννον κολάσωσιν. Τὸ γάρ, «οὐ μέλει σοι περὶ οὐδενός», καί, «οὐ βλέπεις εἰς πρόσωπον ἀνθρώπου», περὶ Ἡρῴδου καὶ Καίσαρος ἠνίττοντο λέγοντες. «Εἰπὲ οὖν ἡμῖν, τί σοι δοκεῖ;». Νῦν τιμᾶτε καὶ διδάσκαλον νομίζετε, ἐν οἷς τὰ περὶ τῆς σωτηρίας ὑμῶν διελέγετο καταφρονήσαντες καὶ ὑβρίσαντες πολλάκις. Ὅθεν καὶ σύμψηφοι γεγόνασι. Καὶ ὅρα τὸ κακοῦργον. Οὐ λέγουσιν, 'εἰπὲ ἡμῖν τί τὸ καλόν, τί τὸ συμφέρον, τί τὸ νόμιμον;', ἀλλά, «τί σοι δοκεῖ;». Οὕτω πρὸς ἓν τοῦτο ἔβλεπον, τὸ προδοῦναι αὐτὸν καὶ ἐκπολεμῶσαι τῷ κρατοῦντι. Καὶ ὁ Μᾶρκος δὲ τοῦτο δηλῶν, καὶ τὸ αὐθάδες αὐτῶν σαφέστερον ἐκκαλύπτων καὶ τὴν φοινικὴν αὐτῶν γνώμην, φησὶν αὐτοὺς εἰρηκέναι· «δῶμεν Καίσαρι κῆνσον, ἢ μὴ δῶμεν;». Οὕτω θυμοῦ μὲν ἔπνεον καὶ ὠδινον ἐπιβουλήν, ὑπεκρίνοντο δὲ θεραπείαν.

Τί οὖν αὐτός; «Τί με πειράζετε, ὑποκριταί;». Εἶδες πῶς πληκτικώτερον αὐτοῖς διαλέγεται; Ἐπειδὴ γὰρ ἀπηρτισμένη καὶ πρόδηλος ἦν ἡ κακία, βαθυτέραν δίδωσι τὴν τομήν, πρῶτον αὐτοὺς συγχέων καὶ ἐπιστομίζων, τῷ τὰ ἀπόρρητα αὐτῶν εἰς μέσον ἀγαγεῖν, καὶ δῆλον ἅπασι ποιεῖν μεθ' οἵας αὐτῷ προσέρχονται διανοίας. Ταῦτα δὲ ἐποίει, ἀνασπέλλων αὐτῶν

1. Μάρκ. 12, 14.

ὁμολογῶντες ἔτσι τὴν πραγματικότητα, πλὴν ὅμως ὄχι μὲ ὀρθὴν σκέψιν, οὔτε καὶ μὲ τὴν θέλησίν των· καὶ προσθέτουν τοὺς λόγους· «Δὲν φοβεῖσαι ἐσὺ κανένα».

Πρόσεχε πῶς ἀποκαλύπτονται θέλοντες νὰ τὸν ὁδηγήσουν νὰ εἰπῇ ἐκεῖνα τὰ λόγια, ποὺ θὰ τὸν παρουσιάσουν ἀντίθετον καὶ πρὸς τὸν Ἡρῴδην καὶ θὰ δημιουργήση τὴν ὑποψίαν ὅτι εἶναι τύραννος, ὡς ἀντιτιθέμενος πρὸς τοὺς νόμους, ὥστε νὰ τὸν τιμωρήσουν ὡς στασιαστὴν καὶ τύραννον. Διότι τό, «Δὲν φοβεῖσαι ἐσὺ κανένα», καί, «Δὲν δίδεις ἐσὺ σημασίαν εἰς τὸ πρόσωπον τῶν ἀνθρώπων», τὸ ἔλεγον ὑπονοοῦντες τὸν Ἡρῴδη καὶ τὸν Καίσαρα. «Εἰπὲ λοιπὸν εἰς ἡμᾶς, ποία εἶναι ἡ γνώμη σου;». Τώρα τιμᾶτε καὶ θεωρεῖτε διδάσκαλον ἐκεῖνον, ποὺ ὅταν σᾶς ὡμιλοῦσε διὰ τὴν σωτηρίαν σας τὸν ἐπεριφρονήσατε καὶ πολλὲς φορὲς τὸν ὑβρίσατε. Ἐπομένως παρουσιάσθησαν ὡς συμφωνοῦντες μαζί του. Καὶ πρόσεχε τὴν κακουργίαν των. Δὲν λέγουν, Εἰπέ μας ποῖο εἶναι τὸ καλόν, ποῖο τὸ συμφέρον, ποῖο τὸ νόμιμον;, ἀλλά, «ποία εἶναι ἡ ἰδική σου γνώμη;». Μὲ αὐτὸ πρὸς ἕνα καὶ μόνον ἀπέβλεπον, νὰ τὸν κατηγορήσουν καὶ νὰ τὸν παρουσιάσουν ὡκ ἐχθρὸν τοῦ ἄρχοντος. Καὶ ὁ Μᾶρκος δὲ τὸ δηλώνει αὐτὸ καὶ ἀποκαλύπτει σαφέστερον τὴν αὐθάδειάν των καὶ τὴν φονικὴν διάθεσίν των, λέγων ὅτι αὐτοὶ τὸν ἠρώτησαν· «Νὰ πληρώνωμεν φόρον εἰς τὸν Καίσαρα ἢ νὰ μὴ πληρώνωμεν;»[1]. Ἔτσι ἦσαν μὲν γεμᾶτοι ἀπὸ θυμὸν καὶ ἐφούντωνεν ἡ συκοφαντική των διάθεσις, ἀλλ' ὑπεκρίνοντο ὑποταγήν.

Τί τοὺς ἀπαντᾷ λοιπὸν αὐτός. «Τί μὲ πειράζετε, ὑποκριταί;». Βλέπεις πῶς τοὺς ὁμιλεῖ κατὰ τρόπον ποὺ τοὺς πλήττει εἰς μεγάλον βαθμόν; Ἐπειδὴ δηλαδὴ ἡ κακία των ἦτο ὡλοκληρωμένη καὶ ὁλοφάνερος, τοὺς δίδει βαθύτερον κτύπημα, κατὰ πρῶτον συγχέων αὐτοὺς καὶ κλείνων τὰ στόματά των φέρων εἰς τὸ μέσον τὰ κρυπτὰ σχέδιά των καὶ ἐν συνεχείᾳ ἀποκαλύπτων εἰς ὅλους μὲ ποίας διαθέσεις τὸν πλησιάζουν. Αὐτὰ δὲ τὰ ἔκανε, μὲ σκοπὸν νὰ μειώσῃ τὴν

τὴν κακίαν, ὥστε μὴ πάλιν τοῖς αὐτοῖς ἐπιχειροῦντας καταβλάπτεσθαι. Καίτοιγε τὰ ῥήματα πολλῆς ἔγεμε θεραπείας· καὶ γὰρ καὶ διδάσκαλον ἐκάλουν καὶ ἀλήθειαν ἐμαρτύρουν καὶ τὸ ἀπροσωπόληπτον· ἀλλὰ Θεὸς ὤν, οὐδενὶ τούτων παρελογίζετο. Ὅθεν κἀκείνους ἐχρῆν στοχάζεσθαι, ὅτι οὐ στοχασμοῦ ἡ ἐπίπληξις ἦν, ἀλλὰ σημεῖον τοῦ τὰ ἀπόρρητα αὐτῶν εἰδέναι.

2. Οὐ μὴν μέχρι τῆς ἐπιπλήξεως ἔστη· καίτοιγε ἤρκει μόνον ἐλέγξαντα τὴν γνώμην αὐτῶν, καταισχῦναι αὐτῶν τὴν πονηρίαν· ἀλλ' οὐχ ἵσταται μέχρι τούτου, ἀλλὰ καὶ ἑτέρως ἀπορράπτει αὐτῶν τὰ στόματα. «Ἐπιδείξατε γάρ μοι», φησί, «τὸ νόμισμα τοῦ κήνσου». Καὶ ὡς ἐπέδειξαν, ὅπερ ἀεὶ ποιεῖ, διὰ τῆς ἐκείνων γλώττης ἐκφέρει τὴν ἀπόφασιν, καὶ αὐτοὺς ψηφίσασθαι παρασκευάζει, ὅτι ἔξεστιν· ὅπερ λαμπρὰ καὶ σαφὴς ἦν νίκη. Ὥστε ὅταν ἐρωτᾷ, οὐκ ἀγνοῶν ἐρωτᾷ, ἀλλὰ ταῖς οἰκείαις αὐτῶν ἀποκρίσεσιν ὑπευθύνους αὐτοὺς ποιῆσαι βουλόμενος. Ἐπειδὴ γὰρ ἐρωτηθέντες, «τίνος ἡ εἰκών;», εἶπον, ὅτι Καίσαρος, φησίν· «ἀπόδοτε τὰ Καίσαρος Καίσαρι». Οὐ γάρ ἐστι τοῦτο δοῦναι, ἀλλ' ἀποδοῦναι· καὶ τοῦτο καὶ ἀπὸ τῆς εἰκόνος καὶ ἀπὸ τῆς ἐπιγραφῆς δείκνυται.

Εἶτα ἵνα μὴ εἴπωσιν, ὅτι ἀνθρώποις ἡμᾶς ὑποτάττεις; ἐπήγαγε, «καὶ τὰ τοῦ Θεοῦ τῷ Θεῷ». Ἔξεστι γὰρ καὶ ἀνθρώποις τὰ αὐτῶν πληροῦν, καὶ Θεῷ διδόναι τὰ τῷ Θεῷ παρ' ἡμῶν ὀφειλόμενα. Διὸ καὶ Παῦλός φησιν· «ἀπόδοτε πᾶσι τὰς ὀφειλάς· τῷ τὸν φόρον, τὸν φόρον· τῷ τὸ τέλος, τὸ

κακίαν των, ὥστε νὰ μὴ ἐπιχειροῦν καὶ πάλιν νὰ τὸν βλάψουν μὲ τὰς ἰδίας ἐνεργείας των. Μολονότι βέβαια τὰ λόγια των ἦσαν γεμᾶτα ἀπὸ πολλὴν τιμήν· καθ' ὅσον καὶ διδάσκαλον τὸν ὠνόμαζον καὶ ἐπεβεβαίωνον ὅτι λέγει τὴν ἀλήθειαν καὶ ὅτι δὲν ἦτο προσωπολήπτης· ἐπειδὴ ὅμως ἦτο Θεός, τίποτε ἀπ' ὅλα αὐτὰ δὲν ὑπῆρχε ποὺ νὰ μὴ τὸ ἐγνώριζε. Διὰ τοῦτο ἔπρεπε καὶ ἐκεῖνοι νὰ ἀναλογίζωνται, ὅτι ἡ ἐπίπληξίς του δὲν ἦτο προϊὸν στοχασμοῦ, ἀλλ' ἀπόδειξις ὅτι γνωρίζει τὰς ἀποκρύφους σκέψεις των.

2. Δὲν ἐσταμάτησεν ὅμως μέχρι τὴν ἐπίπληξιν, ἂν καὶ ἦτο ἀρκετὸν καὶ μόνον τὸ ὅτι ἤλεγξε τὴν σκέψιν των νὰ καταισχύνῃ τὴν πονηρίαν των· ἀλλ' ὅμως δὲν σταματᾷ μέχρις ἐδῶ, ἀλλὰ καὶ μὲ ἄλλον τρόπον τοὺς ἀποστομώνει. Διότι τοὺς λέγει· «Δείξατέ μου τὸ νόμισμα τοῦ κήνσου». Καὶ μόλις τὸ ἔδειξαν, πρᾶγμα ποὺ πάντοτε κάνει, τοὺς ἀπαντᾷ μὲ τὰ ἴδια τὰ λόγια των καὶ τοὺς ἀναγκάζει νὰ παραδεχθοῦν, ὅτι ἐπιτρέπεται, πρᾶγμα ποὺ ἦτο λαμπρὰ καὶ φανερὴ νίκη. Ὥστε ὅταν ἐρωτᾷ, δὲν ἐρωτᾷ ἐπειδὴ δὲν γνωρίζει, ἀλλ' ἐπειδὴ θέλει νὰ τοὺς παρουσιάσῃ ὑπευθύνους ἀπὸ τὰς ἰδικάς των ἀπαντήσεις. Ἐπειδὴ λοιπὸν τοὺς ἠρώτησε «ποίου εἶναι ἡ εἰκὼν ποὺ παρουσιάζει τὸ νόμισμα;», καὶ εἶπον, ὅτι εἶναι τοῦ Καίσαρος, τοὺς λέγει· «πληρώσατε τὰ τοῦ Καίσαρος εἰς τὸν Καίσαρα». Αὐτὸ βέβαια δὲν σημαίνει νὰ δώσουν, ἀλλὰ ν' ἀποδώσουν, πρᾶγμα ποὺ ἀποδεικνύεται καὶ ἀπὸ τὴν εἰκόνα καὶ ἀπὸ τὴν ἐπιγραφήν.

Εἰς τὴν συνέχειαν διὰ νὰ μὴ εἰποῦν, 'εἰς τοὺς ἀνθρώπους μᾶς ὑποτάσσεις;', ἐπρόσθεσε, «καὶ τὰ ὀφειλόμενα εἰς τὸν Θεὸν ἀποδώσατέ τα εἰς τὸν Θεόν». Διότι εἶναι δυνατὸν καὶ πρὸς τοὺς ἀνθρώπους νὰ ἐκπληρώνῃ κανεὶς τὰς ὑποχρεώσεις του καὶ εἰς τὸν Θεὸν ν' ἀποδίδῃ αὐτὰ ποὺ ὀφείλομεν ν' ἀποδίδωμεν εἰς τὸν Θεόν. Διὰ τοῦτο καὶ ὁ Παῦλος λέγει· «Ἀποδίδετε πρὸς ὅλους τὰς ὀφειλάς σας· εἰς ἐκεῖνον ποὺ ὀφείλετε τὸν φόρον, τὸν φόρον, εἰς ἐκεῖνον ποὺ ὀφείλετε τὸν δασμόν, τὸν δασμόν, καὶ εἰς ἐκεῖνον ποὺ ὀφείλετε τὸν

τέλος· τῷ τὸν φόβον, τὸν φόβον». Σὺ δὲ ὅταν ἀκούσῃς, «ἀπόδος τὰ τοῦ Καίσαρος Καίσαρι», ἐκεῖνα γίνωσκε λέγειν αὐτὸν μόνον, τὰ μηδὲν τὴν εὐσέβειαν παραβλάπτοντα· ὡς ἄν τι τοιοῦτον ᾖ, οὐκέτι Καίσαρος, ἀλλὰ τοῦ διαβόλου φόρος ἐστὶ καὶ τέλος τὸ τοιοῦτον.

Ταῦτα ἀκούσαντες ἐπεστομίσθησαν καὶ ἐθαύμασαν τὴν σοφίαν. Οὐκοῦν πιστεῦσαι ἐχρῆν, οὐκοῦν ἐκπλαγῆναι. Καὶ γὰρ θεότητος αὐτοῖς παρέσχεν ἀπόδειξιν, τὰ ἀπόρρητα ἐκκαλύψας καὶ μετ' ἐπιεικείας αὐτοὺς ἐπεστόμισε. Τί οὖν; ἐπίστευσαν; Οὐδαμῶς· ἀλλ' «ἀφέντες αὐτὸν ἀπῆλθον», καὶ μετ' αὐτοὺς προσῆλθον οἱ Σαδδουκαῖοι. Ὦ τῆς ἀνοίας. Ἐκείνων ἐπιστομισθέντων οὗτοι προσβάλλουσι, δέον ὀκνηρυτέρους γενέσθαι. Ἀλλὰ τοιοῦτον ἡ θρασύτης, ἀναίσχυντον καὶ ἰταμὸν καὶ ἀδυνάτοις ἐπιχειροῦν. Διὰ τοῦτο καὶ ὁ εὐαγγελιστὴς ἐκπληττόμενος αὐτῶν τὴν ἄνοιαν, αὐτὸ τοῦτο ἐπισημαίνεται λέγων, ὅτι «ἐν ἐκείνῃ τῇ ἡμέρᾳ προσῆλθον». «Ἐν ἐκείνῃ»· ποία; Ἐν ᾗ τὴν ἐκείνων κακουργίαν ἤλεγξε καὶ κατήσχυνεν αὐτούς.

Τίνες δέ εἰσιν οὗτοι; Αἵρεσις Ἰουδαίων ἑτέρα παρὰ τοὺς Φαρισαίους, κἀκείνων πολὺ καταδεεστέρα, λέγουσα μὴ εἶναι ἀνάστασιν, μήτε ἄγγελον, μήτε πνεῦμα. Παχύτεροι γάρ τινες οὗτοι καὶ περὶ τὰ σωματικὰ ἐπτοημένοι. Πολλαὶ γὰρ καὶ ἐπὶ Ἰουδαίων αἱρέσεις ἦσαν. Διὸ καὶ Παῦλος λέγει· «Φαρισαῖός εἰμι, τῆς ἀκριβεστάτης αἱρέσεως παρ' ἡμῖν». Καὶ ἐξ εὐθείας μὲν οὐδὲν οὗτοι περὶ ἀναστάσεως λέγουσι· λόγον δέ τινα πλάττουσι καὶ πρᾶγμα συντιθέασιν, ὡς ἔγωγε οἶμαι, οὐδὲ γεγενημένον, οἰόμενοι εἰς ἀπορίαν αὐτὸν ἐμβα-

2. Ρωμ. 13, 7.
3. Πρ. 26, 5.

φόβον, τὸν φόβον»[2]. Σὺ ὅμως ὅταν ἀκούσῃς, «ἀπόδωσε τὰ τοῦ Καίσαρος εἰς τὸν Καίσαρα», γνώριζε ὅτι αὐτὸς παραγγέλλει ἐκεῖνα μόνον, ποὺ δὲν παραβλάπτουν τὴν εὐσέβειαν· διότι ἐὰν συμβαίνῃ κάτι τέτοιο, αὐτὸ δὲν ἀποτελεῖ ὀφειλὴν πρὸς τὸν Καίσαρα, ἀλλὰ τὸ παρόμοιον εἶναι φόρος καὶ δασμὸς τοῦ διαβόλου.

Ὅταν τὰ ἤκουσαν αὐτὰ οἱ Φαρισαῖοι ἀπεστομώθησαν καὶ ἐθαύμασαν τὴν σοφίαν του. Βέβαια ἔπρεπε νὰ πιστεύσουν καὶ νὰ ἐπλαγοῦν ἀπὸ τὰ λόγια του, καθ' ὅσον τοὺς ἔδωσε δείγματα τῆς θεότητός του καὶ μὲ τὸ ὅτι τοὺς ἀπεκάλυψε τὰ μυστικὰ σχέδιά των καὶ μὲ τὸ ὅτι τοὺς ἀπεστόμωσε μὲ ἐπιείκειαν. Τί λοιπόν; ἐπίστευσαν; Καθόλου, ἀλλ' «ἀφοῦ ἄφησαν αὐτὸν ἀνεχώρησαν», καὶ μετὰ ἀπὸ αὐτοὺς τὸν ἐπλησίασαν οἱ Σαδδουκαῖοι. Πόση ἀλήθεια ἀνοησία! Μετὰ ἀπὸ τὴν ἀποστόμωσιν ἐκείνων ἐπιτίθενται ἐναντίον του αὐτοί, ἐνῷ θὰ ἔπρεπε νὰ γίνουν διστακτικώτεροι. Ἀλλὰ τέτοια εἶναι ἡ θρασύτης· εἶναι πρᾶγμα ἀναίσχυντον καὶ γεμᾶτον ἀπὸ αὐθάδειαν καὶ ἐπιχειρεῖται καὶ ἀπὸ τοὺς ἀδυνάτους ἀκόμη. Διὰ τοῦτο καὶ ὁ εὐαγγελιστὴς γεμᾶτος ἀπὸ ἔκπληξιν διὰ τὴν ἀνοησίαν των αὐτήν, ἐπισημαίνει αὐτὴν μὲ τοὺς λόγους, ὅτι «τὸν ἐπλησίασαν τὴν ἰδίαν ἐκείνην ἡμέραν». «Ἐν ἐκείνῃ»· ποίαν δηλαδή. Τὴν ἡμέραν ποὺ ἤλεγξε τὴν κακουργίαν τῶν Φαρισαίων καὶ κατετρόπωσεν αὐτούς.

Ποῖοι δὲ ἦσαν αὐτοί; Ἄλλη ἰουδαϊκὴ αἵρεσις παραπλησία τῆς αἱρέσεως τῶν Φαρισαίων, κατὰ πολὺ κατωτέρα αὐτῆς, ποὺ δὲν ἐπίστευον οὔτε εἰς ἀνάστασιν, οὔτε εἰς ἀγγέλους οὔτε εἰς πνεῦμα. Διότι αὐτοὶ ἦσαν περισσότερον ὑλισταὶ καὶ ἦσαν προσκολλημένοι εἰς τὰ σωματικὰ πράγματα. Πράγματι ὑπῆρχον πολλαὶ αἱρέσεις μεταξὺ τῶν Ἰουδαίων, καὶ διὰ τοῦτο ὁ Παῦλος λέγει· «Εἶμαι Φαρισαῖος, τῆς πιὸ αὐστηρᾶς αἱρέσεως τῆς θρησκείας μας»[3]. Καὶ δὲν λέγουν μὲν κατ' εὐθεῖαν τίποτε περὶ ἀναστάσεως, ἀλλὰ πλάθουν κάποιαν φανταστικὴν ὑπόθεσιν καὶ προβάλλουν, κατὰ τὴν γνώμην μου, κάποιο πρᾶγμα ποὺ δὲν συνέβη, μὲ τὴν ἐλπίδα ὅτι

λεῖν, καὶ θέλοντες ἀναιρέψαι ἀμφότερα, καὶ τὸ ἀνάστασιν εἶναι καὶ τὸ τοιαύτην ἀνάστασιν.

Πάλιν δὲ καὶ οὗτοι μετ' ἐπιεικείας δῆθεν προσβάλλουσι, λέγοντες· «Διδάσκαλε, Μωϋσῆς εἶπεν· ἐὰν ἀποθάνῃ τις, μὴ ἔχων τέκνα, ἐπιγαμβρεύσει ὁ ἀδελφὸς τὴν γυναῖκα καὶ ἀναστήσει σπέρμα τῷ ἀδελφῷ. Ἦσαν δὲ παρ' ἡμῖν ἑπτὰ ἀδελφοί· καὶ ὁ πρῶτος γαμήσας ἐτελεύτησε καὶ μὴ ἔχων σπέρμα ἀφῆκε τὴν γυναῖκα τῷ ἀδελφῷ. Ὁμοίως καὶ ὁ δεύτερος καὶ ὁ τρίτος, ἕως τῶν ἑπτά. Ὕστερον δὲ ἀπέθανε καὶ ἡ γυνή. Ἐν τῇ οὖν ἀναστάσει τίνος τῶν ἑπτὰ ἔσται γυνή;». Ὅρα τούτοις διδασκαλικῶς ἀποκρινόμενον. Εἰ γὰρ καὶ ἀπὸ κακουργίας προσῆλθον, ἀλλ' ὅμως καὶ ἀγνοίας ἡ ἐρώτησις ἦν μᾶλλον. Διὸ οὐδὲ λέγει αὐτοῖς, ὑποκριταί.

Εἶτα ἵνα μὴ ἐγκαλέσῃ, διατί ἑπτὰ μίαν ἔσχον, προστιθέασι τὸν Μωϋσέα· καίτοιγε, ὅπερ ἔφθην εἰπών, πλάσμα ἦν, ὡς ἔγωγε οἶμαι. Οὐ γὰρ ἂν ὁ τρίτος ἔλαβε, τοὺς δύο νυμφίους νεκροὺς γενομένους ἰδών· εἰ δὲ ὁ τρίτος, ἀλλ' οὐχ ὁ τέταρτος, οὐδὲ ὁ πέμπτος· εἰ δὲ καὶ οὗτοι, πολλῷ μᾶλλον ὁ ἕκτος ἢ ὁ ἕβδομος οὐκ ἂν προσῆλθον, ἀλλ' οἰωνίσαντο ἂν τὴν γυναῖκα. Τοιοῦτοι γὰρ οἱ Ἰουδαῖοι. Εἰ γὰρ νῦν πολλοὶ τοῦτο πάσχουσι, πολλῷ μᾶλλον τότε ἐκεῖνοι· ὅπου γε καὶ χωρὶς τούτου πολλάκις τὸ οὕτω συνοικεῖν ἔφυγον, καὶ ταῦτα τοῦ νόμου καταυγάζοντος. Οὕτω γοῦν ἡ Ῥοὺθ ἡ Μωαβῖτις ἐκείνη γυνὴ πρὸς τὸν μακροτέρω τῆς συγγενείας ἐξεκυλίσθη· καὶ ἡ Θάμαρ δὲ ἐντεῦθεν παρὰ τοῦ κηδεστοῦ κλέψαι σπέρμα κατηναγκάζετο.

θὰ τὸν φέρουν εἰς ἀμηχανίαν, καὶ ἐπιδιώκοντες ν' ἀνατρέψουν καὶ τὰ δύο· καὶ τό ὅτι θὰ γίνῃ ἀνάστασις καὶ ὅτι ἡ ἀνάστασις θὰ εἶναι τέτοιου εἴδους.

Πάλιν δὲ καὶ αὐτοὶ τὸν προκαλοῦν μὲ κάποιαν δῆθεν ἠπιότητα, λέγοντες· «Διδάσκαλε, ὁ Μωϋσῆς εἶπεν· ἐὰν κάποιος ἀποθάνῃ χωρὶς νὰ ἔχῃ τέκνα, θὰ νυμφευθῇ ὁ ἀδελφός του τὴν γυναῖκα καὶ θ' ἀναστήσῃ ἀπογόνους διὰ τὸν ἀδελφόν του. Ὑπῆρχον δὲ μεταξύ μας ἑπτὰ ἀδελφοί· καὶ ὁ πρῶτος νυμφευθείς, ἀπέθανε καί, ἐπειδὴ δὲν εἶχεν ἀπογόνους, ἄφησε τὴν γυναῖκα του εἰς τὸν ἀδελφόν του. Τὸ ἴδιο συνέβη καὶ μὲ τὸν δεύτερον καὶ μὲ τὸν τρίτον μέχρι καὶ τὸν ἕβδομον. Ὕστερα ἀπέθανε καὶ ἡ γυναίκα. Κατὰ τὴν ἀνάστασιν λοιπὸν ποίου θὰ εἶναι ἡ γυναίκα;». Πρόσεχε πού τοὺς ἀπαντᾷ ὡσὰν διδάσκαλος. Διότι ἂν καὶ τὸν ἐπλησίασαν ἀπὸ πονηρίαν, ἀλλ' ὅμως περισσότερον ἡ ἐρώτησίς των ἦτο ἐρώτησις ἀγνοίας. Διὰ τοῦτο δὲν τοὺς ὀνομάζει ὑποκριτάς.

Εἰς τὴν συνέχειαν διὰ νὰ μὴ τοὺς κατηγορήσῃ, διατί οἱ ἑπτὰ ἀδελφοὶ ἔλαβον μίαν γυναῖκα, ἀναφέρει καὶ τὸν Μωϋσῆ· ἂν καὶ βέβαια, ὅπως προανέφερα, ἦτο, κατὰ τὴν γνώμην μου, φανταστικὴ ὑπόθεσις. Διότι δὲν θὰ ἦτο δυνατὸν νὰ τὴν νυμφευθῇ ὁ τρίτος, βλέπων τοὺς δύο πρώτους νυμφίους νὰ πεθαίνουν· ἀλλὰ καὶ ἂν τὸ ἔκανεν ὁ τρίτος, δὲν θὰ τὸ ἔκαμνεν ὁ τέταρτος, οὔτε καὶ ὁ πέμπτος· καὶ ἂν δὲ τὸ ἔκαμνον αὐτοί, κατὰ ἕνα μεγαλύτερον λόγον δὲν θὰ τὴν ἐνυμφεύοντο ὁ ἕκτος ἢ ὁ ἕβδομος, ἀλλὰ θὰ ἐθεωροῦσαν τὴν γυναῖκα σημαδιακὴν. Διότι τέτοιοι εἶναι οἱ Ἰουδαῖοι. Ἐὰν βέβαια αὐτὸ συμβαίνῃ τώρα εἰς πολλούς, πολὺ περισσότερον συνέβαινε τότε εἰς ἐκείνους, οἱ ὁποῖοι πολλὲς φορὲς καὶ χωρὶς νὰ συμβῇ αὐτὸ ἀπέφευγον τὴν συνοίκησιν αὐτοῦ τοῦ εἴδους, καὶ ὅλα αὐτὰ τὴν στιγμὴν πού τοὺς τὸ ὑπεχρέωνεν ὁ νόμος. Ἔτσι λοιπὸν ἡ Ρούθ, ἡ Μωαβῖτις ἐκείνη γυναίκα, ἔλαβεν ἄνδρα της τὸν μακρυνὸν συγγενῆ της, καὶ ἡ Θάμαρ πάλιν διὰ τὸν ἴδιον λόγον ἐξηναγκάζετο νὰ κλέψῃ σπέρμα ἀπὸ τὸν πενθερόν της.

Καὶ τίνος ἕνεκεν οὐκ ἔπλασαν δύο ἢ τρεῖς, ἀλλ' ἑπτά; Ὥσιε ἐκ περιουσίας κωμῳδῆσαι, ὡς ᾤοντο, τὴν ἀνάστασιν. Διὸ καὶ λέγουσι, «πάντες ἔσχον αὐτήν», ὡς εἰς ἄπορόν τι αὐτὸν ἐμβάλλοντες. Τί οὖν ὁ Χριστός; Πρὸς ἀμφότερα ἀποκρίνεται, οὐ πρὸς τὰ ῥήματα, ἀλλὰ πρὸς τὴν γνώμην ἱστάμενος, καὶ πανταχοῦ τὰ ἀπόρρητα αὐτῶν ἐκκαλύπτων, καὶ ποτὲ μὲν αὐτὰ ἐκπομπεύων, ποτὲ δὲ τῷ συνειδότι τῶν ἐρωτώντων ἀφιεὶς τὸν ἔλεγχον. Ὅρα γοῦν ἐνταῦθα πῶς ἀμφότερα δείκνυσι, καὶ ὅτι ἀνάστασις ἔσται, καὶ ὅτι οὐ τοιαύτη ἀνάστασις, οἵαν ὑποπτεύουσι. Τί γάρ φησι;« Πλανᾶσθε, μὴ εἰδότες τὰς Γραφάς, μηδὲ τὴν δύναμιν τοῦ Θεοῦ». Ἐπειδὴ γὰρ ὡς εἰδότες, Μωϋσέα προβάλλονται καὶ τὸν νόμον, δείκνυσιν ὅτι τοῦτο μάλιστα ἀγνοούντων ἐστὶ τὰς Γραφὰς τὸ ἐρώτημα. Ἐντεῦθεν γὰρ καὶ τὸ πειράζειν αὐτοῖς ἦν, ἐκ τοῦ τὰς Γραφὰς ἀγνοεῖν, καὶ τοῦ Θεοῦ τὴν δύναμιν μὴ εἰδέναι ὡς χρή. Τί οὖν θαυμαστόν, φησίν, εἰ ἐμὲ πειράζετε τὸν ἔτι ἀγνοούμενον ὑμῖν, ὅπου γε οὐδὲ τοῦ Θεοῦ τὴν δύναμιν ἴστε, ἧς τοσαύτην πεῖραν εἰλήφατε, καὶ οὔτε ἐκ κοινῶν ἐννοιῶν, οὔτε ἀπὸ Γραφῶν αὐτὴν ἔγνωτε· εἰ ἄρα καὶ κοινοὶ λογισμοὶ τοῦτο παρέχουσιν εἰδέναι, ὅτι τῷ Θεῷ πάντα δυνατά.

3. Καὶ πρῶτον μὲν πρὸς τὸ ἐρωτηθὲν ἀποκρίνεται. Ἐπειδὴ γὰρ τοῦτο αἴτιον ἦν αὐτοῖς τοῦ μὴ νομίζειν ἀνάστασιν, τὸ νομίζειν τοιαύτην εἶναι τὴν τῶν πραγμάτων κατάστασιν, τὸ αἴτιον θεραπεύει, εἶτα καὶ τὸ σύμπτωμα (ἀπὸ γὰρ τούτου καὶ τὸ νόσημα γέγονε), καὶ δείκνυσι τῆς ἀναστάσεως τὸν τρόπον. «Ἐν γὰρ τῇ ἀναστάσει», φησίν, «οὔτε γαμοῦσιν, οὔ-

Καὶ διὰ ποῖον λόγον δὲν ἔπλασαν μὲ τὴν φαντασίαν τους δύο ἢ τρεῖς, ἀλλὰ ἑπτὰ ἀδελφούς; Μὲ σκοπὸν νὰ γελοιοποιήσουν, ὅπως ἐνόμιζον, εἰς πολὺν μεγάλον βαθμὸν τὴν ἀνάστασιν. Διὰ τοῦτο καὶ λέγουν, «ὅλοι ἐνυμφεύθησαν αὐτήν», ὥστε νὰ τὸν ὁδηγήσουν εἰς ἀμηχανίαν. Ποίαν ἀπάντησιν λοιπὸν δίδει ὁ Χριστός. Δίδει ἀπάντησιν καὶ πρὸς τὰ δύο, καὶ συγκεντρώνει τὴν προσοχήν του ὄχι εἰς τὰ λόγια των, ἀλλὰ εἰς τὰς σκέψεις των, καὶ πάντοτε φέρει εἰς τὸ φῶς τὰ ἀπόκρυφα σχέδιά των, καὶ ἄλλοτε μὲν ἐκπομπεύων αὐτά, ἄλλοτε δὲ ἀφήνων τὸν ἔλεγχον εἰς τὴν συνείδησιν αὐτῶν ποὺ τὸν ἐρωτοῦν. Πρόσεχε λοιπὸν ἐδῶ πῶς δεικνύει καὶ τὰ δύο, καὶ ὅτι θὰ συμβῇ ἀνάστασις καὶ ὅτι δὲν θὰ εἶναι ἡ ἀνάστασις τέτοια, ὅπως τὴν φαντάζονται αὐτοί. Τί λέγει δηλαδή; «Πλανᾶσθε, ἐπειδὴ δὲν γνωρίζετε τὰς Γραφάς, οὔτε τὴν δύναμιν τοῦ Θεοῦ». Ἐπειδὴ δηλαδὴ προβάλλουν τὸν Μωϋσῆ καὶ τὸν νόμον ὡς δῆθεν γνῶσταί αὐτοῦ, ἀποδεικνύει ὅτι αὐτὸ τὸ ἐρώτημα εἶναι κατ' ἐξοχὴν δεῖγμα ἀγνοίας τῶν Γραφῶν. Διότι ἐξ αἰτίας αὐτοῦ ἔφθανον εἰς τὸ σημεῖον νὰ τὸν πειράζουν, καὶ ἐκ τοῦ ὅτι δηλαδὴ δὲν γνώριζον τὰς Γραφὰς καὶ ἐκ τοῦ ὅτι δὲν ἐγνώριζον ὅπως ἔπρεπε τὴν δύναμιν τοῦ Θεοῦ. Τί τὸ ἀξιοθαύμαστον λοιπόν, λέγει, ἐὰν πειράζετε ἐμένα, τὸν ὁποῖον δὲν γνωρίζετε ἀκόμη, καθ' ἣν στιγμὴν δὲν γνωρίζετε οὔτε καὶ τὴν δύναμιν τοῦ Θεοῦ, τῆς ὁποίας τόσην ἀπόδειξιν ἔχετε λάβει, καὶ δὲν τὴν ἐγνωρίσατε οὔτε ἀπὸ τὰς κοινὰς ἐννοίας οὔτε ἀπὸ τὰς Γραφάς, μολονότι βέβαια καὶ ἡ κοινὴ λογικὴ παρέχει αὐτὴν τὴν δυνατότητα γνώσεως, ὅτι δηλ. εἰς τὸν Θεὸν εἶναι τὰ πάντα δυνατά.

3. Καὶ κατὰ πρῶτον μὲν ἀπαντᾷ εἰς τὴν ἐρώτησίν των. Ἐπειδὴ δηλαδὴ αὐτὸ ἦτο ἡ αἰτία τὸ ὅτι δὲν ἐπίστευον εἰς ἀνάστασιν, τὸ ὅτι ἐνόμιζον ὅτι ἦτο τέτοια ἡ κατάστασις τῶν πραγμάτων, κατ' ἀρχὴν θεραπεύει τὴν αἰτίαν τῆς ἀπιστίας καὶ ἔπειτα καὶ τὴν συνέπειαν αὐτῆς (διότι ἀπὸ αὐτὸ προήρχετο καὶ τὸ νόσημα), καὶ δεικνύει τὸν τρόπον τῆς ἀναστάσεως. Διότι λέγει· «Κατὰ τὴν ἀνάστασιν οὔτε νυμφεύονται,

τε γαμίσκονται, ἀλλ' εἰσὶν ὡς ἄγγελοι Θεοῦ ἐν οὐρανῷ». Ὁ δὲ Λουκᾶς φησιν «ὡς υἱοὶ Θεοῦ». Εἰ τοίνυν οὐ γαμοῦσι, περιττὴ ἡ ἐρώτησις. Οὐ μὴν ἐπειδὴ οὐ γαμοῦσι, διὰ τοῦτο ἄγγελοι, ἀλλ' ἐπειδὴ ὡς ἄγγελοι, διὰ τοῦτο οὐ γαμοῦσιν. Ἀπὸ τούτου καὶ ἕτερα πολλὰ ἀνεῖλεν, ἅπερ ἅπαντα δι' ἑνὸς ῥήματος ὁ Παῦλος ἠνίξατο εἰπών· «παράγει γὰρ τὸ σχῆμα τοῦ κόσμου τούτου». Καὶ διὰ μὲν τούτων ἐδήλωσεν ἥλικον ἡ ἀνάστασις· ὅτι δὲ καὶ ἀνάστασίς ἐστι, δείκνυσι. Καίτοι συναποδέδεικται τῷ εἰρημένῳ καὶ τοῦτο, ἀλλ' ὅμως ἐκ περισσείας τῷ λόγῳ πάλιν προστίθησι λέγων. Οὐδὲ γὰρ πρὸς τὸ ἐρώτημα ἔστη μόνον, ἀλλὰ καὶ πρὸς τὴν ἔννοιαν αὐτῶν. Οὕτως ὅταν μὴ σφόδρα κακουργῶσιν, ἀλλ' ἀγνοοῦντες ἐρωτῶσι, καὶ ἐκ περιουσίας διδάσκει· ὅταν δὲ ἀπὸ κακίας μόνης, οὐδὲ πρὸς τὰ ἐρωτώμενα ἀποκρίνεται.

Καὶ πάλιν ἀπὸ τοῦ Μωϋσέως ἐπισιομίζει αὐτούς, ἐπειδὴ κἀκεῖνοι Μωϋσέα προεβάλοντο, καί φησι· «περὶ δὲ τῆς ἀναστάσεως τῶν νεκρῶν οὐκ ἀνέγνωτε, ὅτι ἐγώ εἰμι ὁ Θεὸς Ἀβραὰμ καὶ ὁ Θεὸς Ἰσαὰκ καὶ ὁ Θεὸς Ἰακώβ; Οὐκ ἔστι Θεὸς νεκρῶν, ἀλλὰ ζώντων». Οὐαὶ τῶν οὐκ ὄντων, φησί, καὶ καθάπαξ ἀφανισθέντων, καὶ οὐκέτι ἀναστησομένων. Οὐ γὰρ εἶπεν, ἦμην, ἀλλ', εἰμί· τῶν ὄντων καὶ τῶν ζώντων. Ὥσπερ γὰρ ὁ Ἀδάμ, εἰ καὶ ἔζη τῇ ἡμέρᾳ ᾗ ἔφαγεν ἀπὸ τοῦ ξύλου, ἀπέθανε τῇ ἀποφάσει, οὕτω καὶ οὗτοι, εἰ καὶ ἐτεθνήκεσαν, ἔζων τῇ ὑποσχέσει τῆς ἀναστάσεως.

Πῶς οὖν φησιν ἀλλαχοῦ, «ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ»; Ἀλλ' οὐκ ἔστιν ἐναντίον τοῦτο ἐκείνῳ. Νεκρῶν

---

4. Λουκᾶ 20, 36.
5. Α' Κορ. 7, 31.
6. Ἐξ. 3, 6.
7. Ρωμ. 14, 9.

οὔτε ὑπανδρεύονται, ἀλλ' εἶναι ὅπως οἱ ἄγγελοι τοῦ Θεοῦ εἰς τὸν οὐρανόν». Ὁ δὲ Λουκᾶς λέγει, «ὅπως οἱ υἱοὶ τοῦ Θεοῦ»[4]. Ἐὰν λοιπὸν δὲν νυμφεύωνται, εἶναι περιττὴ ἡ ἐρώτησις. Βέβαια εἶναι ἄγγελοι, ὄχι ἐπειδὴ δὲν νυμφεύονται, ἀλλ' ἐπειδὴ ζοῦν ὡς ἄγγελοι, διὰ τοῦτο δὲν νυμφεύονται. Μὲ τὴν ἀπάντησίν του αὐτὴν καὶ πολλὰ ἄλλα ἀνῆρησε, τὰ ὁποῖα ὅλα μαζὶ ὑπηνίχθη ὁ Παῦλος μὲ ἕνα λόγον του ὡς ἑξῆς· «Διότι παρέρχεται ἡ μορφὴ τοῦ κόσμου αὐτοῦ»[5]. Καὶ μὲ αὐτὰ ἐφανέρωσε μὲν τί λογῆς θὰ εἶναι ἡ ἀνάστασις, ἀποδεικνύει ὅμως ὅτι ὑπάρχει καὶ ἀνάστασις. Μολονότι βέβαια ἀποδεικνύεται μὲ τοὺς λόγους του αὐτοὺς καὶ αὐτό, ἀλλ' ὅμως ἐπεκτείνει τὸν λόγον του καὶ προσθέτει καὶ ἐν συνεχείᾳ καὶ ἄλλα λόγια. Διότι δὲν ἐσταμάτησε μόνον εἰς τὸ ἐρώτημά των, ἀλλ' ἐπροχώρησε καὶ εἰς τὰς ἀποκρύφους σκέψεις των. Ἔτσι, ὅταν δὲν εἶναι πολὺ μεγάλη ἡ κακουργία των, ἀλλὰ τὸν ἐρωτοῦν ἀπὸ ἄγνοιαν, τοὺς διδάσκει τότε ἐν ἐκτάσει, ὅταν ὅμως ἐρωτοῦν ἀπὸ κακίαν καὶ μόνον, τότε δὲν ἀπαντᾷ οὔτε καὶ εἰς τὰς ἐρωτήσεις των.

Καὶ πάλιν τοὺς ἀποστομώνει ἀπὸ τὰ γραφόμενα τοῦ Μωϋσέως, ἐπειδὴ καὶ ἐκεῖνοι προέβαλλον τὸν Μωυσῆ, καὶ λέγει· «Σχετικὰ δὲ μὲ τὴν ἀνάστασιν τῶν νεκρῶν δὲν ἀνεγνώσατε, ὅτι ἐγὼ εἶμαι ὁ Θεὸς Ἀβραὰμ καὶ ὁ Θεὸς Ἰσαὰκ καὶ ὁ Θεὸς Ἰακώβ; Δὲν εἶναι ὁ Θεός, Θεὸς νεκρῶν, ἀλλὰ ζώντων»[6]. Δὲν εἶναι, λέγει, Θεὸς ἀνυπάρκτων καὶ ποὺ ἐξηφανίσθησαν ἅπαξ διὰ παντὸς καὶ ποὺ δὲν πρόκειται ν' ἀναστηθοῦν. Διότι δὲν εἶπεν, '"Ημουν', ἀλλ' «εἶμαι»· εἶμαι Θεὸς αὐτῶν ποὺ ὑπάρχουν καὶ ποὺ εἶναι ζωντανοί. Διότι ὅπως ἀκριβῶς ὁ Ἀδάμ, ἂν καὶ ἔζη κατὰ τὴν ἡμέραν ποὺ ἔφαγεν ἀπὸ τὸν καρπὸν τοῦ ἀπηγορευμένου δένδρου, ὅμως ἀπέθανεν ὡς πρὸς τὴν ἀπόφασίν του, ἔτσι καὶ αὐτοί, ἂν καὶ εἶχον ἀποθάνει, ἔζων μὲ τὴν ὑπόσχεσιν τῆς ἀναστάσεως.

Πῶς λοιπὸν λέγει εἰς ἄλλο σημεῖον, «διὰ νὰ γίνῃ κυρίαρχος τῶν νεκρῶν καὶ τῶν ζώντων»[7]; Ἀλλ' αὐτὸ δὲν ἀντιτίθεται εἰς ἐκεῖνο. Διότι ἐδῶ ὀνομάζει νεκροὺς καὶ αὐτοὺς

γὰρ ἐνταῦθά φησι, τῶν καὶ αὐτῶν ζήσεσθαι μελλόντων. Ἄλλως δὲ καὶ ἕτερον τό, «ἐγὼ ὁ Θεὸς Ἀβραάμ», καὶ τό, «ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ». Οἶδε δὲ καὶ ἄλλην νεκρότητα, περὶ ἧς φησιν· «ἄφετε τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς».

«Καὶ ἀκούσαντες οἱ ὄχλοι ἐξεπλήγησαν ἐπὶ τῇ διδαχῇ αὐτοῦ». Οὐδὲ ἐνταῦθα οἱ Σαδδουκαῖοι· ἀλλ' οὗτοι μὲν ἡττηθέντες ἀναχωροῦσι, τὸ δὲ ἀδέκαστον πλῆθος καρποῦται τὴν ὠφέλειαν. Ἐπεὶ οὖν τοιαύτη ἡ ἀνάστασις, φέρε πάντα ποιῶμεν, ἵνα τῶν πρωτείων ἐκεῖ τύχωμεν. Εἰ δὲ δοκεῖ, καὶ πρὸ τῆς ἀναστάσεως δείξωμεν ὑμῖν τινας ταῦτα ἐντεῦθεν ἐπιτηδεύοντας καὶ καρπουμένους, πάλιν ἐπὶ τὰς ἐρήμους ἀπελθόντες. Πάλιν γὰρ τῶν αὐτῶν ἅψομαι λόγων, ἐπειδὴ μετὰ πλείονος ἡδονῆς ἀκούοντας ὑμᾶς βλέπω. Ἴδωμεν τοίνυν καὶ τήμερον τὰ σιρατόπεδα τὰ πνευματικά· ἴδωμεν τὴν φόβου καθαρὰν ἡδονήν. Οὐ γὰρ μετὰ δοράτων εἰσὶν ἐσκηνωμένοι, καθάπερ οἱ σιρατιῶται (ἐνταῦθα γὰρ πρώην κατέλυσα τὸν λόγον), οὐδὲ μετὰ ἀσπίδων καὶ θωράκων, ἀλλὰ γυμνοὺς ὄψει τούτων ἁπάντων, καὶ τοιαῦτα ἐργαζομένους, οἷα οὐδὲ μετὰ ὅπλων ἐκεῖνοι. Καὶ εἰ δύνασαι συνιδεῖν, ἐλθέ, καὶ χεῖρά μοι δὸς ἔξον, καὶ ἴωμεν εἰς τὸν πόλεμον τοῦτον ἀμφότεροι, καὶ ἴδωμεν τὴν παράταξιν. Καὶ γὰρ καὶ οὗτοι καθ' ἑκάστην πολεμοῦσι τὴν ἡμέραν καὶ σφάττουσι τοὺς ὑπεναντίους καὶ νικῶσι τὰς ἐπιθυμίας ἁπάσας τὰς ἐπιβουλευούσας ἡμῖν. Καὶ ὄψει ταύτας ἐρριμμένας χαμαί, καὶ μηδὲ σπαίρειν δυναμένας· ἀλλὰ τὸ ἀποστολικὸν ἐκεῖνο διὰ τῶν ἔργων δεικνύμενον, ὅτι «οἱ τοῦ Χριστοῦ τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις».

Εἶδες πλῆθος νεκρῶν κειμένων, ἐσφαγμένων τῇ μαχαί-

8. Λουκᾶ 9, 60.
9. Γαλ. 5, 24.

ποὺ πρόκειται νὰ ζήσουν εἰς τὸ μέλλον. Ἄλλωστε δὲ εἶναι ἄλλο πρᾶγμα τὸ «ἐγὼ ὁ Θεὸς τοῦ Ἀβραὰμ» καὶ τὸ «διὰ νὰ ἐξουσιάσῃ νεκροὺς καὶ ζῶντας». Γνωρίζει δὲ καὶ ἄλλην νεκρότητα, περὶ τῆς ὁποίας λέγει· «Ἀφήσατε τοὺς νεκροὺς νὰ θάψουν τοὺς νεκρούς των»[8].

«Καὶ ὅταν ἤκουσαν τὰ πλήθη τοὺς λόγους αὐτοὺς ἔμειναν κατάπληκτοι ἀπὸ τὴν διδασκαλίαν του». Οὔτε συμπεριλαμβάνονται μεταξὺ αὐτῶν καὶ οἱ Σαδδουκαῖοι· ἀλλ' αὐτοὶ μὲν μετὰ τὴν ἦτταν των ἀναχωροῦν, τὸ δὲ ἀμερόληπτον πλῆθος καρποῦται τὴν ὠφέλειαν. Ἐπειδὴ λοιπὸν τέτοια εἶναι ἡ ἀνάστασις, ἂς κάνωμεν τὰ πάντα, διὰ νὰ ἐπιτύχωμεν τὰ πρωτεῖα ἐκεῖ. Ἐὰν δὲ θέλετε, καὶ πρὶν ἀπὸ τὴν ἀνάστασιν νὰ σᾶς δείξωμεν ὡρισμένους ποὺ ἐπιδιώκουν αὐτὰ καὶ εἰς τὴν ἐδῶ ζωὴν καὶ ἀπολαμβάνουν τοὺς καρπούς, πάλιν θὰ μεταβῶμεν νοερῶς εἰς τὰς ἐρήμους. Πάλιν δηλαδὴ θ' ἀναφέρω τοὺς ἰδίους λόγους, ἐπειδὴ σᾶς βλέπω ν' ἀκοῦτε μὲ πάρα πολλὴν εὐχαρίστησιν. Ἂς στρέψωμεν λοιπὸν τοὺς ὀφθαλμούς μας καὶ σήμερον πρὸς τὰ πνευματικὰ στρατόπεδα καὶ ἂς ἐξετάσωμεν τὴν ἡδονὴν ποὺ εἶναι καθαρὰ ἀπὸ φόβον. Διότι δὲν ἔχουν κατασκηνώσει μὲ δόρατα, ὅπως ἀκριβῶς οἱ στρατιῶται (διότι ἐδῶ παλαιότερα τελείωσα τὸν λόγον), οὔτε μὲ ἀσπίδας καὶ θώρακας, ἀλλὰ θὰ τοὺς ἰδῇς γυμνοὺς ἀπὸ ὅλα αὐτὰ τὰ παρόμοια καὶ νὰ πράττουν τέτοια πράγματα, τὰ ὁποῖα δὲν ἠμποροῦν ἐκεῖνοι νὰ τὰ πράξουν οὔτε μὲ τὰ ὅπλα. Καὶ ἐὰν ἠμπορῇς νὰ τοὺς ἐξετάσῃς μαζί μου, ἔλα καὶ δῶσε μου χεῖρα βοηθείας καὶ ἂς μεταβῶμεν καὶ οἱ δύο εἰς τὸν πόλεμον αὐτὸν καὶ ἂς ἰδοῦμεν τὴν παράταξιν. Καθ' ὅσον καὶ αὐτοὶ πολεμοῦν καθημερινῶς καὶ σφάζουν τοὺς ἐχθροὺς καὶ νικοῦν ὅλας τὰς ἐπιθυμίας ποὺ μᾶς ἐπιβουλεύονται. Καὶ θὰ τὰς ἰδῇς νὰ εἶναι πεταγμέναι κάτω καὶ νὰ μὴ ἠμποροῦν οὔτε νὰ σπαράζουν, ἀλλ' ν' ἀποδεικνύεται διὰ τῶν ἔργων τὸ ἀποστολικὸν ἐκεῖνο λόγιον, ὅτι «οἱ ὀπαδοὶ τοῦ Χριστοῦ ἐσταύρωσαν τὴν σάρκα μαζὶ μὲ τὰ πάθη καὶ τὰς ἐπιθυμίας»[9].

Εἶδες πλῆθος νεκρῶν ποὺ εὑρίσκονται κάτω πεταγμένοι,

ρᾳ τοῦ Πνεύματος; Διὰ τοῦτο οὐκ ἔστιν ἐκεῖ μέθη, οὐδὲ ἀδηφαγία. Καὶ δείκνυσιν ἡ τράπεζα καὶ τὸ τρόπαιον τὸ ἐπ' αὐτῇ ἑστηκός. Ἡ γὰρ μέθη καὶ ἡ ἀδηφαγία κεῖται νεκρὰ διὰ τῆς ὑδροποσίας τροπωθεῖσα, τὸ πολυειδὲς τοῦτο καὶ πολυκέφαλον θηρίον. Καθάπερ γὰρ ἐπὶ τῆς μυθοποιουμένης Σκύλλης καὶ Ὕδρας, οὕτω καὶ ἐπὶ τῆς μέθης πολλάς ἐστι κεφαλὰς ἰδεῖν· ἐντεῦθεν πορνείαν, ἐκεῖθεν ὀργήν, ἄλλοθεν βλακείαν, ἑτέρωθεν ἔρωτας ἀτόπους φυομένους· ἀλλὰ πάντα ταῦτα ἀνῄρηται. Καίτοιγε ἐκεῖνα πάντα τὰ στρατόπεδα, κἂν μυρίων περιγένωνται πολέμων, ὑπὸ τούτων ἁλίσκονται· καὶ οὔτε ὅπλα, οὔτε δόρατα, οὐχ ὅπερ ἂν ἕτερον ᾖ, δύναται πρὸς ταύτας στῆναι τὰς φάλαγγας, ἀλλ' αὐτοὺς τοὺς γίγαντας, τοὺς ἀριστέας, τοὺς τὰ μυρία ἀνδραγαθοῦντας εὕροις ἂν χωρὶς δεσμῶν δεδεμένους ὕπνῳ καὶ μέθῃ, χωρὶς σφαγῆς καὶ τραυμάτων, καθάπερ τοὺς τετραυματισμένους, κειμένους, μᾶλλον δὲ καὶ χαλεπώτερον. Ἐκεῖνοι μὲν γὰρ κἂν σπαίρουσιν, οὗτοι δὲ οὐδὲ τοῦτο, ἀλλ' εὐθέως καταπίπτουσιν.

Ὁρᾷς ὅτι μεῖζον τοῦτο τὸ στρατόπεδον καὶ θαυμαστότερον; τοὺς γὰρ ἐκείνων περιγινομένους πολεμίους ἀναιρεῖ τῷ θελῆσαι μόνον. Οὕτω γὰρ αὐτὴν ἀσθενῆ τὴν μητέρα ἁπάντων τῶν κακῶν ποιοῦσιν, ὡς μηδὲ ἐνοχλεῖν λοιπόν· τοῦ δὲ στρατηγοῦ κειμένου καὶ τῆς κεφαλῆς ἀνῃρημένης, καὶ τὸ λοιπὸν σῶμα ἡσυχάζει. Καὶ τὴν νίκην ταύτην ἕκαστον τῶν ἐκεῖ μενόντων ἐργαζόμενον ἴδοι τις ἄν. Οὐ γὰρ ὥσπερ ἐπὶ τούτων τῶν πολέμων, ἐὰν ὑφ' ἑνός τις λάβῃ πληγήν, ἑτέρῳ

καὶ ποὺ ἔχουν σφαγῆ ἀπὸ τὴν μάχαιραν τοῦ Πνεύματος. Διὰ τοῦτο δὲν ὑπάρχει ἐκεῖ μέθη οὔτε πολυφαγία. Καὶ τὸ ἀποδεικνύει αὐτὸ ἡ τράπεζα καὶ τὸ τρόπαιον ποὺ εὑρίσκεται ἐπάνω εἰς αὐτήν. Διότι ἡ μέθη καὶ ἡ πολυφαγία εἶναι νεκρά, κατατροπωθεῖσα διὰ τῆς ὑδροποσίας, τὸ πολύμορφον αὐτὸ καὶ πολυκέφαλον θηρίον. Διότι ὅπως ἀκριβῶς εἰς τὴν περίπτωσιν τῆς μυθικῆς Σκύλλας καὶ τῆς Ὕδρας, ἔτσι καὶ εἰς τὴν μέθην εἶναι δυνατὸν νὰ ἰδοῦμεν πολλὰς κεφαλάς· ἀπὸ τὸ ἕνα μέρος τὴν πορνείαν, ἀπὸ τὸ ἄλλο τὴν ὀργήν, ἀπὸ τὸ ἄλλο τὴν βλακείαν καὶ ἀπὸ τὸ ἄλλο νὰ φυτρώνουν οἱ παράλογοι ἔρωτες· ὅλα αὐτὰ ὅμως εἰς αὐτοὺς ἔχουν ἐξαφανισθῆ. Μολονότι βέβαια ὅλα ἐκεῖνα τὰ στρατεύματα, ἂν καὶ νικοῦν εἰς πάρα πολλοὺς πολέμους, ὅμως κατακυριεύονται ἀπὸ αὐτὰ τὰ πάθη· καὶ οὔτε ὅπλα, οὔτε δόρατα, οὔτε οἱοδήποτε ἄλλο ἠμπορεῖ ν' ἀντισταθῇ ἀπέναντι εἰς αὐτὰς τὰς φάλαγγας, ἀλλ' αὐτοὺς τοὺς γίγαντας, ποὺ ἀριστεύουν καὶ ἐπιτυγχάνουν ἀμέτρητα ἀνδραγαθήματα, εἶναι δυνατὸν νὰ τοὺς εὕρῃς χωρὶς δεσμὰ δεμένους μὲ τὸν ὕπνον καὶ τὴν μέθην, χωρὶς σφαγὴν καὶ τραύματα, νὰ εἶναι ἐξαπλωμένοι ὅπως ἀκριβῶς οἱ τραυματισμένοι, μᾶλλον δὲ καὶ εἰς πολὺ πιὸ χειροτέραν κατάστασιν. Διότι ἐκεῖνοι μὲν τουλάχιστον σπαράζουν, ἐνῷ αὐτοὶ δὲν παθαίνουν οὔτε αὐτό, ἀλλ' ἀμέσως πίπτουν κάτω.

Βλέπεις αὐτὸ τὸ στράτευμα ὅτι εἶναι πολὺ πιὸ σπουδαῖον καὶ πολὺ πιὸ ἀξιοθαύμαστον; διότι καταβάλλει τοὺς ἐχθροὺς ποὺ ἔρχονται ἐναντίον του ἁπλῶς καὶ μόνον μὲ τὴν θέλησιν. Τόσον πολὺ δὲ ἐξασθενοῦν αὐτήν, ποὺ εἶναι μητέρα ὅλων τῶν κακῶν, ὥστε εἰς τὸ ἑξῆς οὔτε κἂν νὰ τοὺς ἐνοχλῇ· διότι ὅταν ὁ στρατηγὸς εὑρίσκεται κατάκοιτος καὶ ἔχει συντριβῇ ἡ κεφαλή, ἡσυχάζει καὶ τὸ ὑπόλοιπον τὸ σῶμα. Καὶ τὴν νίκην αὐτὴν εἶναι δυνατὸν νὰ τὴν ἰδῇς νὰ τὴν κατορθώνῃ ὁ καθένας ἀπὸ αὐτοὺς ποὺ διαμένουν ἐκεῖ. Διότι δὲν συμβαίνει ἐδῶ αὐτὸ ποὺ συμβαίνει μὲ τοὺς ἐχθρούς, ἐὰν δηλαδὴ κάποιος πληγωθῇ ἀπὸ κάποιον, νὰ πίπτῃ κάτω μία διὰ πάντα νεκρός, καὶ νὰ μὴ χρειάζεται εἰς τὸ ἑξῆς τὸ κτύπημα ἀπὸ κάποιον ἄλλον,

λοιπὸν οὐκ ἔστι βαρὺς καταπεσὼν ἅπαξ· ἀλλ' ἀνάγκη πάντως τὸ θηρίον τοῦτο παίειν· καὶ ὁ μὴ πλήξας αὐτὴν καὶ καταβαλών, ἐνοχλεῖται πάντως.

4. Εἶδες νίκην λαμπράν; Οἷον γὰρ τὰ σιρατόπεδα τὰ πανταχοῦ τῆς οἰκουμένης ὁμοῦ συνελθόντα σιῆσαι τρόπαιον οὐκ ἰσχύει, τοῦτο ἕκαστος ἐκείνων ἵστησι· καὶ πάντα ἀναμέμικται τετρωμένα, παράφορα παραπληξίας ῥήματα, νοήματα μανικά, ἀηδὴς τῦφος, πάντα ὅσα ἀπὸ μέθης ὁπλίζεται. Καὶ μιμοῦνται τὸν ἑαυτῶν δεσπότην, ὃν ἡ Γραφὴ θαυμάζουσα ἔλεγεν· «ἐκ χειμάρρου ἐν ὁδῷ πίεται· διὰ τοῦτο ὑψώσει κεφαλήν».

Βούλεσθε καὶ ἕτερον πλῆθος νεκρῶν ἰδεῖν; Ἴδωμεν τὰς ἐκ τῆς τρυφῆς ἐπιθυμίας, τὰς ἐκ τῶν ὀψοποιῶν, τῶν μαγείρων, τῶν τραπεζοποιῶν, τῶν πλακουντοποιῶν. Αἰσχύνομαι μὲν γὰρ πάντα διηγούμενος· πλὴν ἀλλ' ὅμως ἐρῶ τὰς ὄρνεις τὰς ἀπὸ Φάσιδος, τοὺς ζωμοὺς τοὺς χύδην μιγνυμένους, τὰ ὑγρά, τὰ ξηρὰ ἐδέσματα, τοὺς περὶ τούτων κειμένους νόμους. Καθάπερ γάρ τινα πόλιν διοικοῦντες καὶ σιρατόπεδα διατάττοντες, οὕτω καὶ οὗτοι, τὸ καὶ τὸ πρῶτον, καὶ τὸ καὶ τὸ δεύτερον νομοθετοῦσι καὶ καταιάττουσι. Καὶ οἱ μὲν πρῶτον ὄρνεις ἐπ' ἀνθράκων ὠπτημένας, ἔνδοθεν μεμεστωμένας ἰχθύων εἰσάγουσιν, ἕτεροι δὲ ἄλλοθεν τὰ προοίμια ποιοῦνται τῶν παρανόμων τούτων δείπνων· καὶ ἅμιλλα πολλὴ περὶ τούτων, καὶ ὑπὲρ ποιότητος καὶ ὑπὲρ τάξεως καὶ ὑπὲρ πλήθους· καὶ φιλοτιμοῦνται ἐφ' οἷς κατορύττεσθαι ἔδει, οἱ μὲν ὅτι τὸ ἥμισυ τῆς ἡμέρας ἀνάλωσαν, οἱ δὲ πᾶσαν αὐτήν, οἱ δὲ ὅτι καὶ τὴν νύκτα προσέθηκαν λέγοντες. Ἴδε τὸ μέτρον, ταλαί-

10. Ψαλμ. 109, 7

ἀλλ' εἶναι ἀνάγκη ὅλοι νὰ κτυποῦν τὸ θηρίον αὐτό· καὶ αὐτὸς ποὺ δὲν τὴν ἐκτύπησε θανάσιμα καὶ δὲν τὴν κατέβαλε ὁπωσδήποτε ἐνοχλεῖται ἀπὸ αὐτήν.

4. Εἶδες νίκην λαμπράν; Διότι ἕνα τέτοιο τρόπαιον ποὺ δὲν ἠμποροῦν νὰ τὸ στήσουν ἐὰν συγκεντρωθοῦν τὰ στρατεύματα ὁλοκλήρου τῆς οἰκουμένης, αὐτὸ τὸ στήνει ὁ καθένας ἀπὸ ἐκείνους. Καὶ ὅλα εὑρίσκονται κάτω πληγωμένα καὶ ἀνακατωμένα, παράφορα λόγια παραφροσύνης, σκέψεις μανιώδεις, ἡ ἀηδιαστικὴ ἀλαζονεία, ὅλα γενικῶς ἐκεῖνα ποὺ ὁπλίζονται ἀπὸ τὴν μέθην. Καὶ μιμοῦνται τὸν Κύριόν των, διὰ τὸν ὁποῖον ἡ Γραφὴ μὲ θαυμασμὸν ἔλεγεν· «Θὰ πίῃ ἀπὸ χείμαρρον ποὺ εὑρίσκεται παρὰ τὴν ὁδὸν καὶ διὰ τοῦτο θὰ ὑψώσῃ τὴν κεφαλήν του»[10].

Θέλετε νὰ ἰδῆτε καὶ ἄλλο πλῆθος νεκρῶν; Ἂς ἰδοῦμεν τὰς ἐπιθυμίας ποὺ προέρχονται ἀπὸ τὴν τρυφήν, αὐτὰς ποὺ προέρχονται ἀπὸ τὰ πολυτελῆ φαγητά, ἀπὸ τοὺς μαγείρους, ἀπὸ τοὺς τραπεζοκόμους καὶ τοὺς ζαχαροπλάστας. Ἐντρέπομαι βέβαια νὰ τὰ διηγοῦμαι ὅλα αὐτά, πλὴν ὅμως θ' ἀναφέρω τὰ πουλιὰ ἀπὸ τὴν Φάσιδα, τοὺς ζωμοὺς μὲ τὴν τόσην ποικιλίαν των, τὰ ποτά, τοὺς ξηροὺς καρπούς, τοὺς νόμους σχετικὰ μὲ ὅλα αὐτά. Διότι ὅπως ἀκριβῶς αὐτοὶ ποὺ διοικοῦν κάποιαν πόλιν καὶ διατάσσουν στρατεύματα, ἔτσι καὶ αὐτοὶ νομοθετοῦν καὶ ὁρίζουν ποῖο φαγητὸν θὰ εἶναι τὸ πρῶτον, ποῖο τὸ δεύτερον. Καὶ ἄλλοι μὲν παρουσιάζουν ὡς πρῶτον φαγητὸν πουλιὰ ψημένα ἐπάνω εἰς τὰ κάρβουνα γεμᾶτα ἐσωτερικὰ μὲ ψάρια, ἄλλοι δὲ κατ' ἄλλον τρόπον παρασκευάζουν τὰ εἰς τὴν ἀρχὴν προσφερόμενα φαγητὰ αὐτῶν τῶν παρανόμων δείπνων. Καὶ ὑπάρχει μεγάλη ἅμιλλα δι' ὅλα αὐτά, καὶ διὰ τὴν ποιότητα καὶ διὰ τὴν τάξιν καὶ διὰ τὸ πλῆθος. Καὶ νοιώθουν ὑπερηφάνειαν διὰ πράγματα διὰ τὰ ὁποῖα ἔπρεπε νὰ κρύπτωνται μέσα εἰς τὴν γῆν, οἱ μέν, διότι κατηνάλωσαν τὸ ἥμισυ τῆς ἡμέρας, οἱ δὲ ὁλόκληρον τὴν ἡμέραν καὶ ἄλλοι διότι ἐπρόσθεσαν εἰς τὴν ἡμέραν καὶ τὴν νύκτα, διασκεδάζοντες. Πρόσεξε, ταλαίπωρε, τὸν μικρὸν χῶρον τῆς κοιλίας

πωρε, τῆς γαστρὸς καὶ αἰσχύνθητι τὴν ἄμετρον σπουδήν.

Ἀλλ' οὐδὲν τοιοῦτον παρὰ τοῖς ἀγγέλοις ἐκείνοις, ἀλλὰ καὶ αὗται πᾶσαι αἱ ἐπιθυμίαι νεκραί. Οὐ γὰρ εἰς πλησμονὴν καὶ τρυφήν, ἀλλ' εἰς χρείαν αὐτοῖς αἱ τροφαί. Οὐκ ὀρνίθων ἐκεῖ θηραταί, οὐδὲ ἰχθύων, ἀλλ' ἄρτος καὶ ὕδωρ. Ἡ δὲ σύγχυσις αὕτη καὶ ὁ θόρυβος καὶ αἱ ταραχαὶ πάντα ἐκποδὼν ἐκεῖθεν, καὶ ἀπὸ τοῦ δωματίου καὶ ἀπὸ τοῦ σώματος, καὶ πολὺς ὁ λιμήν· παρὰ δὲ τούτοις πολλὴ ἡ ζάλη. Ἀνάρρηξον οὖν τῷ λόγῳ τὴν γαστέρα τῶν τὰ τοιαῦτα σιτουμένων καὶ ὄψει τὸν πολὺν φορυτὸν καὶ τὸν ἀκάθαρτον ὀχετὸν καὶ τὸν κεκονιασμένον τάφον. Τὰ δὲ μετὰ ταῦτα καὶ αἰσχύνομαι εἰπεῖν, τὰς ἐρυγὰς τὰς ἀηδεῖς, τοὺς ἐμέτους, τὰς κάτωθεν, τὰς ἄνωθεν ἐκκρίσεις. Ἀλλὰ καὶ ταύτας ἴσθι καὶ βλέπε νεκρὰς τὰς ἐπιθυμίας ἐκεῖ, καὶ τοὺς ἀπὸ τούτων σφοδροτέρους ἔρωτας· τοὺς τῶν ἀφροδισίων λέγω. Καὶ γὰρ καὶ τούτους ὄψει πάντας ἐρριμένους μετὰ τῶν ἵππων, μετὰ τῶν σκευοφόρων. Σκευοφόρος γὰρ καὶ ὅπλον καὶ ἵππος αἰσχρᾶς πράξεως ῥῆμά ἐστιν αἰσχρόν. Ἀλλ' ὄψει ἵππον ὁμοῦ καὶ ἀναβάτην τοιοῦτον, καὶ ὅπλα κείμενα· ἐκεῖ δὲ τοὐναντίον ἅπαν, καὶ ψυχὰς νεκρὰς ἐρριμμένας. Οὐκ ἐπὶ τῆς τραπέζης δὲ μόνον ἡ νίκη λαμπρὰ τοῖς ἁγίοις ἐκείνοις, ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων· ἐπὶ τῶν χρημάτων, ἐπὶ τῆς δόξης, ἐπὶ τῆς βασκανίας, ἐπὶ τῶν νοσημάτων ἁπάντων.

Ἆρά σοι οὐ δοκεῖ τοῦτο ἐκείνου τοῦ στρατοπέδου ἰσχυρότερον εἶναι καὶ ἡ τράπεζα βελτίων; Καὶ τίς ἀντερεῖ; Οὐδείς, οὐδὲ αὐτῶν ἐκείνων, κἂν σφόδρα μαινόμενος ᾖ. Αὕτη μὲν γὰρ εἰς οὐρανὸν παραπέμπει, ἐκείνη δὲ εἰς γέενναν ἕλκει· ταύτην ὁ διάβολος διατάττεται, ἐκείνην δὲ ὁ Χριστός· ταύτην τρυφὴ νομοθετεῖ καὶ ἀκολασία, ἐκείνην δὲ φιλοσο-

11. Πρβλ. Ματθ. 23, 27.

καὶ νοιῶσε ἐντροπὴν διὰ τὴν ὑπερβολικὴν φροντίδα σου.

Ἀλλ' ὅμως τίποτε τὸ παρόμοιον δὲν συμβαίνει εἰς ἐκείνους τοὺς ἀγγέλους, ἀλλὰ καὶ ὅλαι αὐταὶ αἱ ἐπιθυμίαι εἶναι νεκραί. Διότι αἱ τροφαὶ εἰς αὐτοὺς λαμβάνονται ὄχι πρὸς κορεσμὸν καὶ τρυφήν, ἀλλὰ πρὸς ἀνάγκην. Δὲν ὑπάρχουν ἐκεῖ κυνηγοὶ πουλιῶν, οὔτε ψαράδες, ἀλλὰ ψωμὶ καὶ νερό. Αὐτὴ δὲ ἡ ἀναστάτωσις καὶ ὁ θόρυβος καὶ αἱ ταραχαὶ εἶναι ἐξηφανισμένα ἀπὸ ἐκεῖ, καὶ ἀπὸ τὸ δωμάτιον καὶ ἀπὸ τὸ σῶμα καὶ ἐπικρατεῖ ἐκεῖ ἀπέραντη γαλήνη, ἐνῷ εἰς αὐτοὺς μεγάλη ζάλη. Ξέσχισε λοιπὸν νοερὰ τὴν κοιλίαν αὐτῶν ποὺ τρέφονται μ' αὐτὰ καὶ θὰ ἰδῇς πολλὰ σκουπίδια καὶ τὸν ἀκάθαρτον ὀχετὸν καὶ τὸν κεκονιαμένον τάφον[11]. Τὰ ὅσα δὲ συμβαίνουν εἰς τὴν συνέχειαν ἐντρέπομαι νὰ τ' ἀναφέρω, τὰ ἀηδιαστικὰ ρεψίματα, τοὺς ἐμέτους, τὰς ἀκαθαρσίας καὶ ἀπὸ κάτω καὶ ἀπὸ τὸ στόμα. Ἀλλὰ καὶ αὐτὰς τὰς ἐπιθυμίας ἀσφαλῶς θὰ τὰς ἰδῇς νεκρὰς ἐκεῖ καὶ τοὺς σφοδροτέρους ἔρωτας ποὺ προέρχονται ἀπὸ αὐτά, ἐννοῶ τοὺς ἔρωτας τῶν ἀφροδισίων. Καθ' ὅσον καὶ ὅλους αὐτοὺς θὰ τοὺς ἰδῇς νὰ εἶναι κάτω ξαπλωμένοι μαζὶ μὲ τοὺς ἵππους, μαζὶ μὲ τοὺς σκευοφόρους. Διότι σκευοφόρος καὶ ὅπλον καὶ ἵππος εἶναι αἰσχρὰ λόγια αἰσχρᾶς πράξεως. Ἀλλὰ θὰ ἰδῇς κάτω ξαπλωμένα ἵππον μαζὶ μὲ παρόμοιον καβαλάρην καὶ μὲ ὅπλα, ἐνῷ ἐκεῖ ἐντελῶς τὸ ἀντίθετον, καὶ ψυχὰς ποὺ ἔχουν ριφθῇ νεκραί. Καὶ δὲν εἶναι λαμπρὰ ἡ νίκη ἐκείνων τῶν ἁγίων μόνον εἰς τὴν τράπεζαν, ἀλλὰ καὶ εἰς ὅλα τὰ ἄλλα, εἰς τὰ χρήματα, τὴν δόξαν, τὸν φθόνον καὶ εἰς ὅλα τὰ νοσήματα.

Κατὰ συνέπειαν δὲν σοῦ φαίνεται ὅτι αὐτὸ τὸ στρατόπεδον ὅτι εἶναι ἰσχυρότερον ἀπὸ ἐκεῖνο καὶ ἡ τράπεζα καλυτέρα; Καὶ ποῖος θὰ φέρῃ ἀντίρρησιν; Κανείς, οὔτε ἀπὸ ἐκείνους ποὺ ἀνήκουν εἰς αὐτούς, καὶ ἂν ἀκόμη εἶναι εἰς μεγάλον βαθμὸν παράφρων. Διότι αὐτὴ μὲν ὁδηγεῖ εἰς τὸν οὐρανόν, ἐνῷ ἐκείνη σύρει εἰς τὴν γέενναν· αὐτὴν τὴν διατάσσει ὁ διάβολος, ἐκείνην δὲ ὁ Χριστός· αὐτὴν τὴν νομοθετεῖ ἡ τρυφὴ καὶ ἡ ἀκολασία, ἐνῷ ἐκείνην ἡ εὐσέβεια καὶ ἡ σωφρο-

φία καὶ σωφροσύνη· ἐνταῦθα ὁ Χριστὸς παραγίνεται, ἐκεῖ δὲ ὁ διάβολος. Ἔνθα γὰρ μέθη, διάβολος· ἔνθα αἰσχρὰ ρήματα, ἔνθα πλησμονή, ἐκεῖ δαίμονες χορεύουσι. Τοιαύτην εἶχε τράπεζαν ὁ πλούσιος ἐκεῖνος, διὰ τοῦτο οὐδὲ σταγόνος ὕδατος κύριος ἦν.

5. Ἀλλ' οὐχ οὗτοι τοιαύτην, ἀλλὰ τὰ τῶν ἀγγέλων ἤδη μελετῶσιν. Οὐ γαμοῦσιν, οὐδὲ γαμίσκονται, οὐδὲ καθεύδουσιν ἄρδην, οὐδὲ τρυφῶσιν· ἀλλὰ πλὴν ὀλίγων τινῶν καὶ ἀσώματοι γεγόνασι. Τίς οὖν ἐστιν οὕτως εὐκόλως νικῶν τοὺς ἐχθρούς, ὡς ἀριστοποιούμενος τρόπαιον ἱστᾶν; Διὰ τοῦτο καὶ ὁ προφήτης φησίν· «ἡτοίμασας ἐνώπιόν μου τράπεζαν ἐξεναντίας τῶν θλιβόντων με». Οὐ γὰρ ἂν τις ἁμάρτοι καὶ περὶ ταύτης τοῦτο εἰπὼν τὸ λόγιον. τῆς τραπέζης. Οὐδὲν γὰρ οὕτω θλίβει ψυχήν, ὡς ἐπιθυμία ἄτοπος, καὶ τρυφή, καὶ μέθη, καὶ τὰ ἐκ τούτων κακά· καὶ τοῦτο ἴσασιν οἱ πεῖραν εἰληφότες καλῶς. Εἰ δὲ μάθοις καὶ πόθεν αὕτη συλλέγεται ἡ τράπεζα, καὶ πόθεν ἐκείνη, τότε ὄψει καλῶς ἑκατέρας τὸ διάφορον. Πόθεν οὖν αὕτη συλλέγεται; Ἀπὸ μυρίων δακρύων, ἀπὸ χηρῶν πλεονεκτουμένων, ἀπὸ ὀρφανῶν ἁρπαζομένων· ἡ δὲ ἀπὸ πόνων δικαίων. Καὶ ἔοικεν αὕτη μὲν ἡ τράπεζα γυναικὶ καλῇ καὶ εὐειδεῖ, οὐδενὸς τῶν ἔξωθεν δεομένῃ, ἀλλὰ φυσικὸν ἔχούσῃ τὸ κάλλος· ἐκείνη δέ, πόρνῃ τινὶ αἰσχρᾷ καὶ δυσειδεῖ, πολλὰ μὲν ἐπιτρίμματα ἐχούσῃ, οὐκ ἰσχυούσῃ δὲ συσκιάσαι τὴν ἀμορφίαν, ἀλλ' ὅσῳ ἂν ἐγγὺς γίνηται, μᾶλλον ἐλεγχομένη. Καὶ γὰρ καὶ αὕτη ὅταν ἐγγυτέρω γένηται τοῦ συγγινομένου, τότε δείκνυσι τὸ αἶσχος μᾶλλον. Μὴ γάρ μοι ἀνιόντας ἴδῃς τοὺς δαιτυμόνας, ἀλλὰ

12. Λουκᾶ 16, 24.
13. Ψαλμ. 22, 5.

σύνη· εἰς αὐτὴν εἶναι παρὼν ὁ Χριστός, εἰς ἐκείνην δὲ ὁ διάβολος. Διότι, ὅπου ὑπάρχει μέθη, εἶναι παρὼν ὁ διάβολος· ὅπου αἰσχρὰ λόγια, ὅπου κορεσμός, ἐκεῖ δαίμονες χορεύουν. Τέτοιαν τράπεζαν εἶχεν ἐκεῖνος ὁ πλούσιος[12], διὰ τοῦτο δὲν ἦτο κύριος εἰς τὴν ἐκεῖ ζωὴν οὔτε σταγόνος ὕδατος.

5. Ἀλλ' αὐτοὶ οἱ ἄγγελοι δὲν ἔχουν τέτοιαν τράπεζαν, ἀλλ' ἤδη ἀπὸ τώρα ἀσκοῦνται εἰς τὴν ἀγγελικὴν πολιτείαν. Δὲν νυμφεύονται, οὔτε ὑπανδρεύονται, οὔτε κοιμῶνται ὅλοι μαζί, οὔτε κάνουν τρυφηλὴν ζωήν, ἀλλὰ ἐκτὸς ἀπὸ ὀλίγους ἔχουν γίνει καὶ ἀσώματοι. Ποῖος λοιπὸν ὑπάρχει ποὺ τόσον εὔκολα νικᾷ τοὺς ἐχθρούς, ὥστε νὰ στήνῃ τρόπαιον ἐνῷ γευματίζει; Διὰ τοῦτο καὶ ὁ προφήτης λέγει· «Μοῦ ἑτοίμασες τράπεζαν εἰς πεῖσμα τῶν ἐχθρῶν μου»[13]. Διότι δὲν θὰ ἤθελεν ἀστοχήσει ἐὰν κάποιος ἤθελεν ἀναφέρει αὐτὸ τὸ λόγιον καὶ δι' αὐτὴν τὴν τράπεζαν. Καθ' ὅσον τίποτε δὲν θλίβει τόσον τὴν ψυχήν, ὅσον ἡ παράλογος ἐπιθυμία καὶ ἡ τρυφὴ καὶ ἡ μέθη καὶ τὰ κακὰ ποὺ προέρχονται ἀπὸ αὐτά· καὶ αὐτὸ τὸ γνωρίζουν πολὺ καλὰ αὐτοὶ ποὺ ἔλαβον γνῶσιν αὐτῶν. Ἐὰν δὲ θελήσῃς νὰ μάθῃς καὶ ἀπὸ ποῦ συλλέγεται αὐτὴ ἡ τράπεζα καὶ ἀπὸ ποῦ ἐκείνη, τότε θὰ ἰδῇς πολὺ καλὰ τὴν διαφορὰν τῆς κάθε μιᾶς. Ἀπὸ ποῦ λοιπὸν συλλέγεται αὐτὴ ἡ τράπεζα; Ἀπὸ ἀμέτρητα δάκρυα, ἀπὸ τὰς χήρας ποὺ εἶναι θύματα τῆς πλεονεξίας του, ἀπὸ ὀρφανὰ ποὺ ἁρπάζουν τὸ μερίδιόν των, ἐνῷ ἐκείνη ἡ τράπεζα προέρχεται ἀπὸ δικαίους κόπους. Καὶ ὁμοιάζει αὐτὴ μὲν ἡ τράπεζα μὲ καλὴν καὶ ὄμορφην γυναῖκα, ποὺ δὲν ἔχει ἀνάγκην ἀπὸ κανένα ἐξωτερικὸν στολίδι, ἀλλ' ἔχει φυσικὴν τὴν ὀμορφιάν της, ἐνῷ ἐκείνη ὁμοιάζει μὲ κάποιαν πόρνην γυναῖκα αἰσχρὰν καὶ ἄσχημον, ποὺ ἔχει μὲν πολλὰ βαψίμματα, ἀλλὰ δὲν ἠμπορεῖ νὰ καλύψῃ τὴν ἀσχημίαν της, καὶ ὅσον πιὸ κοντὰ ἔρχεται, τόσον περισσότερον γίνεται ἄξια περιφρονήσεως. Καθ' ὅσον καὶ αὐτὴ ἡ τράπεζα ὅταν εὑρίσκεται πλησιέστερα πρὸς τὸν συνδαιτυμόνα, τότε περισσότερον δείχνει τὸ αἶσχος της. Μὴ βλέπεις, σὲ παρακαλῶ, τοὺς συνδαιτυμόνας ὅταν πηγαίνουν

καὶ κατιόντας καὶ τότε αὐτῆς ὄψει τὴν αἰσχρότητα. Ἐκείνη μὲν γὰρ τοὺς συγγινομένους, ἅτε ἐλευθέρα οὖσα, οὐδὲν ἀφίησιν αἰσχρὸν εἰπεῖν, αὕτη δὲ οὐδὲν σεμνόν, ἅτε πόρνη οὖσα καὶ ἠτιμωμένη. Αὕτη τὸ χρήσιμον ζητεῖ τοῦ συνόντος αὐτῇ, ἐκείνη δὲ τὸ ἐπιβλαβές. Καὶ ἡ μὲν οὐκ ἀφίησι προσκροῦσαι Θεῷ, ἡ δὲ οὐκ ἀφίησι μὴ προσκροῦσαι.

Ἀπίωμεν τοίνυν πρὸς ἐκείνους. Ἐκεῖσεν εἰσόμεθα πόσοις δεσμοῖς ἐσμεν περιβεβλημένοι· ἐκεῖθεν εἰσόμεθα τράπεζαν παρατίθεσθαι μυρίων γέμουσαν ἀγαθῶν, ἡδίστην, ἀδάπανον, φροντίδος ἀπηλλαγμένην, φθόνου καὶ βασκανίας καὶ νόσου πάσης ἐλευθέραν, καὶ χρηστῆς γέμουσαν ἐλπίδος, καὶ πολλὰ τὰ τρόπαια ἔχουσαν. Οὐκ ἔστι θόρυβος ψυχῆς ἐκεῖ, οὐκ ἔστι λύπη, οὐκ ἔστιν ὀργή· πάντα γαλήνη, πάντα εἰρήνη. Μὴ γάρ μοι τὴν σιγὴν τῶν διακονούντων εἴπῃς ἐν ταῖς τῶν πλουσίων οἰκίαις, ἀλλὰ τὴν κραυγὴν τῶν ἀριστοποιουμένων· οὐ τὴν πρὸς ἀλλήλους λέγω (καὶ αὕτη μὲν γὰρ καταγέλαστος), ἀλλὰ τὴν ἔνδον, τὴν ἐν τῇ ψυχῇ, τὴν πολλὴν ἐπάγουσαν αἰχμαλωσίαν, τοὺς θορύβους τῶν λογισμῶν, τὴν ζάλην, τὸν ζόφον, τὸν χειμῶνα· δι' ὧν ἅπαντα μίγνυται καὶ συγχεῖται, καὶ νυκτομαχίᾳ τινὶ προσέοικεν. Ἀλλ' οὐκ ἐν ταῖς σκηναῖς τῶν μοναχῶν τοιαῦτα· ἀλλὰ πολλὴ ἡ γαλήνη, πολλὴ ἡ ἡσυχία. Κἀκείνην μὲν ὕπνος θανάτῳ προσεοικὼς διαδέχεται τὴν τράπεζαν, ταύτην δὲ νῆψις καὶ ἀγρυπνία· ἐκείνην κόλασις, ταύτην οὐρανῶν βασιλεία καὶ τὰ ἀθάνατα βραβεῖα.

Ταύτην τοίνυν διώκωμεν, ἵνα καὶ τῶν καρπῶν αὐτῆς ἀπολαύσωμεν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

εἰς τὴν τράπεζαν, ἀλλὰ καὶ ὅταν ἀναχωροῦν, καὶ τότε θὰ ἰδῇς τὴν αἰσχρότητα αὐτῆς. Διότι ἡ μὲν τράπεζα τῶν μοναχῶν τοὺς συνδαιτυμόνας, ἐπειδὴ εἶναι ἐλευθέρα, δὲν τοὺς ἀφήνει νὰ εἰποῦν τίποτε τὸ αἰσχρόν, ἐνῷ εἰς αὐτὴν τίποτε τὸ σεμνὸν δὲν λέγεται, ἐπειδὴ εἶναι πόρνη καὶ ἀτιμασμένη. Αὐτὴ ἐπιδιώκει αὐτὸ ποὺ εἶναι χρήσιμον εἰς τὸν συνδαιτυμόνα της, ἐνῷ ἐκείνη τὸ ἐπιβλαβές. Καὶ ἡ μὲν δὲν ἀφήνει νὰ συγκρουσθῇς μὲ τὸν Θεόν, ἐνῷ ἐκείνη δὲν ἀφήνει νὰ μὴ συγκρουσθῇς μὲ τὸν Θεόν.

Ἂς μεταβῶμεν λοιπὸν πρὸς ἐκείνους τοὺς ἁγίους. Ἀπὸ ἐκείνους θὰ μάθωμεν μὲ πόσα δεσμὰ εἴμεθα περιτυλιγμένοι· ἀπὸ ἐκεῖ θὰ μάθωμεν νὰ παραθέτωμεν τράπεζαν γεμάτην ἀπὸ ἄπειρα ἀγαθά, εὐχάριστον, ἀνέξοδον, ἀπηλλαγμένην φροντίδος, ἐλευθέραν ἀπὸ φθόνον καὶ βασκανίαν καὶ ἀπὸ κάθε νόσον, καὶ γεμάτην ἀπὸ ἀγαθὴν ἐλπίδα, καὶ ἀπὸ πολλὰ τρόπαια. Δὲν ὑπάρχει ἐκεῖ ψυχικὴ ταραχή, δὲν ὑπάρχει λύπη, δὲν ὑπάρχει ὀργή· ὅλα εἶναι γεμᾶτα ἀπὸ γαλήνην, ὅλα γεμᾶτα ἀπὸ εἰρήνην. Μὴ μοῦ προβάλλῃς τὴν σιωπὴν τῶν ὑπηρετῶν εἰς τὰς οἰκίας τῶν πλουσίων, ἀλλὰ τὴν κραυγὴν τῶν συνδαιτυμόνων· δὲν ἐννοῶ τὰς μεταξύ των φωνὰς (διότι καὶ αὐτὴ εἶναι ἀξία γέλωτος), ἀλλὰ τὴν ἐσωτερικήν, τὴν ψυχικὴν κραυγήν, ποὺ δημιουργεῖ μεγάλην αἰχμαλωσίαν, τοὺς θορύβους τῶν λογισμῶν, τὴν ζάλην, τὸν σκοτισμὸν τοῦ νοῦ, τὴν ἀναταραχήν, διὰ τῶν ὁποίων ὅλα ἀναμιγνύονται καὶ συγχέονται καὶ ὁμοιάζουν μὲ μάχην μέσα εἰς τὴν νύκτα. Ἀλλὰ τέτοια δὲν συμβαίνουν εἰς τὰς σκηνὰς τῶν μοναχῶν, ἀλλ' ὑπάρχει ἐκεῖ πολλὴ γαλήνη, πολλὴ ἡσυχία. Καὶ ἐκείνην μὲν τὴν διαδέχεται ὕπνος ποὺ ὁμοιάζει μὲ θάνατον, ἐνῷ αὐτὴν βασιλεία τῶν οὐρανῶν καὶ τὰ ἀθάνατα βραβεῖα.

Αὐτὴν λοιπὸν ἂς ἐπιδιώκωμεν ὥστε καὶ τοὺς καρποὺς αὐτῆς ν' ἀπολαύσωμεν, τοὺς ὁποίους μακάρι ὅλοι μας νὰ ἐπιτύχωμεν μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα καὶ ἡ δύναμις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΟΑ΄

Ματθ. 22, 34 - 46

«Οἱ δὲ Φαρισαῖοι ἀκούσαντες, ὅτι ἐφίμωσε τοὺς Σαδδουκαίους, συνήχθησαν ἐπὶ τὸ αὐτό· καὶ ἐπηρώτησεν εἷς ἐξ αὐτῶν νομικός, πειράζων αὐτόν, καὶ λέγων· διδάσκαλε, ποία ἐντολὴ μεγάλη ἐν τῷ νόμῳ;».

1. Πάλιν τὴν αἰτίαν τίθησιν ὁ εὐαγγελιστής, δι' ἣν ἔδει σιγῆσαι, καὶ τὴν θρασύτητα τὴν ἐκείνων κἀντεῦθεν ἐνδείκνυται. Πῶς καὶ τίνι τρόπῳ; Ὅτι ἐπισιομισθέντων ἐκείνων οὗτοι πάλιν ἐπιτίθενται. Δέον γὰρ κἀντεῦθεν ἡσυχάζειν, οἱ δὲ ἐπαγωνίζονται τοῖς προτέροις καὶ προβάλλονται τὸν νομικόν, οὐ μαθεῖν βουλόμενοι, ἀλλὰ ἀπόπειραν ποιούμενοι· καὶ ἐρωτῶσι, «ποία ἐντολὴ πρώτη;». Ἐπειδὴ γὰρ ἡ πρώτη αὕτη ἦν, τό, «ἀγαπήσεις Κύριον τὸν Θεόν σου», προσδοκῶντές τινα λαβὴν παρέξειν αὐτοῖς, ὡς ἐπιδιορθωσόμενον αὐτήν, διὰ τὸ καὶ αὐτὸν δεικνύναι ἑαυτὸν Θεόν, προβάλλονται τὴν ἐρώτησιν.

Τί οὖν ὁ Χριστός; Δεικνὺς ὅθεν ἦλθον ἐπὶ ταῦτα, ἀπὸ τοῦ μηδεμίαν ἔχειν ἀγάπην, ἀπὸ τοῦ φθόνῳ τήκεσθαι, ἀπὸ τοῦ ζηλοτυπίᾳ ἁλίσκεσθαι, φησίν· «ἀγαπήσεις Κύριον τὸν Θεόν σου· αὕτη πρώτη καὶ μεγάλη ἐντολή. Δευτέρα δὲ ὁμοία ταύτης· ἀγαπήσεις τὸν πλησίον σου ὡς ἑαυτόν». Διατί δέ, «ὁμοία ταύτης»; Ὅτι αὕτη ἐκείνην προοδοποιεῖ καὶ παρ' αὐτῆς συγκροτεῖται πάλιν. «Πᾶς γὰρ ὁ φαῦλα πράσσων, μισεῖ τὸ φῶς, καὶ οὐκ ἔρχεται πρὸς τὸ φῶς»· καὶ πάλιν· «εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ· οὐκ ἔστι Θεός». Καὶ τί ἀπὸ τούτου;

---

1. Ἰω. 3, 20.

ΟΜΙΛΙΑ ΟΑ΄

Ματθ. 22, 34 - 46

«Οἱ δὲ Φαρισαῖοι, ὅταν ἤκουσαν ὅτι ὁ Κύριος ἀπεστόμωσε τοὺς Σαδδουκαίους, συνεκεντρώθησαν γύρω του, καὶ ἕνας ἀπὸ αὐτοὺς νομικὸς τὸν ἠρώτησε μὲ σκοπὸν νὰ τὸν πειράξῃ καὶ τοῦ εἶπε· Διδάσκαλε, ποία μεγάλη ἐντολὴ ὑπάρχει εἰς τὸν Νόμον;».

1. Πάλιν ὁ εὐαγγελιστὴς προβάλλει τὴν αἰτίαν διὰ τὴν ὁποίαν ἔπρεπε νὰ σιωπήσουν, καὶ δεικνύει μὲ αὐτὸ τὴν θρασύτητα ἐκείνων. Πῶς καὶ μὲ ποῖον τρόπον; Μὲ τὸ ὅτι ἂν καὶ ἀπεστομώθησαν ἐκεῖνοι, αὐτοὶ πάλιν ἐπιτίθενται. Ἔπρεπε δὲ μετὰ ἀπὸ αὐτὸ νὰ ἡσυχάζουν, ἀλλ' αὐτοὶ συναγωνίζονται μὲ τοὺς προηγουμένους, καὶ προβάλλουν τὸν νομικόν, ὄχι μὲ σκοπὸν νὰ μάθουν, ἀλλ' ἐπιχειροῦν νὰ τὸν παγιδεύσουν καὶ ἐρωτοῦν, «Ποία εἶναι ἡ πρώτη ἐντολή;». Ἐπειδὴ λοιπὸν ἡ πρώτη ἐντολὴ εἶναι, «Ἀγαπήσεις Κύριον τὸν Θεόν σου», ἐν τῇ ἀναμονῇ των νὰ τοὺς δώσῃ κάποιαν ἀφορμήν, συμπληρώνων καὶ διορθώνων αὐτήν, ἐξ αἰτίας τοῦ ὅτι ἐπαρουσίαζε τὸν ἑαυτόν του Θεόν, τοῦ κάνουν τὴν ἐρώτησιν.

Τί κάνει λοιπὸν ὁ Χριστός; Ἀφοῦ ἐφανέρωσε τὴν αἰτίαν ποὺ τοὺς ὡδήγησεν εἰς αὐτὸ ποὺ ἐπήγαζεν ἀπὸ τὴν ἔλλειψιν κάθε ἴχνους ἀγάπης, ἀπὸ τὸ ὅτι λειώνουν ἀπὸ φθόνον καὶ κατακυριεύονται ἀπὸ ζηλοτυπίαν, λέγει· «Νὰ ἀγαπήσῃς Κύριον τὸν Θεόν σου· αὐτὴ εἶναι ἡ πρώτη καὶ μεγάλη ἐντολή. Δευτέρα δὲ ὁμοία μὲ αὐτὴν εἶναι, ν' ἀγαπήσῃς τὸν πλησίον σου ὅπως τὸν ἑαυτόν σου». Διατί δὲ εἶναι ὁμοία μὲ αὐτήν; Διότι αὐτὴ προετοιμάζει ἐκείνην καὶ συγχρόνως συγκροτεῖται ἀπὸ αὐτήν. Διότι, «ὁ καθένας ποὺ πράττει τὸ κακόν, μισεῖ τὸ φῶς, καὶ δὲν ἔρχεται πρὸς τὸ φῶς διὰ νὰ μὴ γίνουν φανερὰ τὰ ἔργα του»[1]. Καὶ πάλιν· «Εἶπεν ὁ ἄφρων εἰς τὸν ἑαυτόν του·

«Διεφθάρησαν καὶ ἐβδελύχθησαν ἐν ἐπιτηδεύμασι». Καὶ πάλιν· «Ρίζα πάντων τῶν κακῶν ἡ φιλαργυρία, ἧς τινες ὀρεγόμενοι ἀπεπλανήθησαν τῆς πίστεως»· καί, «ὁ ἀγαπῶν με, τὰς ἐντολάς μου τηρήσει». Αἱ δὲ ἐντολαὶ αὐτοῦ, καὶ τὸ κεφάλαιον αὐτῶν· «ἀγαπήσεις Κύριον τὸν Θεόν σου, καὶ τὸν πλησίον σου ὡς ἑαυτόν». Εἰ τοίνυν τὸ ἀγαπᾶν τὸν Θεὸν ἀγαπᾶν τὸν πλησίον ἐστὶν («εἰ γὰρ φιλεῖς με», φησίν, «ὦ Πέτρε, ποίμαινε τὰ πρόβατά μου»), τὸ δὲ ἀγαπᾶν τὸν πλησίον τῶν ἐντολῶν ἐργάζεται φυλακήν, εἰκότως φησίν· «ἐν ταύταις ὅλος ὁ νόμος καὶ οἱ προφῆται κρέμανται». Διὰ δὴ τοῦτο ὅπερ ἔμπροσθεν ἐποίησε, τοῦτο καὶ ἐνταῦθα ποιεῖ. Καὶ γὰρ ἐκεῖ ἐρωτηθεὶς περὶ τρόπου ἀναστάσεως, καὶ ἀνάστασιν ἐδίδαξε, πλέον οὗ ἐπύθοντο παιδεύων αὐτούς· καὶ ἐνταῦθα τὴν πρώτην ἐρωτηθείς, καὶ τὴν δευτέραν λέγει, οὐ σφόδρα ἐκείνης ἀποδέουσαν (δευτέρα μὲν γάρ, ὁμοία δὲ ἐκείνης), αἰνιττόμενος αὐτοῖς, ὅθεν ἡ ἐρώτησις γέγονεν, ὅτι ἐξ ἀπεχθείας. «Ἡ γὰρ ἀγάπη οὐ ζηλοῖ». Ἀπὸ τούτου δείκνυσιν ἑαυτὸν καὶ τῷ νόμῳ καὶ τοῖς προφήταις πειθόμενον.

Ἀλλὰ τίνος ἕνεκεν ὁ μὲν Ματθαῖός φησιν, ὅτι πειράζων ἠρώτησεν, ὁ δὲ Μᾶρκος τοὐναντίον; «Εἰδὼς» γάρ, φησίν, «ὁ Ἰησοῦς, ὅτι νουνεχῶς ἀπεκρίθη, εἶπεν αὐτῷ· οὐ μακρὰν εἶ ἀπὸ τῆς βασιλείας τοῦ Θεοῦ». Οὐκ ἐναντιούμενοι ἑαυτοῖς, ἀλλὰ καὶ σφόδρα συνάδοντες. Ἠρώτησε μὲν γὰρ πειράζων παρὰ τὴν ἀρχήν, ἀπὸ δὲ τῆς ἀποκρίσεως ὠφεληθεὶς ἐπηνέθη. Οὐδὲ γὰρ παρὰ τὴν ἀρχὴν αὐτὴν ἐπήνεσεν, ἀλλ' ὅτε εἶπεν, ὅτι τὸ ἀγαπᾶν τὸν πλησίον πλέον ἐστὶ τῶν ὁλοκαυτωμά-

2. Ψαλ. 52, 1.
3. Ψαλ. 13, 2.
4. Α' Τιμ. 6, 10.
5. Ἰω. 14, 15.
6. Α' Κορ. 13, 4.
7. Μάρκ. 12, 34.

Δὲν ὑπάρχει Θεός»[2]. Καὶ τί προκύπτει ἀπὸ αὐτό; Ὅτι «διεφθάρησαν καὶ ἔγιναν μισητοὶ ἀπὸ τὰ ἔργα των»[3] καὶ πάλιν· «Ἡ φιλαργυρία εἶναι ρίζα ὅλων τῶν κακῶν, τὴν ὁποίαν ἐπιθυμοῦντες μερικοὶ ἀπεπλανήθησαν ἀπὸ τὴν πίστιν»[4]· καί· «Αὐτὸς ποὺ μὲ ἀγαπᾷ θὰ τηρήσῃ τὰς ἐντολάς μου»[5]. Ὅλαι δὲ αἱ ἐντολαὶ αὐτοῦ μὲ ἀποκορύφωμα αὐτῶν εἶναι· «Νὰ ἀγαπήσῃς Κύριον τὸν Θεόν σου, καὶ τὸν πλησίον σου ὅπως τὸν ἑαυτόν σου». Ἐὰν λοιπὸν ἡ ἀγάπη πρὸς τὸν Θεὸν σημαίνῃ ἀγάπην πρὸς τὸν πλησίον (διότι λέγει, «ἐὰν μὲ ἀγαπᾷς, Πέτρε, ποίμαινε τὰ πρόβατά μου»), ἡ δὲ ἀγάπη πρὸς τὸν πλησίον συντελῇ εἰς τὴν διαφύλαξιν τῶν ἐντολῶν, τότε κατὰ φυσικὸν λόγον λέγει, ὅτι «ἀπὸ αὐτὰς τὰς ἐντολὰς ἐξαρτῶνται ὅλος ὁ κόσμος καὶ οἱ Προφῆται». Διὰ τοῦτο λοιπὸν αὐτὸ ἀκριβῶς ποὺ ἔκανε προηγουμένως, τὸ ἴδιο κάνει καὶ τώρα ἐδῶ. Καθ' ὅσον καὶ ἐκεῖ, ἐρωτηθεὶς περὶ τοῦ τρόπου τῆς ἀναστάσεως, τοὺς ἐδίδαξε τί εἶναι ἀνάστασις, διδάσκων αὐτοὺς δὲ περισσότερα ἀπὸ ὅσα ἐχρειάζετο νὰ πεισθοῦν. Καὶ ἐδῶ, ἀπαντῶν εἰς τὴν πρώτην ἐρώτησιν, ἀπαντᾷ καὶ εἰς τὴν δευτέραν ποὺ δὲν διαφέρει καὶ πολὺ ἀπὸ τὴν πρώτην (διότι εἶναι μὲν δευτέρα, ἀλλ' εἶναι ὁμοία τῆς πρώτης), ὑπαινισσόμενος μὲ τὸν τρόπον αὐτὸν τὸ κίνητρον τῆς ἐρωτήσεώς των, διότι ἀπὸ μῖσος τὸν ἠρώτησαν. Καθ' ὅσον ἡ ἀγάπη δὲν ζηλοφθονεῖ»[6]. Μὲ αὐτὸ παρουσιάζει τὸν ἑαυτόν του πειθαρχοῦντα καὶ εἰς τὸν Νόμον καὶ εἰς τοὺς προφήτας.

Ἀλλὰ διατί ὁ μὲν Ματθαῖος λέγει ὅτι τὸν ἠρώτησε μὲ σκοπὸν νὰ τὸν πειράξῃ», ὁ δὲ Μᾶρκος λέγει τὸ ἀντίθετον; Διότι λέγει, «ἐπειδὴ διαπίστωσεν ὁ Ἰησοῦς, ὅτι ἦτο συνετὴ ἡ ἀπάντησίς του, εἶπεν εἰς αὐτόν. Δὲν εὑρίσκεσαι μακρὰν τῆς βασιλείας τοῦ Θεοῦ»[7]. Δὲν ἀντιφάσκουν μεταξύ των, ἀλλ' ἀντιθέτως συμφωνοῦν εἰς μεγάλον βαθμόν. Διότι τὸν ἠρώτησεν εἰς τὴν ἀρχὴν μὲ σκοπὸν νὰ τὸν πειράξῃ, ἐπειδὴ ὅμως ὠφελήθη ὁ νομικὸς ἀπὸ τὴν ἀπάντησιν, ἐπῃνέθη. Οὔτε βέβαια τὸν ἐπῄνεσεν ἀπὸ τὴν ἀρχήν, ἀλλ' ὅταν εἶπεν, ὅτι ἡ πρὸς τὸν πλησίον ἀγάπη ἔχει μεγαλυτέραν ἀξίαν ἀπὸ τὰ

των, τότε φησίν· «οὐ μακρὰν εἶ ἀπὸ τῆς βασιλείας»· ὅτι τῶν ταπεινῶν ὑπερεῖδε, καὶ τὴν ἀρχὴν τῆς ἀρετῆς κατέλαβε. Καὶ γὰρ πάντα ἐκεῖνα διὰ τοῦτο, καὶ τὸ Σάββατον καὶ τὰ λοιπά. Καὶ οὐδὲ οὕτως αὐτῷ ἀπηρτισμένον τὸν ἔπαινον συνέθηκεν, ἀλλ' ἔτι λείποντα. Τὸ γὰρ εἰπεῖν, «οὐ μακρὰν εἶ», δείκνυσιν ἔτι ἀπέχοντα, ἵνα ζητήσῃ τὸ λεῖπον. Εἰ δὲ εἰπόντα αὐτόν, ὅτι «εἷς ἐστιν ὁ Θεός, καὶ πλὴν αὐτοῦ οὐκ ἔστιν ἄλλος». ἐπῄνεσε, μὴ θαυμάσῃς· ἀλλὰ καὶ ἐντεῦθεν κατάμαθε, πῶς πρὸς τὴν ὑπόληψιν ἀποκρίνεται τῶν προσιόντων. Κἂν γὰρ μυρία περὶ τοῦ Χριστοῦ λέγωσιν ἀνάξια τῆς δόξης αὐτοῦ, ἀλλὰ τοῦτό γε οὐ τολμήσουσιν εἰπεῖν, ὅτι καθόλου οὐκ ἔστι Θεός.

Τίνος οὖν ἕνεκεν ἐπαινεῖ τὸν εἰρηκότα, ὅτι πλὴν τοῦ Πατρὸς οὐκ ἔστιν ἄλλος Θεός; Οὐχ ἑαυτὸν ἐξάγων τοῦ Θεὸς εἶναι· ἄπαγε· ἀλλ' ἐπειδὴ οὐδέπω καιρὸς ἦν ἐκκαλύψαι αὐτοῦ τὴν θεότητα, ἐκεῖνον ἀφίησιν ἐπὶ τοῦ προτέρου δόγματος μένειν, καὶ ἐπαινεῖ τὰ παλαιὰ εἰδότα καλῶς, ὥστε ἐπιτήδειον αὐτὸν καὶ πρὸς τὴν τῆς καινῆς ποιῆσαι διδασκαλίαν, κατὰ καιρὸν αὐτὴν εἰσάγων. Ἄλλως δὲ καὶ τό, «εἷς Θεός, καὶ πλὴν αὐτοῦ οὐκ ἔστι, καὶ ἐν τῇ παλαιᾷ καὶ πανταχοῦ, οὐ πρὸς ἀθέτησιν τοῦ Υἱοῦ, ἀλλὰ πρὸς ἀντιδιαστολὴν εἴρηται τῶν εἰδώλων. Ὥστε καὶ τοῦτον ἐπαινῶν οὕτως εἰρηκότα, ταύτῃ ἐπαινεῖ τῇ γνώμῃ.

Εἶτα ἐπειδὴ ἀπεκρίθη, καὶ ἀντερωτᾷ. «Τί ὑμῖν δοκεῖ περὶ τοῦ Χριστοῦ; τίνος Υἱός ἐστι; Λέγουσιν αὐτῷ, τοῦ Δαυίδ». Ὅρα μετὰ πόσα θαύματα, μετὰ πόσα σημεῖα, μετὰ πόσας ἐρωτήσεις, μετὰ πόσην ἐπίδειξιν ὁμονοίας τῆς πρὸς τὸν Πατέρα, τὴν διὰ λόγων, τὴν δι' ἔργων, μετὰ τὸ ἐπαινέ-

θυμίαμα, ἀλλὰ καπνὸς ἀπὸ σοῦ καὶ τῶν σῶν πράξεων ἀναβαίνῃ δυσώδης, ποίαν δίκην οὐκ ἄξιος εἶ ὑποστῆναι; Τίς οὖν ὁ καπνὸς ὁ δυσώδης; Πολλοὶ εἰσίασι κάλλη γυναικῶν περιβλέποντες· ἄλλοι παίδων ὥρας περιεργαζόμενοι. Εἶτα οὐ θαυμάζεις, πῶς οὐ σκηπτοὶ φέρονται καὶ πάντα ἐκ βάθρων ἀνασπᾶται; Καὶ γὰρ ἄξια μὲν σκηπτῶν καὶ γεέννης τὰ γινόμενα, ἀλλ' ὁ Θεός, μακρόθυμος ὢν καὶ πολυέλεος, ἀνέχει τέως τὴν ὀργήν, εἰς μετάνοιάν σε καλῶν καὶ διόρθωσιν. Τί ποιεῖς, ἄνθρωπε; κάλλη γυναικῶν περιεργάζῃ καὶ οὐ φρίττεις οὕτως ἐνυβρίζων εἰς τὸν ναὸν τοῦ Θεοῦ; Πορνεῖον εἶναί σοι δοκεῖ ἡ ἐκκλησία καὶ τῆς ἀγορᾶς ἀτιμοτέρα; Ἐν ἀγορᾷ μὲν γὰρ δέδοικας καὶ αἰσχύνῃ φανῆναι γυναῖκα περιεργαζόμενος, ἐν δὲ τῷ ναῷ τοῦ Θεοῦ, αὐτοῦ τοῦ Θεοῦ διαλεγομένου σοι καὶ ἀπειλοῦντος ὑπὲρ τούτων, πορνεύεις καὶ μοιχεύεις καὶ' αὐτὸν τὸν καιρόν, καθ' ὃν ἀκούεις μὴ ταῦτα ποιεῖν· καὶ οὐ φρίττεις, οὐδὲ ἐξέστηκας; Ταῦτα ὑμᾶς τὰ θέατρα τῆς ἀσελγείας διδάσκει, ὁ λοιμὸς ὁ δυσκατάλυτος, τὰ δηλητήρια φάρμακα, αἱ χαλεπαὶ τῶν ἀναπεπτοκότων πάγαι, ἡ μεθ' ἡδονῆς τῶν ἀκολάστων ἀπώλεια. Διὰ τοῦτο καὶ ὁ προφήτης ἐγκαλῶν ἔλεγεν· «οὐκ εἰσὶν οἱ ὀφθαλμοί σου, οὐδὲ ἡ καρδία σου καλή». Βέλτιον τοὺς τοιούτους πηροὺς εἶναι· βέλτιον νοσεῖν, ἢ εἰς ταῦτα κατακεχρῆσθαι τοῖς ὀφθαλμοῖς. Ἐχρῆν μὲν οὖν ἔνδον ἔχειν τὸ τεῖχος τὸ διεῖργον ὑμᾶς τῶν γυναικῶν, ἐπειδὴ δὲ οὐ βούλεσθε, ἀναγκαῖον ἐνόμισαν εἶναι οἱ πατέρες, κἂν ταῖς σανίσιν ὑμᾶς ταύταις διατειχίσαι· ὡς ἔγωγε ἀκούω τῶν πρεσβυτέρων, ὅτι

4. Ψαλμ. 140, 2.
5. Ἱερ. 22, 17.

ἐνώπιόν σου»[4]. Ὅταν λοιπόν, ὄχι θυμίαμα, ἀλλὰ καπνὸς ἀναβαίνῃ ἀπὸ σένα καὶ ἀπὸ τὰς πράξεις σου δυσώδης, ποίαν τιμωρίαν δὲν εἶσαι ἄξιος νὰ ὑποστῇς; Ποῖος δὲ εἶναι ὁ δυσώδης καπνός; Πολλοὶ εἰσέρχονται εἰς τοὺς ναοὺς διὰ νὰ θαυμάσουν τὰ κάλλη τῶν γυναικῶν, ἄλλοι δὲ διὰ νὰ περιεργασθοῦν τὴν ὡραιότητα τῶν παιδιῶν. Ἔπειτα δὲν ἀπορεῖς πῶς δὲν πίπτουν κεραυνοὶ καὶ πῶς δὲν ἀνατρέπονται τὰ πάντα ἐκ θεμελίων; Καθ' ὅσον αὐτὰ ποὺ γίνονται εἶναι μὲν ἄξια κεραυνῶν καὶ γεέννης, ἀλλ' ὁ Θεός, ἐπειδὴ εἶναι μακρόθυμος καὶ πολυεύσπλαχνος, ἀνέχεται κατ' ἀρχὴν τὴν ὀργήν του, ὥστε νὰ σὲ προσκαλέσῃ εἰς μετάνοιαν καὶ διόρθωσιν. Τί κάνεις ἄνθρωπε; Περιεργάζεσαι τὰ κάλλη τῶν γυναικῶν καὶ δὲν φρίττεις ποὺ προβαίνεις εἰς αὐτοῦ τοῦ εἴδους τὰς ὕβρεις μέσα εἰς τὸν ναὸν τοῦ Θεοῦ; Νομίζεις ὅτι εἶναι πορνεῖον ἡ ἐκκλησία καὶ ἀτιμωτέρα καὶ ἀπὸ αὐτὴν τὴν ἀγοράν; Διότι εἰς μὲν τὴν ἀγορὰν φοβεῖσαι καὶ ἐντρέπεσαι νὰ φανῇς ὅτι περιεργάζεσαι γυναῖκα, εἰς τὸν ναὸν δὲ τοῦ Θεοῦ, τοῦ ἰδίου τοῦ Θεοῦ ποὺ ὁμιλεῖ μαζί σου καὶ σὲ ἀπειλεῖ δι' αὐτά, πορνεύεις καὶ μοιχεύεις τὴν ἰδίαν ἀκριβῶς στιγμὴν κατὰ τὴν ὁποίαν ἀκούεις ὅτι δὲν πρέπει νὰ κάνῃς αὐτά, καὶ δὲν φρίττεις, δὲν μένεις κατάπληκτος; Αὐτὰ σᾶς διδάσκουν τὰ θέατρα τῆς ἀσελγείας, ἡ δυσκολοθεράπευτη ἀσθένεια, τὰ δηλητηριώδη φάρμακα, τὰ ἀνυπόφορα δάκρυα αὐτῶν ποὺ ξαναπίπτουν εἰς τὴν ἁμαρτίαν, ἡ μαζὶ μὲ τὴν ἡδονὴν ἀπώλεια τῶν ἀκολάστων. Διὰ τοῦτο καὶ ὁ προφήτης κατηγορῶν ἔλεγε· «Δὲν εἶναι τὰ μάτια σου οὔτε ἡ καρδία σου καλή»[5]. Θὰ ἦτο προτιμότερον νὰ ἦσαν αὐτοὶ ἀνάπηροι, ἀσθενεῖς, παρὰ νὰ χρησιμοποιοῦν τὰ μάτια των εἰς παρόμοια ἔργα. Ἔπρεπε λοιπὸν μέσα σας νὰ εἴχατε τὸ τεῖχος ποὺ σᾶς ἐμποδίζει νὰ βλέπετε τὰς γυναῖκας. Ἐπειδὴ ὅμως δὲν θέλετε, οἱ πατέρες ἐθεώρησαν ἀναγκαῖον, ἔστω καὶ μὲ τὰς σανίδας αὐτὰς νὰ σᾶς χωρίσουν ἀπὸ αὐτάς. Ὅπως ἐγὼ τουλάχιστον ἀκούω ἀπὸ τοὺς μεγαλύτερους, ὅτι τὴν παλαιὰν

τὸ παλαιὸν οὐδὲ ταῦτα ἦν τὰ τειχία. «Ἐν γὰρ Χριστῷ Ἰησοῦ οὐκ ἄρσεν, οὐ θῆλυ». Καὶ ἐπὶ τῶν ἀποστόλων δὲ ὁμοῦ καὶ ἄνδρες καὶ γυναῖκες ἦσαν. Καὶ γὰρ οἱ ἄνδρες, ἄνδρες ἦσαν, καὶ αἱ γυναῖκες, γυναῖκες· νῦν δὲ πᾶν τοὐναντίον, αἱ μὲν γυναῖκες εἰς τὰ τῶν ἑταιρίδων ἑαυτὰς ἐξώθησαν ἤθη, οἱ δὲ ἄνδρες ἵππων μαινομένων οὐδὲν ἄμεινον διάκεινται.

Οὐκ ἠκούσατε, ὅτι ἦσαν συνηγμένοι ἄνδρες καὶ γυναῖκες ἐν τῷ ὑπερῴῳ, καὶ τῶν οὐρανῶν ἐκεῖνος ὁ σύλλογος ἄξιος ἦν; Καὶ μάλα εἰκότως. Πολλὴν γὰρ καὶ γυναῖκες τότε φιλοσοφίαν ἤσκουν, καὶ ἄνδρες σεμνότητα καὶ σωφροσύνην. Ἀκούσατε γοῦν τῆς πορφυροπώλιδος λεγούσης· «εἰ κεκρίκατέ με ἀξίαν τῷ Κυρίῳ, εἰσελθόντες μείνατε παρ' ἐμοί». Ἀκούσατε τῶν γυναικῶν, αἳ περιῆγον μετὰ τῶν ἀποστόλων, ἀνδρεῖον ἀναλαβοῦσαι φρόνημα, τῆς Πρισκίλλης, τῆς Περσίδος, τῶν ἄλλων, ὧν αἱ παροῦσαι γυναῖκες τοσοῦτον ἀπέχουσιν, ὅσον οἱ ἄνδρες τῶν ἀνδρῶν.

4. Τότε μὲν γὰρ καὶ ἀποδημοῦσαι οὐκ ἐλάμβανον δόξαν πονηράν, νῦν δὲ καὶ ἐν θαλάμῳ τρεφόμεναι μόλις ταύτῃ διαφεύγουσι τὴν ὑποψίαν. Ταῦτα δὲ ἀπὸ τῶν καλλωπισμῶν γίνεται καὶ τῆς τρυφῆς. Τότε ἐκείναις ἔργον ἦν, αὐξῆσαι τὸ κήρυγμα, νῦν δὲ εὐειδεῖς καὶ καλὰς φανῆναι καὶ εὐπροσώπους. Τοῦτο ἡ δόξα αὐταῖς, τοῦτο ἡ σωτηρία· τὰ δὲ ὑψηλὰ καὶ μεγάλα κατορθώματα οὐδὲ ὄναρ φροντίζουσι. Τίς γυνὴ σπουδὴν ἐποιήσατο ἄνδρα βελτίω ποιῆσαι; τίς ἀνὴρ ταύτην ἔθετο τὴν φροντίδα, ὥστε γυναῖκα διορθώσασθαι; Οὐκ ἔστιν οὐδείς· ἀλλὰ τῇ μὲν γυναικὶ πᾶσα σπουδὴ περὶ χρυσίων ἐπιμέλειαν καὶ ἱματίων καὶ τῶν λοιπῶν τοῦ σώματος καλλωπισμῶν, καὶ ὥστε τὴν οὐσίαν αὐξῆσαι, τῷ δὲ

6. Γαλ. 3, 28.
7. Πράξ. 1, 13-14.
8. Πράξ. 16, 15.
9. Ρωμ. 16, 3 κα 12. Πρ. 18, 18.

ἐποχὴν δὲν ὑπῆρχον οὔτε αὐτὰ τὰ τειχία. «Διότι ἐν ὀνόματι τοῦ Ἰησοῦ Χριστοῦ δὲν ὑπάρχει ἀρσενικὸν ἢ θηλυκόν»[6]. Καὶ κατὰ τὴν ἐποχὴν δὲ τῶν ἀποστόλων οἱ ἄνδρες ἦσαν μὲ τὰς γυναῖκας. Καθ' ὅσον οἱ ἄνδρες ἦσαν ἄνδρες, καὶ αἱ γυναῖκες, γυναῖκες. Τώρα ὅμως συμβαίνει τὸ ἀντίθετον, αἱ μὲν γυναῖκες ἐξώθησαν τοὺς ἑαυτούς των εἰς τὰς συνηθείας τῶν πορνῶν, οἱ δὲ ἄνδρες δὲν συμπεριφέρονται ὡς πρὸς τίποτε καλύτερα ἀπὸ τοὺς μανιασμένους ἵππους.

Δὲν ἠκούσατε ὅτι «ἦσαν συγκεντρωμένοι ἄνδρες καὶ γυναῖκες εἰς τὸ ὑπερῷον»[7], καὶ ἦτο ὁ σύλλογος ἐκεῖνος ἄξιος τῶν οὐρανῶν; Καὶ ἦτο πολὺ φυσικόν. Διότι καὶ αἱ γυναῖκες τότε ἀσκοῦσαν πολλὴν εὐσέβειαν καὶ οἱ ἄνδρες σεμνότητα καὶ σωφροσύνην. Ἀκούσατε λοιπὸν τοὺς λόγους τῆς πορφυροπώλιδος. «Ἐὰν μὲ ἔχετε κρίνει ἀξίαν διὰ τὸν Κύριον, εἰσέλθετε καὶ μείνατε μαζί μου»[8]. Ἀκούσατε τὰς γυναῖκας ποὺ περιώδευον μαζὶ μὲ τοὺς ἀποστόλους καὶ ἐδείκνυον φρόνημα ἀνδρικόν, τὴν Πρίσκιλλαν, τὴν Περσίδα καὶ τὰς ἄλλας[9], ἀπὸ τὰς ὁποίας αἱ σημεριναὶ γυναῖκες τόσον διαφέρουν, ὅσον οἱ ἄνδρες ἀπὸ τοὺς ἄνδρας.

4 Διότι τότε αἱ γυναῖκες, καὶ ὅταν ἀκόμη μετέβαινον εἰς ἄλλην χώραν, ἀποκτοῦσαν κακὴν φήμην, τώρα ὅμως καὶ ἂν ἀκόμη διαμένουν εἰς τὸν κοιτῶνα μόλις καὶ μετὰ βίας διαφεύγουν τὴν ὑποψίαν. Αὐτὰ δὲ συμβαίνουν ἐξ αἰτίας τῶν καλλωπισμῶν καὶ τῆς τριφυλῆς ζωῆς των. Τότε ἔργον τῶν γυναικῶν ἦτο ἡ αὔξησις τοῦ κηρύγματος, ἐνῷ τώρα πῶς νὰ φανοῦν ὄμορφαι, ὡραῖαι καὶ εὐπαρουσίασται. Αὐτὸ εἶναι ἡ δόξα δι' αὐτάς, αὐτὸ ἡ σωτηρία, τὰ δὲ σπουδαῖα καὶ μεγάλα κατορθώματα οὔτε κἂν τὰ σκέπτονται. Ποία γυναῖκα ἐφρόντισε νὰ κάνῃ καλύτερον τὸν ἄνδρα της; ποῖος ἄνδρας ἀνέλαβεν αὐτὴν τὴν φροντίδα, ὥστε νὰ διορθώσῃ τὴν γυναῖκα του; Δὲν ὑπάρχει κανείς· ἀλλ' εἰς μὲν τὴν γυναῖκα ὅλον τὸ ἐνδιαφέρον συγκεντρώνεται εἰς τὴν ἀπόκτησιν χρυσῶν κοσμημάτων, ἐνδυμάτων καὶ ἄλλων στολιδιῶν τοῦ σώματος, ὥστε νὰ αὐξήσουν τὴν ἐντύπωσιν, τοῦ δὲ ἀνδρὸς τὸ

ἀνδρὶ καὶ αὕτη καὶ ἕτεραι πλείους, πᾶσαι μέντοι βιωτικαί. Τίς μέλλων γαμεῖν, τρόπον ἐξήτασε καὶ ἀνατροφὴν κόρης; Οὐδείς· ἀλλὰ χρήματα εὐθέως καὶ κτήματα καὶ μέτρα οὐσίας ποικίλης καὶ διαφόρου, καθάπερ τι πρίασθαι μέλλων, ἢ συνάλλαγμά τι κοινὸν ἐπιτελεῖν. Διὰ τοῦτο καὶ οὕτω καλοῦσι τὸν γάμον. Πολλῶν γὰρ ἤκουσα λεγόντων· συνήλλαξεν ὁ δεῖνα τῇ δεῖνι, τουτέστιν, ἔγημε. Καὶ εἰς τὰς τοῦ Θεοῦ δωρεὰς ἐνυβρίζουσι, καὶ ὥσπερ ὠνούμενοι καὶ πωλοῦντες, οὕτω γαμοῦσι καὶ γαμοῦνται. Καὶ γραμματεῖα πλείονος ἀσφαλείας δεόμενα, ἢ τὰ περὶ πράσεως καὶ ἀγορασίας. Μάθετε πῶς οἱ παλαιοὶ ἐγάμουν καὶ ζηλώσατε. Πῶς οὖν ἐγάμουν ἐκεῖνοι; Τρόπους ἐζήτουν καὶ ἤδη καὶ ψυχῆς ἀρετήν. Διὰ τοῦτο γραμμάτων αὐτοῖς οὐκ ἔδει, οὐδὲ τῆς ἀπὸ χάρτου καὶ μέλανος ἀσφαλείας· ἤρκει γὰρ ἀντὶ πάντων αὐτοῖς ὁ τῆς νύμφης τρόπος.

Παρακαλῶ τοίνυν καὶ ὑμᾶς, μὴ χρήματα ἐπιζητεῖν καὶ περιουσίαν, ἀλλὰ τρόπον καὶ ἐπιείκειαν. Ζήτησον εὐλαβῆ καὶ φιλόσοφον κόρην· καὶ μυρίων ταῦτά σοι βελτίω θησαυρῶν ἔσται. Ἂν τὰ τοῦ Θεοῦ ζητῇς, καὶ ταῦτα ἥξει· ἂν δὲ ἐκεῖνα παραδραμὼν ἐπὶ ταῦτα τρέχῃς, οὐδὲ ταῦτα ἕψεται. Ἀλλ' ὁ δεῖνα, φησίν, ἀπὸ γυναικὸς εὔπορος γέγονεν. Οὐκ αἰσχύνῃ τοιαῦτα παραδείγματα φέρων; Μυριάκις γενοίμην πένης, πολλῶν ἤκουσα λεγόντων, ἢ παρὰ γυναικὸς λάβοιμι πλοῦτον. Τί γὰρ ἀηδέστερον ἐκείνου τοῦ πλούτου; τί δὲ πικρότερον τῆς εὐπορίας; τί δὲ αἰσχρότερον τοῦ ἐπίσημον εἶναι ἐντεῦθεν, καὶ λέγεσθαι παρὰ πάντων, ὁ δεῖνα ἀπὸ γυναικὸς εὔπορος γέγονε; Τὰς γὰρ ἔνδον ἀηδίας ἀφίημι,

ἐνιδαφέρον συγκεντρώνεται καὶ εἰς αὐτὰ καὶ εἰς ἄλλα περισσότερα, ὅλα ὅμως εἶναι βιωτικαὶ φροντίδες. Ποῖος, ποὺ πρόκειται νὰ νυμφευθῇ, ἐξέτασε τὸν χαρακτῆρα καὶ τὴν ἀνατροφὴν τῆς κόρης; Κανείς, ἀλλ' ἐξετάζει ἀπὸ τὴν πρώτην στιγμὴν χρήματα καὶ κτήματα, καὶ ἄλλα μέτρα περιουσίας ποικίλα καὶ διάφορα, ὡσὰν νὰ πρόκειται νὰ ἀγοράσῃ κάτι ἢ νὰ κάμῃ κάποιαν συνήθη συναλλαγήν. Διὰ τοῦτο καὶ δίδουν αὐτὴν τὴν ὀνομασίαν εἰς τὸν γάμον. Διότι ἤκουσα πολλοὺς ἔτσι νὰ τὸν ὀνομάζουν. Ὁ τάδε ἦλθεν εἰς συναλλαγὴν μὲ τὴν τάδε, δηλαδὴ ἦλθεν εἰς γάμον. Καὶ προσβάλλουν τὰς δωρεὰς τοῦ Θεοῦ, καὶ ὡσὰν νὰ πωλοῦν καὶ ν' ἀγορζουν νυμφεύονται καὶ ὑπανδρεύονται. Καὶ συντάσσουν συμφωνητικὰ ποὺ χρειάζονται μεγαλυτέραν ἀσφάλειαν, παρὰ τὰ τῆς ἀγοραπωλησίας. Μάθετε τί λογῆς γάμον ἔκαναν οἱ παλαιοὶ καὶ μιμηθῆτε αὐτούς. Πῶς λοιπὸν συνῆπτον ἐκεῖνοι γάμον; Ἐζητοῦσαν καλὸν χαρακτῆρα, ἦθος καὶ ἀρετὴν ψυχῆς. Διὰ τοῦτο δὲν ἐχρειάζοντο αὐτοὶ συμφωνητικὰ καὶ τὴν ἀσφάλειαν τοῦ χάρτου καὶ τῆς μελάνης· διότι τοὺς ἦτο ἀρκετὸν ἀντὶ ὅλων αὐτῶν ὁ χαρακτὴρ τῆς νύμφης.

Σᾶς παρακαλῶ λοιπὸν καὶ ἐσᾶς, νὰ μὴ ζητῆτε χρήματα καὶ περιουσίαν, ἀλλὰ χαρακτῆρα καὶ ἀγαθότητα. Ζήτησε εὐλαβῆ καὶ εὐσεβῆ κόρην, καὶ αὐτὰ θὰ σοῦ εἶναι ὠφελιμώτερα ἀπὸ ἀπείρους θησαυρούς. Ἂν ζητῇς αὐτὰ ποὺ ἀρέσουν εἰς τὸν Θεόν, καὶ αὐτὰ θ' ἀκολουθήσουν, ἂν ὅμως παραβλέψῃς ἐκεῖνα καὶ τρέχῃς πρὸς αὐτά, οὔτε αὐτὰ θ' ἀκολουθήσουν. Ἀλλ' ὁ τάδε λέγει, ἔγινε πλούσιος ἀπὸ τὴν γυναῖκα του. Δὲν ἐντρέπεσαι ν' ἀναφέρῃς τέτοια παραδείγματα; Ἤκουσα πολλοὺς νὰ λέγουν χιλιάδες φορὲς θὰ ἐπροτιμοῦσα νὰ ἤμουν πτωχὸς παρὰ νὰ ἀποκτήσω πλοῦτον ἀπὸ τὴν γυναῖκα μου. Διότι τί ὑπάρχει πιὸ ἀηδιαστικὸν ἀπὸ τὸν πλοῦτον ἐκεῖνον; τί δὲ πικρότερον ἀπὸ τὴν εὐπορίαν αὐτήν; τί δὲ αἰσχρότερον ἀπὸ τὸ νὰ θεωρῆσαι ἐξ αἰτίας αὐτοῦ ἀξιόλογος καὶ νὰ λέγουν ὅλοι, ὅτι ὁ τάδε ἔγινε πλούσιος ἀπὸ τὴν γυναῖκα του; Διότι ἀφήνω κατὰ μέρος τὰς ἐνδοοικογενεια-

ὅσα ἐκ τούτου συμβαίνειν ἀνάγκη· τὸ φρόνημα τῆς γυναικός, τὴν δουλοπρέπειαν, τὰς μάχας, τὰ τῶν οἰκετῶν ὀνείδη· ὁ πένης, ὁ ρακοδύτης, ὁ ἄτιμος καὶ ἐξ ἀτίμων· τί γὰρ ἔχων ἦλθεν; οὐ γὰρ πάντα τῆς κυρίας; Ἀλλ' οὐδέν σοι μέλει τῶν ρημάτων τούτων· οὐδὲ γὰρ ἐλεύθερος εἶ. Ἐπεὶ καὶ οἱ παράσιτοι τούτων καταδεέστερα ἀκούουσι, καὶ οὐκ ἀλγοῦσιν· οὐκοῦν οὐδὲ οὗτοι, ἀλλὰ καὶ ἐγκαλλωπίζονται τῇ αἰσχύνῃ· καὶ ὅταν ταῦτα λέγωμεν αὐτοῖς, ἔστω, φησίν, ἡδύ τι καὶ γλυκύ, καὶ ἀποπνιγέτω με. Ὦ τοῦ διαβόλου, οἵας παροιμίας εἰσήγαγε τῷ βίῳ, ὁλόκληρον τὴν ζωὴν τῶν τοιούτων ἀναιρέψαι δυναμένας.

Ὅρα γοῦν αὐτὴν ταύτην τὴν διαβολικὴν καὶ ὀλέθριον ῥῆσιν, ὅσης γέμει τῆς ἀπωλείας. Οὐδὲν γὰρ ἄλλο φησίν, ἀλλ' ἢ ταυτὶ τὰ ῥήματα· μηδείς σοι τοῦ σεμνοῦ, μηδείς σοι τοῦ δικαίου λόγος ἔστω· πάντα ἐρρίφθω ἐκεῖνα· ἓν μόνον ζήτησον, τὴν ἡδονήν. Κἂν ἄγχῃ σε τὸ πρᾶγμα, αἱρετὸν ἔστω· κἂν πάντες ἐμπτύωσιν οἱ ἀπανιῶνες, κἂν τῇ ὄψει προσιρίβωνται βόρβορον, κἂν ὡς κύνα ἐλαύνωσι, πάντα φέρε. Καὶ τί ἂν ἄλλο χοῖροι φωνὴν λαβόντες εἶπον; τί δὲ κύνες οἱ ἀκάθαρτοι; Τάχα δὲ οὐδ' ἂν ἐκεῖνοι τοιαῦτα ἐφθέγξαντο, οἷα ἀνθρώπους ἔπεισεν ὁ διάβολος λιτᾶν. Διὸ παρακαλῶ, τὴν ἀναισθησίαν συνειδότας τῶν τοιούτων ρημάτων, φεύγειν τὰς τοιαύτας παροιμίας, καὶ τὰς ἀπὸ τῆς Γραφῆς ἐκλέγειν ἀπενανίας αὐταῖς οὔσας. Τίνες δέ εἰσιν αὗται; «Μὴ πορεύου», φησίν, «ὀπίσω τῆς ἐπιθυμίας τῆς ψυχῆς σου καὶ ἀπὸ τῶν ὀρέξεών σου κωλύου». Καὶ περὶ πόρνης πάλιν φησὶν

---

10. Σοφ. Σειρ. 18, 30.

κὰς ἐκείνας διενέξεις, ποὺ συμβαίνουν κατ' ἀνάγκην ἐξ αἰτίας αὐτοῦ, τὴν ὑψηλοφροσύνην τῆς γυναικός, τὴν δουλοπρέπειαν, τοὺς διαπληκτισμούς, τοὺς ὀνειδισμοὺς τῶν ὑπηρετῶν· ὅπως, ὁ πτωχός, ὁ κουρελιάρης, ὁ ἄσημος καὶ ποὺ κατάγεται ἀπὸ ἄσημον οἰκογένειαν· διότι τί εἶχε ὅταν ἦλθε; δὲν εἶναι ὅλα τῆς κυρίας; Ἀλλὰ δὲν σὲ νοιάζουν καθόλου τὰ λόγια αὐτά, διότι καὶ ἐλεύθερος εἶσαι. Καθ' ὅσον καὶ αὐτοὶ ποὺ ζοῦν ὡσὰν παράσιτα ἀκούουν χειρότερα ἀπὸ αὐτὰ καὶ δὲν στενοχωροῦνται· οὔτε λοιπὸν καὶ αὐτοί, ἀλλὰ καὶ καυχῶνται διὰ τὴν ἀναισχυντίαν των αὐτήν· καὶ ὅταν τοὺς λέγωμεν αὐτά, αὐτοὶ ἀπαντοῦν· ἂς εἶναι κάτι εὐχάριστον καὶ γλυκὺ καὶ ἂς πεθάνω ἐξ αἰτίας αὐτοῦ. Ὢ τοῦ διαβόλου! τί λογῆς παροιμίας εἰσήγαγεν εἰς τὴν ζωήν, ποὺ ἠμποροῦν νὰ ἀνατρέψουν ὁλόκληρον τὴν ζωὴν τῶν ἀνθρώπων αὐτοῦ τοῦ εἴδους.

Πρόσεχε λοιπὸν τὴν διαβολικὴν αὐτὴν καὶ ὀλεθρίαν φράσιν, ἀπὸ πόσην ἀπώλειαν εἶναι γεμάτη. Διότι τίποτε ἄλλο δὲν σοῦ λέγει, παρὰ αὐτὰ ἐδῶ τὰ λόγια: Ἂς εἶναι διὰ σένα ξένος κάθε σεμνὸς λόγος καὶ κάθε λόγος δικαιοσύνης· ὅλα ἐκεῖνα ἀπόρριψέ τα· ἕνα μόνον ἐπιδίωκε· τὴν ἡδονήν. Καὶ ἂν ἀκόμη σὲ στενοχωρῇ τὸ πρᾶγμα, νὰ τὸ ἀποδέχεσαι· καὶ ἂν ἀκόμη σὲ πτύουν ὅλοι ὅσοι σὲ συναντοῦν, καὶ ἂν ἀκόμη σοῦ πετοῦν εἰς τὸ πρόσωπον λάσπην, καὶ ἂν σὲ κυνηγοῦν ὡσὰν σκύλον, ὑπόφερέ τα ὅλα. Καὶ τί ἄλλο θὰ ἠμποροῦσαν νὰ εἰποῦν οἱ χοῖροι ἂν εἶχον φωνήν; τί θὰ ἔλεγον οἱ ἀκάθαρτοι σκύλοι; Ἴσως δὲ οὔτε ἐκεῖνοι θὰ ἦτο δυνατὸν νὰ εἰποῦν τέτοια λόγια, μὲ τὰ ὁποῖα ἔπεισεν ὁ διάβολος τοὺς ἀνθρώπους νὰ λυσσομανοῦν. Διὰ τοῦτο, παρακαλῶ, ἀφοῦ συνειδητοποιήσατε τὴν ἀναισθησίαν τῶν λόγων αὐτοῦ τοῦ εἴδους, ν' ἀποφεύγετε τὰς παρομοίας παροιμίας, καὶ νὰ ἐκλέγετε ἀπὸ τὰς Γραφὰς αὐτὰς ποὺ εἶναι ἀντίθεται πρὸς αὐτάς. Ποῖαι δὲ εἶναι αὐταί; «Μὴ βαδίζῃς», λέγει, «ὀπίσω ἀπὸ τὰς ἐπιθυμίας τῆς ψυχῆς σου, καὶ νὰ προφυλάσσεσαι ἀπὸ τὰς ὀρέξεις σου»[10]. Καὶ περὶ πόρνης πάλιν λέγει τὸ

ἀπεναντίας τῇ παροιμίᾳ ταύτῃ· «μὴ πρόσεχε φαύλῃ γυναικί· μέλι γὰρ ἀποστάζει ἀπὸ χειλέων γυναικὸς πόρνης, ἡ πρὸς καιρὸν λιπαίνει σὸν φάρυγγα· ὕστερον μέντοι πικρότερον χολῆς εὑρήσεις καὶ ἠκονημένον μᾶλλον μαχαίρας διστόμου.

Τούτων τοίνυν ἀκούωμεν, μὴ ἐκείνων. Καὶ γὰρ ἐντεῦθεν οἱ ἀνελεύθεροι, ἐντεῦθεν οἱ δουλοπρεπεῖς λογισμοὶ φύονται, ἐντεῦθεν ἄλογα οἱ ἄνθρωποι γίνονται, ὅτι πανταχοῦ τὴν ἡδονὴν διῶκειν ἐθέλουσι κατὰ τὴν παροιμίαν ταύτην, ἢ καὶ χωρὶς τῶν ἡμετέρων λόγων αὐτόθεν ἐστὶ καταγέλαστος. Μετὰ γὰρ τὸ ἀποπνιγῆναι, τί τὸ κέρδος τῆς γλυκύτητος; Παύσασθε τοίνυν τοσοῦτον κατασκευάζοντες γέλωτα καὶ γέενναν ἀνάπτοντες καὶ πῦρ ἄσβεστον· καὶ διαβλέψωμεν κἂν ὀψέ ποτε ὡς χρὴ πρὸς τὰ μέλλοντα, τὴν τῶν ὀφθαλμῶν λήμην ἀποβαλόντες, ὅπως καὶ τὸν ἐνταῦθα βίον κοσμίως καὶ μετὰ πολλῆς τῆς σεμνότητος καὶ εὐλαβείας περιέλθωμεν, καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

11. Παροιμ. 5, 2-4.

ἀντίθετον ἀπὸ τὴν παροιμίαν αὐτήν· «Μὴν παρασύρεσαι ἀπὸ τὴν φαύλην γυναῖκα, διότι στάζει μέλι ἀπὸ τὰ χείλη τῆς πόρνης γυναικός, ἡ ὁποία πρὸς στιγμὴν γλυκαίνει τὸν φάρυγγά σου· μετὰ ἀπὸ ὀλίγον θὰ τὸ εὕρῃς πικρότερον ἀπὸ χολὴν καὶ πιὸ κοπτερὸν καὶ ἀπὸ δίκοπον μαχαῖρι»[11].

Αὐτὰ λοιπὸν ἂς ἀκοῦμεν καὶ ὄχι ἐκεῖνα. Καθ' ὅσον ἀπὸ ἐκεῖνα τὰ λόγια φυτρώνουν οἱ ἀνελεύθεροι καὶ δουλοπρεπεῖς λογισμοί, ἀπὸ αὐτὰ οἱ ἄνθρωποι γίνονται ἄλογα, διότι πάντοτε θέλουν νὰ ἐπιδιώκουν τὴν ἡδονὴν σύμφωνα μὲ τὴν παροιμίαν ἐκείνην, ἡ ὁποία καὶ χωρὶς τὰ ἰδικά μου λόγια ἡ ἰδία εἶναι καταγέλαστος. Διότι, μετὰ τὸν θάνατον, ποῖον τὸ κέρδος ἀπὸ τὴν γλυκύτητα; Παύσατε λοιπὸν νὰ προκαλῆτε τόσον γέλωτα καὶ νὰ ἀνάπτετε τὴν γέενναν καὶ τὸ πῦρ τὸ ἄσβεστον, καὶ ἂς στρέψωμεν τὰ βλέμματά μας, ἔστω καὶ ἀργά, ὅπως πρέπει πρὸς τὰ μέλλοντα, ἀφοῦ καθαρίσωμεν τὴν τσίμπλαν ἀπὸ τὰ μάτια μας, ὥστε καὶ τὴν παροῦσαν ζωὴν νὰ περάσωμεν μὲ κοσμιότητα καὶ μὲ πολλὴν σεμνότητα καὶ εὐλάβιαν, καὶ νὰ ἐπιτύχωμεν τὰ μέλλοντα ἀγαθά, μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΟΔ΄

Ματθ. 23, 29 - 39

«Οὐαὶ ὑμῖν, ὅτι οἰκοδομεῖτε τοὺς τάφους τῶν προφητῶν, καὶ κοσμεῖτε τὰ μνήματα αὐτῶν, καὶ λέγετε· εἰ ἤμεν ἐν ταῖς ἡμέραις τῶν πατέρων ἡμῶν, οὐκ ἂν ἤμεν αὐτῶν κοινωνοὶ ἐν τῷ αἵματι τῶν προφητῶν».

1. Οὐχ ὅτι οἰκοδομοῦσιν, οὐδ' ὅτι ἐγκαλοῦσιν ἐκείνοις, οὐαί φησιν, ἀλλ' ὅτι καὶ ταύτῃ καὶ δι' ὧν λέγουσι, καταγινώσκειν προσποιούμενοι τῶν πατέρων, χείρονα πράττουσιν. Ὅτι γὰρ προσποίησις ἦν ἡ κατάγνωσις, ὁ Λουκᾶς φησιν, ὅτι καὶ συνευδοκεῖτε, ὅτι οἰκοδομεῖτε. «Οὐαὶ γὰρ ὑμῖν», φησίν, «ὅτι οἰκοδομεῖτε τὰ μνήματα τῶν προφητῶν, οἱ δὲ πατέρες ὑμῶν ἀπέκτειναν αὐτούς. Ἄρα μαρτυρεῖτε καὶ συνευδοκεῖτε τοῖς ἔργοις τῶν πατέρων ὑμῶν· ὅτι αὐτοὶ μὲν ἀπέκτειναν αὐτούς, ὑμεῖς δὲ οἰκοδομεῖτε τὰ μνήματα αὐτῶν». Ἐνταῦθα γὰρ τὴν γνώμην αὐτῶν διαβάλλει, μεθ' ἧς ᾠκοδόμουν· ὅτι οὐ διὰ τιμὴν τῶν σφαγέντων, ἀλλ' ὡς ἐμπομπεύοντες ταῖς σφαγαῖς, καὶ δεδοικότες, μήποτε τῷ χρόνῳ τῶν τάφων ἀφανισθέντων μαρανθῇ τῆς τοσαύτης τόλμης ὁ ἔλεγχος καὶ ἡ μνήμη, οὕτως ᾠκοδόμουν τοὺς τάφους, ὥσπερ τι τρόπαιον ἱστῶντες λαμπρὰς τὰς οἰκοδομάς, καὶ καλλωπιζόμενοι τοῖς ἐκείνων τολμήμασι καὶ ἐπιδεικνύμενοι. Τὰ γὰρ νῦν τολμώμενα παρ' ὑμῶν δείκνυσιν, ὅτι καὶ ταῦτα τούτῳ ποιεῖτε τῷ τρόπῳ. Κἂν γὰρ τὰ ἐναντία λέγητε, φησίν, ὡς καταγινώσκοντες αὐτῶν, οἷον ὅτι «οὐκ ἄν, εἰ ἤμεν ἐν ταῖς

---

1. Λουκᾶ 11, 47-48.

ΟΜΙΛΙΑ ΟΔ΄

Ματθ. 23, 29 - 39

«Ἀλλοίμονόν σας, διότι κτίζετε τοὺς τάφους τῶν προφητῶν καὶ στολίζετε τὰ μνημεῖα τῶν δικαίων καὶ λέγετε· ἐὰν ἐζούσαμεν κατὰ τὰς ἡμέρας τῶν πατέρων μας δὲν θὰ ἐπαίρναμεν μέρος εἰς τὸ αἷμα τῶν προφητῶν».

1. Δὲν λέγει ὁ Χριστὸς τὸ ἀλλοίμονον ἐναντίον των, διότι κτίζουν τοὺς τάφους, οὔτε διότι κατηγοροῦν ἐκείνους, ἀλλὰ διότι καὶ μὲ τὸν τρόπον αὐτὸν καὶ μὲ ὅσα λέγουν, προσποιοῦμενοι ὅτι κατηγοροῦν τοὺς πατέρας των, πράττουν χειρότερα. Τὸ ὅτι λοιπὸν ἦτο προσποιητὴ ἡ κατηγορία τὸ λέγει ὁ Λουκᾶς μὲ τὰ λόγια «συνευδοκεῖτε» καὶ «οἰκοδομεῖτε». Διότι λέγει· «Ἀλλοίμονόν σας, διότι κτίζετε τοὺς τάφους τῶν προφητῶν, ἐνῷ οἱ πατέρες σας τοὺς ἐφόνευσαν. Ἄρα ἐπιβεβαιώνετε καὶ ἐπιδοκιμάζετε τὰ ἔργα τῶν πατέρων σας· διότι αὐτοὶ μὲν ἐφόνευσαν αὐτούς, σεῖς δὲ κτίζετε τοὺς τάφους των»[1]. Ἐδῶ λοιπὸν κατηγορεῖ τὴν διάθεσίν των, μὲ τὴν ὁποίαν ἔκτιζον· διότι δὲν ἔκτιζον αὐτοὺς πρὸς τιμὴν τῶν σφαγέντων προφητῶν, ἀλλὰ μὲ σκοπὸν νὰ διαπομπεύσουν τὰς σφαγάς, καὶ φοβούμενοι μήπως μὲ τὸ πέρασμα τοῦ χρόνου ἐξαφανισθοῦν οἱ τάφοι καὶ μειωθῇ ὁ ἔλεγχος καὶ ἡ ἀνάμνησις τῆς τόσον μεγάλης τόλμης των, ἔτσι ἔκτιζον τοὺς τάφους, στήνοντες λαμπρὰς τὰς οἰκοδομὰς ὡσὰν κάποιο τρόπαιον, καὶ ἔτσι ἐκαυχῶντο μὲ τὰ τολμήματα ἐκείνων καὶ ἐπεδεικνύοντο. Διότι αὐτὰ ποὺ τολμᾶτε τώρα δείχνουν ὅτι καὶ αὐτὰ τὰ κάνετε μὲ τὸν ἴδιον σκοπόν. Διότι καὶ ἂν ἀκόμη, λέγει, ἰσχυρίζεσθε τὰ ἀντίθετα, ὅτι τάχα τοὺς κατηγορεῖτε, ὅπως ὅτι «δὲν θὰ συμμετείχομεν εἰς τὰ ἔργα ἐκείνων ἐὰν ἐζούσαμεν κατὰ τὰς ἡμέρας

ἡμέραις ἐκείναις, ἤμεν αὐτῶν κοινωνοί», ἀλλ' ἡ γνώμη δήλη ἡ ταῦτα λέγουσα. Διὸ καὶ ἐκκαλύπτων αὐτήν, αἰνιγματωδῶς μέν, εἴρηκε δ' οὖν ὅμως. Εἰπὼν γάρ· «λέγετε, ὅτι εἰ ἤμεν ἐν ταῖς ἡμέραις τῶν πατέρων ἡμῶν, οὐκ ἂν ἦμεν κοινωνοὶ αὐτῶν ἐν τῷ αἵματι τῶν προφήτων», ἐπήγαγεν· «ὥστε μαρτυρεῖτε ἑαυτοῖς, ὅτι υἱοί ἐστε τῶν φονευσάντων τοὺς προφήτας».

Καὶ ποῖον ἔγκλημα υἱὸν εἶναι ἀνδροφόνου. ἂν μὴ κοινωνῇ τῇ γνώμῃ τοῦ πατρός; Οὐδέν. Ὅθεν δῆλον, ὅτι δι' αὐτὸ τοῦτο αὐτοῖς προφέρει, τὴν κατὰ κακίαν συγγένειαν αἰνιττόμενος. Καὶ τοῦτο καὶ τὸ ἑξῆς δηλοῖ· ἐπήγαγε γοῦν· «ὄφεις, γεννήματα ἐχιδνῶν». Ὥσπερ γὰρ ἐκεῖνα ἔοικε τοῖς γονεῦσι κατὰ τὴν τοῦ ἰοῦ λύμην, οὕτω καὶ ὑμεῖς τοῖς πατράσι κατὰ τὸ φονικόν. Εἶτα ἐπειδὴ γνώμην ἤταζεν ἄδηλον τοῖς πολλοῖς οὖσαν, καὶ ἀφ' ὧν μέλλουσι τολμᾶν, τῶν πᾶσιν ἐσομένων δήλων, κατασκευάζει τὰ εἰρημένα. Ἐπειδὴ γὰρ εἶπεν, «ὥστε μαρτυρεῖτε ἑαυτοῖς, ὅτι υἱοί ἐστε τῶν φονευσάντων τοὺς προφήτας», δηλῶν ὅτι τὴν κατὰ πονηρίαν συγγένειαν λέγει, καὶ ὅτι πλάσμα ἦν τὸ λέγειν, ὅτι «οὐκ ἂν ἦμεν αὐτῶν κοινωνοί», ἐπήγαγε· «καὶ ὑμεῖς πληρώσατε τὸ μέτρον τῶν πατέρων ὑμῶν»· οὐκ ἐπιτάττων, ἀλλὰ προαναφωνῶν τὸ ἐσόμενον, τουτέστι, τὴν ἑαυτοῦ σφαγήν. Διὰ δὴ τοῦτο ἐπαγαγὼν τὸν ἔλεγχον καὶ δείξας ὅτι πλάσματα ἦν ἅπερ ἔλεγον ὑπὲρ ἑαυτῶν ἀπολογούμενοι, οἷον ὅτι «οὐκ ἂν ἦμεν κοινωνοὶ αὐτῶν», (οἱ γὰρ τοῦ δεσπότου μὴ ἀπεχόμενοι, πῶς ἂν τῶν δούλων ἀπέσχοντο;), καταφορικωτέρῳ τῷ μετὰ ταῦτα κέχρηται λόγῳ, ὄφεις καλῶν καὶ γεννήματα ἐχιδνῶν, καὶ λέγων· «πῶς φεύξεσθε ἀπὸ τῆς κρίσεως τῆς γεέννης»,

ἐκείνας», ἀλλ' ὅμως εἶναι ὁλοφάνερη ἡ διάθεσις μὲ τὴν ὁποίαν τὰ λέγετε αὐτά. Διὰ τοῦτο καὶ ἀποκαλύπτει αὐτὴν μὲ αἰνιγματικὸν μὲν τρόπον, ὁπωσδήποτε ὅμως τὴν λέγει. Διότι ἀφοῦ εἶπε, «Λέγετε, ὅτι, ἐὰν ἐζούσαμεν κατὰ τὰς ἡμέρας τῶν πατέρων μας, δὲν θὰ συμμετείχομεν εἰς τὸ αἷμα τῶν προφητῶν», προσέθεσεν· «Ὥστε σεῖς οἱ ἴδιοι ἐπιβεβαιώνετε, ὅτι εἶσθε υἱοὶ ἐκείνων, ποὺ ἐφόνευσαν τοὺς προφήτας».

Καὶ ποία κατηγορία ὑπάρχει διὰ τὸν υἱὸν ἑνὸς φονιᾶ, ἐὰν δὲν συμμετέχῃ εἰς τὴν διάθεσιν τοῦ πατρός του; Καμμία. Ἑπομένως εἶναι φανερόν, ὅτι ἀκριβῶς δι' αὐτὸ τοὺς κατηγορεῖ, ὑπαινισσόμενος τὴν συγγένειάν των μὲ αὐτοὺς ὡς πρὸς τὴν κακίαν. Καὶ αὐτὸ τὸ φανερώνει καὶ τὸ ἑξῆς· καθ' ὅτι προσέθεσε· «Φίδια, γεννήματα ἐχιδνῶν». Διότι, ὅπως τὰ φίδια ὁμοιάζουν μὲ τοὺς γονεῖς των ὡς πρὸς τὴν πικρότητα τοῦ δηλητηρίου των, ἔτσι καὶ σεῖς ὁμοιάζετε πρὸς τοὺς πατέρας σας ὡς πρὸς τὴν φονικότητα. Εἰς τὴν συνέχειαν, ἐπειδὴ ἐξήταζε τὴν διάθεσιν ποὺ δὲν εἶναι φανερὴ εἰς τοὺς πολλούς, διατυπώνει τοὺς λόγους του ἀπὸ τὰ ἔργα των τὰ ὁποῖα πρόκειται νὰ τολμήσουν, καὶ ποὺ θὰ γίνουν γνωστὰ εἰς ὅλους. Διότι, ἐπειδὴ εἶπεν, «Ὥστε σεῖς οἱ ἴδιοι ἐπιβεβαιώνετε, ὅτι εἶσθε υἱοὶ ἐκείνων ποὺ ἐφόνευσαν τοὺς προφήτας», δηλώνων ὅτι ἐννοεῖ καὶ τὴν συγγένειάν των ὡς πρὸς τὴν πονηρίαν καὶ ὅτι ἦτο πλασματικοὶ οἱ λόγοι των «ὅτι δὲν θὰ ἐγινόμεθα συμμέτοχοι ἐκείνων», προσέθεσε· «συμπληρώσατε καὶ σεῖς τὸ μέτρον τῶν πατέρων σας»· δὲν προστάζει, ἀλλὰ προλέγει αὐτὸ ποὺ θὰ γίνῃ, δηλαδὴ τὴν σφαγὴν τοῦ ἑαυτοῦ του. Διὰ τοῦτο λοιπὸν ἀφοῦ συνέχισε τὸν ἔλεγχον καὶ ἀπέδειξεν ὅτι ἦσαν πρόφασις αὐτὰ ποὺ ἔλεγον δικαιολογοῦντες τοὺς ἑαυτούς των, ὅπως ὅτι «δὲν θὰ συμμετείχομεν εἰς τὰ ἔργα αὐτῶν» (διότι αὐτοὶ ποὺ δὲν ἀπεῖχον ἀπὸ τὸν φόνον τοῦ Κυρίου, πῶς θὰ ἀπέσχον ἀπὸ τὸν φόνον τῶν δούλων του;), κάνει αὐστηρότερον τὸν ἐν συνεχείᾳ λόγον του, ὀνομάζων αὐτοὺς φίδια καὶ γεννήματα ἐχιδνῶν καὶ λέγων· «Πῶς θὰ ξεφύγετε τὴν κρίσιν τῆς γε-

καὶ τοιαῦτα τολμῶντες καὶ ἀρνούμενοι καὶ τὴν γνώμην κρύπτοντες;

Εἶτα καὶ ἐτέρωθεν αὐτοὺς ἐλέγχων ἐκ περιουσίας, φησὶν ὅτι «ἀποστελῶ πρὸς ὑμᾶς προφήτας καὶ σοφοὺς καὶ γραμματεῖς, καὶ ἐξ αὐτῶν ἀποκτενεῖτε καὶ σταυρώσετε, καὶ ἐν ταῖς συναγωγαῖς ὑμῶν μαστιγώσετε». Ἵνα γὰρ μὴ λέγωσιν, ὅτι εἰ καὶ τὸν δεσπότην ἐσταυρώσαμεν, ἀλλὰ τῶν δούλων ἀπεσχόμεθα ἄν, εἰ ἦμεν τότε, ἰδού, φησί, καὶ δούλους ὑμῖν ἀποστέλλω, προφήτας καὶ αὐτοῦς, καὶ οὐδὲ αὐτῶν φείσεσθε. Ταῦτα δὲ λέγει, δεικνὺς ὅτι οὐδὲν ξένον σφαγῆναι αὐτὸν ἀπὸ τῶν υἱῶν ἐκείνων, φοινικῶν τε ὄντων καὶ ὑπούλων καὶ πολὺ τὸ δολερὸν ἐχόντων καὶ νικώντων τοὺς πατέρας τοῖς τολμήμασι. Πρὸς δὲ τοῖς εἰρημένοις δείκνυσιν αὐτοὺς καὶ σφόδρα κενοδοξοῦντας. Καὶ γὰρ ὅταν λέγωσιν, «εἰ ἦμεν ταῖς ἡμέραις τῶν πατέρων ἡμῶν, οὐκ ἂν ἦμεν κοινωνοὶ αὐτῶν», κενοδοξοῦντες λέγουσι, καὶ ἐν λόγοις φιλοσοφοῦντες μόνον, ἐν δὲ τοῖς ἔργοις τὰ ἐναντία πράττουσιν. «Ὄφεις, γεννήματα ἐχιδνῶν»· τουτέστι, πονηροὶ πονηρῶν παῖδες, καὶ τῶν γεννησαμένων πονηρότεροι. Δείκνυσι γὰρ αὐτοὺς μείζονα τολμῶντας, τῷ τε μετ' ἐκείνους τολμῆσαι, καὶ τῷ πολλῷ χαλεπώτερα ἐκείνων, καὶ ταῦτα ἀκριβολογουμένους, ὡς οὐκ ἄν ποτε τοῖς αὐτοῖς περιέπεσον. Αὐτοὶ γὰρ καὶ τὸ τέλος ἐπάγουσι, καὶ τὴν κορωνίδα τῶν κακῶν. Οἱ μὲν γὰρ τοὺς ἐπὶ τὸν ἀμπελῶνα ἐλθόντας ἀπέκτειναν· οὗτοι δὲ καὶ τὸν υἱόν, καὶ τοὺς ἐπὶ γάμον καλοῦντας. Ταῦτα λὲ λέγει, τῆς συγγενείας αὐτοὺς ἀφιστὰς τῆς τοῦ Ἀβραάμ, καὶ δεικνύς, ὅτι οὐδὲν ἐντεῦθεν αὐτοῖς τὸ

έννης», ὅταν καὶ τολμᾶτε τέτοια καὶ τὰ ἀρνῆσθε καὶ κρύπτετε τὴν διάθεσίν σας;

Εἰς τὴν συνέχειαν καὶ μὲ ἄλλον τρόπον τοὺς ἐλέγχει αὐξάνων τὴν κατηγορίαν του καὶ λέγει ὅτι· «Θὰ ἀποστείλω πρὸς ἐσᾶς προφήτας καὶ σοφοὺς καὶ γραμματεῖς καὶ ἀπὸ αὐτοὺς ἄλλους θὰ φονεύσετε, ἄλλους θὰ σταυρώσετε καὶ ἄλλους θὰ μαστιγώσετε εἰς τὰς συναγωγάς σας». Διὰ νὰ μὴ λέγουν λοιπόν, ὅτι μολονότι ἐσταυρώσαμεν τὸν Κύριον, ἀλλὰ δὲν συμμετείχομεν καὶ εἰς τὸν φόνον τῶν δούλων του, ἐὰν ἐζούσαμεν τότε, νὰ λέγει, καὶ δούλους θὰ σᾶς ἀποστείλω, προφήτας καὶ αὐτούς, καὶ οὔτε αὐτοὺς θὰ λυπηθῆτε. Αὐτὰ δὲ τὰ λέγει, διὰ νὰ δείξῃ ὅτι δὲν εἶναι καθόλου παράξενον τὸ νὰ σφαγῇ ἀπὸ τοὺς υἱοὺς ἐκείνων, ποὺ εἶναι φονικοὶ καὶ ὕπουλοι καὶ ἔχουν πολὺν δόλον καὶ ξεπερνοῦν τοὺς πατέρας των εἰς τὰ τολμήματα. Ἐκτὸς δὲ ἀπὸ αὐτὰ ποὺ ἐλέχθησαν ἀποδεικνύει ὅτι εἶναι καὶ ὑπερβολικὰ κενόδοξοι. Καθ' ὅσον ὅταν λέγουν, «Ἐὰν ἐζούσαμεν κατὰ τὰς ἡμέρας τῶν πατέρων μας, δὲν θὰ συμμετείχομεν εἰς τὰ ἔργα αὐτῶν», τὰ λέγουν ἀπὸ κενοδοξίαν, δείχνοντες τὴν εὐσέβειάν των μόνον μὲ λόγια, ἐνῷ μὲ τὰ ἔργα των πράττουν τὰ ἀντίθετα. «Φίδια καὶ γεννήματα ἐχιδνῶν», δηλαδή, πονηροί, παιδιὰ πονηρῶν, καὶ πονηρότεροι ἀπ' αὐτοὺς ποὺ σᾶς ἐγέννησαν. Διότι τοὺς ἀποδεικνύει ὅτι διαπράττουν μεγαλύτερα ἐγκλήματα καὶ ὅτι ἐπιχείρησαν τὰ ἴδια μὲ ἐκείνους, ἀλλὰ καὶ πολὺ χειρότερα ἀπὸ ἐκείνους καὶ αὐτὰ τὰ ἐλέγχουν μὲ αὐστηρότητα ὡσὰν νὰ μὴ περιέπεσαν ποτὲ εἰς τὰ ἴδια. Διότι αὐτοὶ προσθέτουν εἰς τὰ ἐγκλήματά των καὶ τὸ τελευταῖον ἀπὸ ὅλα, τὸ ἀποκορύφωμα τῶν κακῶν. Καθ' ὅσον ἐκεῖνοι μὲν ἐφόνευσαν τοὺς δούλους ποὺ ἦλθον εἰς τὸν ἀμπελῶνα ἐνῷ αὐτοὶ καὶ τὸν ἴδιον τὸν Υἱὸν καὶ αὐτοὺς ποὺ τοὺς προσεκάλουν εἰς τὸν γάμον. Αὐτὰ δὲ τὰ λέγει, ἀποχωρίζων αὐτοὺς ἀπὸ τὴν συγγένειαν τοῦ Ἀβραὰμ καὶ ἀποδεικνύει ὅτι δὲν ὠφελοῦνται εἰς τίποτε ἀπὸ τὴν συγγένειάν των αὐτήν, ἐὰν δὲν μιμηθοῦν τὰ ἔργα ἐκείνου.

κέρδος, ἂν μὴ τὰ ἔργα μιμήσωνται. Διὸ καὶ ἐπάγει· «πῶς φύγητε ἀπὸ τῆς κρίσεως τῆς γεέννης», ἐκείνους μιμούμενοι τοὺς τὰ τοιαῦτα τετολμηκότας;

Ἐνταῦθα δὲ αὐτοὺς καὶ τῆς Ἰωάννου κατηγορίας ἀνέμνησε· καὶ γὰρ ἐκεῖνος οὕτως αὐτοὺς ἐκάλεσε· καὶ τῆς μελλούσης ὑπέμνησε κρίσεως. Εἶτα ἐπειδὴ οὐδὲν αὐτοὺς ἐφόβει κρίσις καὶ γέεννα, τῷ μὴ πιστεύειν καὶ τῷ μέλλειν τὸ πρᾶγμα, ἀπὸ τῶν παρόντων αὐτοὺς κατασιέλλει, καί φησι· «διὰ τοῦτο ἰδοὺ ἐγὼ ἀποστέλλω πρὸς ὑμᾶς προφήτας καὶ γραμματεῖς, καὶ ἐξ αὐτῶν ἀποκτενεῖτε, καὶ σταυρώσετε, καὶ μαστιγώσετε· ὅπως ἔλθῃ ἐφ' ὑμᾶς πᾶν αἷμα δίκαιον ἐκχυνόμενον ἐπὶ τῆς γῆς, ἀπὸ τοῦ αἵματος Ἄβελ τοῦ δικαίου, ἕως τοῦ αἵματος Ζαχαρίου υἱοῦ Βαραχίου, ὃν ἐφονεύσατε μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου. Ἀμὴν λέγω ὑμῖν, ὅτι ἥξει ταῦτα πάντα ἐπὶ τὴν γενεὰν ταύτην».

2. Ὅρα ἐκ πόσων αὐτοὺς ἠσφαλίσατο; Εἶπεν, ὅτι καταγινώσκετε τῶν πατέρων ὑμῶν, δι' ὧν λέγετε, ὅτι οὐκ ἂν ἐκοινωνήσαμεν αὐτοῖς· οὐ μικρὸν δὲ τοῦτο εἰς τὸ ἐντρέψαι. Εἶπεν, ὅτι καταγινώσκοντες χείρονα πράττετε καὶ ὑμεῖς· καὶ τοῦτο δὲ ἱκανὸν αὐτοὺς καταισχῦναι. Εἶπεν, ὅτι οὐκ ἀτιμωρητὶ ταῦτα ἔσται, καὶ φόβον ἐντεῦθεν αὐτοῖς ἐντίθησιν ἄφατον· ἀνέμνησε γοῦν αὐτοὺς τῆς γεέννης. Εἶτα ἐπειδὴ ἔμελλεν ἐκείνη, ἐπέστησεν αὐτοῖς καὶ παρόντα τὰ δεινά· «ἥξει γὰρ ταῦτα πάντα», φησίν, «ἐπὶ τὴν γενεὰν ταύτην». Προσέθηκε καὶ σφοδρότητα ἄφατον τῇ τιμωρίᾳ, εἰπὼν ὅτι πάντων χαλεπώτερα πείσονται· καὶ οὐδενὶ τούτων ἐγένοντο βελτίους.

Εἰ δὲ λέγοι τις· Καὶ τί δήποτε χαλεπώτερα πάσχουσι

Διὰ τοῦτο καὶ προσθέτει· «Πῶς θ' ἀποφύγετε τὴν κρίσιν τῆς γεέννης», ἀφοῦ μιμεῖσθε ἐκείνους ποὺ ἐπεχείρησαν τέτοια ἔργα;

Ἐδῶ δὲ τοὺς ὑπενθύμισε καὶ τὴν κατηγορίαν τοῦ Ἰωάννου ἐναντίον των, καθ' ὅσον καὶ ἐκεῖνος ἔτσι τοὺς ὠνόμασε, καθὼς ἐπίσης τοὺς ὑπενθύμισε τὴν μέλλουσαν κρίσιν. Ἔπειτα, ἐπειδὴ δὲν τοὺς ἐφόβιζε καθόλου ἡ μέλλουσα κρίσις καὶ ἡ γέεννα, ἐξ αἰτίας τοῦ ὅτι δὲν ἐπίστευον, καὶ δὲν ἔδινον σημασίαν εἰς τὸ πρᾶγμα, τοὺς συγκρατεῖ ἀπὸ γεγονότα τοῦ παρόντος καὶ λέγει· «Διὰ τοῦτο νά, ἀποστέλλω πρὸς ἐσᾶς προφήτας καὶ σοφοὺς καὶ γραμματεῖς καὶ ἀπὸ αὐτοὺς ἄλλους θὰ φονεύσετε, ἄλλους θὰ σταυρώσετε καὶ ἄλλους θὰ μαστιγώσετε, ὥστε νὰ πέσῃ ἐπάνω σας ὅλο τὸ δίκαιον αἷμα ποὺ ἐχύθη ἐπάνω εἰς τὴν γῆν, ἀπὸ τὸ αἷμα τοῦ Ἄβελ τοῦ δικαίου, μέχρι τὸ αἷμα τοῦ Ζαχαρίου τοῦ υἱοῦ τοῦ Βαραχίου, τὸ ὁποῖον ἐφονεύσατε μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου. Ἀλήθεια σᾶς λέγω, θὰ συμβοῦν ὅλα αὐτὰ εἰς τὴν γενεὰν αὐτήν».

2. Βλέπεις μὲ πόσους τρόπους τοὺς προεφύλαξεν; Εἶπεν, ὅτι κατηγορεῖτε τοὺς πατέρας σας μὲ ὅσα λέγετε, ὅτι δὲν θὰ συμμετείχομεν εἰς τὰ ἔργα των· δὲν ἦτο δὲ αὐτὸ μικρὸν διὰ νὰ τοὺς ἀποτρέψῃ. Εἶπεν, ὅτι μολονότι κατηγορεῖτε ἐκείνους, σεῖς ὅμως πράττετε χειρότερα· καὶ αὐτὸ ἦτο ἱκανὸν νὰ τοὺς κάνῃ νὰ ἐντραποῦν. Εἶπεν, ὅτι δὲν θὰ μείνουν αὐτὰ ἀτιμώρητα, καὶ μὲ τοὺς λόγους του αὐτοὺς ἐμβάλλει εἰς αὐτοὺς φόβον ἀπερίγραπτον· τοὺς ὑπενθύμισε δηλαδὴ τὸ πῦρ τῆς γεέννης. Εἰς τὴν συνέχειαν, ἐπειδὴ ἐκείνη θὰ συνέβαινεν εἰς τὸ μέλλον, τοὺς παρουσίασε τὰ δεινὰ ποὺ θὰ συνέβαινον εἰς τὴν παροῦσαν ζωήν· διότι λέγει, «Θὰ ἔλθουν ὅλα αὐτὰ εἰς τὴν γενεὰν αὐτήν». Προσέθεσε δὲ ὑπερβολικὴν σφοδρότητα εἰς τὴν τιμωρίαν, λέγων· ὅτι θὰ πάθουν τὰ χειρότερα ἀπὸ ὅλους, καὶ ὅμως μὲ κανένα ἀπὸ αὐτὰ δὲν ἔγιναν καλύτεροι.

Ἐὰν δὲ ἤθελεν ἐρωτήσει κάποιος· Καὶ διατί τέλος

πάντων;' εἴποιμεν ἄν, ὅτι καὶ πάντων χαλεπώτερα τετολμήκασι, καὶ οὐδενὶ τῶν γεγενημένων ἐσωφρονίσθησαν. Ἢ οὐκ ἤκουσας τοῦ Λάμεχ λέγοντος· «ἑπτὰ Λάμεχ ἐκδεδίκηται ἑβδομηκοντάκις ἑπτά;» τουτέστι, πλειόνων ἐγὼ ἄξιος τιμωριῶν ἢ ὁ Κάιν. Τί δήποτε; Καίτοι οὐκ ἀδελφὸν ἀνεῖλεν· ἀλλ' ὅτι οὐδὲ τῷ παραδείγματι ἐσωφρονίσθη. Καὶ τοῦτο ἔστιν ὅ φησιν ὁ Θεὸς ἀλλαχοῦ· «ἀποδιδοὺς ἁμαρτίας πατέρων ἐπὶ τέκνα ἐπὶ τρίτην καὶ τετάρτην γενεὰν τοῖς μισοῦσί με»· οὐχ ὡς τῶν ἄλλοις τολμηθέντων ἑτέρων διδόντων δίκας, ἀλλ' ὡς τῶν μετὰ πλείονας ἁμαρτόντας καὶ κολασθέντας μὴ γενομένων βελτιόνων, ἀλλὰ τὰ αὐτὰ πεπλημμεληκότων, καὶ ἐκείνων τὰς τιμωρίας ὑποσχεῖν ὄντων δικαίων.

Σκόπει δὲ πῶς εὐκαίρως καὶ τοῦ Ἄβελ ἀνέμνησε, δεικνὺς ὅτι φθόνου καὶ οὗτος ὁ φόνος ἐστί. Τί οὖν ἂν ἔχοιτε εἰπεῖν; Μὴ γὰρ οὐκ ἔγνωτε τί ἔπαθεν ὁ Κάιν; μὴ γὰρ ἐφησύχασε τοῖς γεγενημένοις ὁ Θεός; μὴ γὰρ οὐκ ἀπήτησε τὴν χαλεπωτάτην δίκην; Μὴ γὰρ οὐκ ἠκούσατε ὅσα ἔπαθον οἱ πατέρες ὑμῶν, τοὺς προφήτας ἀνελόντες; οὐ κολάσεσι καὶ τιμωρίαις μυρίαις ἐξεδόθησαν; Πῶς οὖν οὐκ ἐγένεσθε βελτίους; Καὶ τί λέγω τὰς κολάσεις τῶν πατέρων ὑμῶν, καὶ ἅπερ ἔπαθον; αὐτὸς σὺ ὁ καταψηφισάμενος τῶν πατέρων, πῶς χείρω ποιεῖς; Καὶ γὰρ καὶ ὑμεῖς αὐτοὶ ἀπεφήνασθε, ὅτι κακοὺς κακῶς ἀπολέσει. Τίνα οὖν λοιπὸν ἕξετε συγγνώμην, μετὰ τοιαύτην ψῆφον τοιαῦτα τολμῶντες;

Ἀλλὰ τίς ἐστιν ὁ Ζαχαρίας οὗτος; Οἱ μὲν τὸν Ἰωάννου πατέρα φασίν, οἱ δὲ τὸν προφήτην, οἱ δὲ ἕτερόν τινα διώ-

2. Γεν. 4, 24.
3. Ἐξ. 20, 5.
4. Ματθ. 21, 41.
5. Δηλαδὴ τοῦ Προδρόμου.

πάντων ὑποφέρουν χειρότερα ἀπὸ ὅλους;[3], θὰ ἠμπορούσαμεν νὰ εἰπῶμεν, ἐπειδὴ διέπραξαν καὶ χειρότερα ἀπὸ ὅλους καὶ δὲν ἐσωφρονίσθησαν μὲ κανένα ἀπὸ ὅσα ἔγιναν. Ἢ δὲν ἤκουσες τὸν Λάμεχ ποὺ λέγει· «ὅτι ὁ Λάμεχ ἔχει τιμωρηθῆ ἑβδομήντα φορὲς ἑπτά»[2]· δηλαδὴ ἐγὼ εἶμαι ἄξιος περισσοτέρων τιμωριῶν παρὰ ὁ Κάϊν. Διατί τέλος πάντων; Βέβαια δὲν ἐφόνευσε τὸν ἀδελφόν του, ἀλλ' ἐπειδὴ δὲν ἐσωφρονίσθη μὲ τὸ παράδειγμα ἐκείνου. Αὐτὸ σημαίνουν τὰ λόγια τοῦ Θεοῦ ποὺ λέγει εἰς ἄλλην περίπτωσιν· «Ἐγὼ ποὺ τιμωρῶ τὰ τέκνα, ἐξ αἰτίας τῶν πατέρων των, μέχρι τὴν τρίτην καὶ τετάρτην γενεὰν ἐκείνων ποὺ μὲ μισοῦν»[3]. Δὲν σημαίνει αὐτὸ ὅτι τιμωροῦνται ἄλλοι δι' ἐγκλήματα ποὺ διέπραξαν ἄλλοι, ἀλλ' ὅτι μολονότι ὑπάρχουν τόσα πολλὰ παραδείγματα ἄλλων ποὺ ἡμάρτησαν καὶ ἐτιμωρήθησαν, παρὰ ταῦτα δὲν ἔγιναν καλύτεροι, ἀλλὰ διέπραξαν τὰ ἴδια πλημμελήματα καὶ ἦτο δίκαιον νὰ ὑποστοῦν τὰς ἰδίας τιμωρίας μὲ ἐκείνους.

Σκέψου δὲ πῶς εἰς τὴν κατάλληλον στιγμὴν ὑπενθύμισε καὶ τὸν Ἄβελ, δείξας ὅτι καὶ αὐτὸς ὁ φόνος ἦτο ἀποτέλεσμα φθόνου. Τί θὰ ἠμποροῦσατε λοιπὸν νὰ εἰπῆτε; Μήπως δὲν γνωρίζετε τί ἔπαθεν ὁ Κάϊν; μήπως ὁ Θεὸς ἔδειξεν ἀδιαφορίαν δι' ὅσα συνέβησαν; μήπως δὲν ἐπέβαλε τὴν πιὸ φοβερὰν τιμωρίαν; Μήπως δὲν ἠκούσατε ὅσα ἔπαθον οἱ πατέρες σας, ποὺ ἐφόνευσαν τοὺς προφήτας; δὲν παρεδόθησαν εἰς ἀπείρους κολάσεις καὶ τιμωρίας; Πῶς λοιπὸν δὲν ἐγίνατε καλύτεροι; Καὶ διατί ἀναφέρω τὰς τιμωρίας τῶν πατέρων σας καὶ ὅλα ὅσα ἔπαθον; σὺ ὁ ἴδιος, ποὺ καταδικάζεις τοὺς πατέρας σου, διατί πράττεις χειρότερα; Καθ' ὅσον καὶ σεῖς οἱ ἴδιοι ἐξεφράσατε τὴν γνώμην, ὅτι ὁ Θεὸς «θὰ τιμωρήσῃ πολὺ αὐστηρὰ τοὺς κακούς»[4]. Ποίαν λοιπὸν συγχώρησιν θὰ λάβετε, ἀφοῦ διαπράττετε τέτοια ἔργα μετὰ ἀπὸ τέτοιαν γνώμην σας;

Ἀλλὰ ποῖος εἶναι αὐτὸς ὁ Ζαχαρίας; Ἄλλοι μὲν λέγουν ὅτι εἶναι ὁ πατέρας τοῦ Ἰωάννου[5], ἄλλοι δὲ ὅτι εἶναι

νυμον ἱερέα, ὃν καὶ Ἰωδάε φησὶν ἡ Γραφή. Σὺ δὲ ἐκεῖνο σκόπει, ὅτι τὸ τόλμημα διπλοῦν ἦν. Οὐ γὰρ ἁγίους ἀνήρουν μόνον, ἀλλὰ καὶ ἐν ἁγίῳ τόπῳ. Ταῦτα δὲ λέγων, οὐκ ἐκείνους ἐφόβει μόνον, ἀλλὰ καὶ τοὺς μαθητὰς παρεμυθεῖτο, δεικνὺς ὅτι καὶ οἱ δίκαιοι οἱ πρὸ αὐτῶν ταῦτα ἔπαθον. Τούτους δὲ ἐφόβει, προλέγων ὅτι ὥσπερ ἐκεῖνοι δίκην ἔδοσαν, οὕτω καὶ οὗτοι τὰ ἔσχατα πείσονται. Διὰ τοῦτο αὐτοὺς καὶ προφήτας καὶ σοφοὺς καὶ γραμματεῖς καλεῖ, καὶ ἐντεῦθεν πάλιν πᾶσαν ἀπολογίαν αὐτῶν ἀναιρῶν. Οὐ γὰρ ἔχετε εἰπεῖν, φησίν, ὅτι ἀπὸ ἐθνῶν ἀπέστειλας καὶ διὰ τοῦτο ἐσκανδαλίσθημεν, ἀλλὰ τὸ φονικοὺς εἶναι καὶ διψᾶν αἱμάτων εἰς τοῦτο ἦγε. Διὸ καὶ προεῖπεν, ὅτι διὰ τοῦτο προφήτας καὶ γραμματεῖς ἀποστέλλω. Τοῦτο καὶ οἱ προφῆται πάντες ἐνεκάλουν αὐτοῖς, «αἵματα ἐφ' αἵμασι μίσγουσι», λέγοντες, καὶ ὅτι ἄνδρες αἱμάτων εἰσί. Διὰ τοῦτο καὶ τὸ αἷμα αὐτῷ ἐκέλευσε προσφέρεσθαι, δεικνὺς ὅτι εἰ ἐπὶ ἀλόγου οὕτω τίμιον, πολλῷ μᾶλλον ἐπὶ ἀνθρώπου. Ὃ καὶ τῷ Νῶε λέγει· «ἐκδικήσω πᾶν αἷμα ἐκχυνόμενον». Καὶ μυρία ἕτερα τοιαῦτά ἐστιν εὑρεῖν ὑπὲρ τοῦ μὴ φονεύειν αὐτοὺς διατατόμενον· διὸ οὐδὲ πνικτὸν ἐσθίειν ἐκέλευσεν. Ὢ τῆς τοῦ Θεοῦ φιλανθρωπίας, ὅτι καὶ προειδὼς οὐδὲν κερδανοῦντας, τὰ αὐτοῦ ὅμως ἐποίει. Πέμπω γάρ, φησί, καὶ ταῦτα εἰδὼς σφαγησομένους. Ὥστε κἀντεῦθεν ἠλέγχοντο εἰκῇ λέγοντες, «οὐκ ἂν ἦμεν κοινωνοὶ τῶν πατέρων». Καὶ γὰρ καὶ οὗτοι προφήτας καὶ ἐν ταῖς συναγωγαῖς ἀνεῖλον, καὶ οὔτε τὸν τόπον αὐτὸν ἠδέσθησαν, οὔτε τὸ ἀξίωμα τῶν προσώπων. Οὐδὲ

6. Ὡσ. 4, 2.
7. Γεν. 9, 6.

ὁ προφήτης, καὶ ἄλλοι ὅτι εἶναι κάποιος ἄλλος μὲ τὸ ἴδιο ὄνομα ἱερεύς, τὸν ὁποῖον ἡ Γραφὴ ὀνομάζει καὶ Ἰωδάε. Σὺ ὅμως νὰ σκέπτεσαι ἐκεῖνο, ὅτι ἦτο διπλοῦν τὸ διαπραχθὲν ἔγκλημα. Διότι δὲν ἐφόνευον μόνον ἁγίους, ἀλλὰ καὶ εἰς τόπον ἅγιον. Λέγων δὲ αὐτὸ δὲν ἐφόβιζε μόνον ἐκείνους, ἀλλὰ παρηγόρει καὶ τοὺς μαθητάς του, δεικνύων ὅτι καὶ οἱ πρὶν ἀπὸ αὐτοὺς δίκαιοι τὰ ἴδια ἔπαθον. Αὐτοὺς δὲ τοὺς ἐφόβιζε προλέγων, ὅτι, ὅπως ἀκριβῶς ἐκεῖνοι ἐτιμωρήθησαν, ἔτσι καὶ αὐτοὶ θὰ ὑποστοῦν τὰς πιὸ φοβερὰς τιμωρίας. Διὰ τοῦτο ὀνομάζει τοὺς μαθητάς του καὶ προφήτας καὶ σοφοὺς καὶ γραμματεῖς καὶ ἔτσι ἀφαιρεῖ καὶ πάλιν ἀπὸ τοὺς Φαρισαίους κάθε δικαιολογίαν. Διότι, λέγει, δὲν ἠμπορεῖτε νὰ εἰπῆτε, ὅτι μᾶς ἀπέστειλες ἐθνικοὺς διδασκάλους καὶ διὰ τοῦτο ἐσκανδαλίσθημεν, ἀλλὰ τοῦτο συνέβαινεν ἐπειδὴ ἦσαν φονιάδες καὶ ἐδιψοῦσαν διὰ αἷμα. Διὰ τοῦτο καὶ προεῖπεν, «ὅτι διὰ τοῦτο θὰ ἀποστείλω προφήτας καὶ γραμματεῖς». Διὰ τοῦτο καὶ ὅλοι οἱ προφῆται τοὺς κατηγόρουν, λέγοντες· «Ἀναμιγνύουν αἵματα μὲ αἵματα»[6] καὶ ὅτι εἶναι ἄνδρες ποὺ τοὺς ἀρέσουν τὰ αἵματα. Διὰ τοῦτο καὶ ὁ Θεὸς διέταξε τὸ αἷμα νὰ προσφέρεται εἰς αὐτόν, δεικνύων ὅτι, ἐὰν αὐτὸ ἀξίζῃ νὰ γίνεται διὰ τὰ ἄλογα ζῶα πολὺ περισσότερον διὰ τὸν ἄνθρωπον, πρᾶγμα ποὺ λέγει καὶ εἰς τὸν Νῶε· «Θὰ ἐκδικηθῶ κάθε αἷμα ποὺ χύνεται»[7]. Καὶ ἄλλα παρόμοια ἄπειρα τὸν ἀριθμὸν εἶναι δυνατὸν νὰ εὕρωμεν, ποὺ παραγγέλλουν αὐτοὺς νὰ μὴ φονεύουν· διὰ τοῦτο διέταξεν οὔτε καὶ νὰ τρώγουν κρέας πνιγμένου ζώου. Ὢ τῆς φιλανθρωπίας τοῦ Θεοῦ, διότι ἂν καὶ προεγνώριζεν, ὅτι δὲν θὰ εἶχον κανένα κέρδος, ὅμως ἔκανεν ὅτι ἐξηρτᾶτο ἀπὸ αὐτόν. Διότι, λέγει, τοὺς ἀποστέλλω, καὶ αὐτὸ ἂν καὶ γνωρίζω ὅτι θὰ σφαγοῦν. Ὥστε καὶ ἀπὸ αὐτὸ ἐγίνετο φανερόν, ὅτι ἀσυλόγιστα ἔλεγον, «δὲν θὰ συμμετείχομεν εἰς τὰ ἔργα τῶν πατέρων μας». Καθ' ὅσον καὶ αὐτοὶ ἐφόνευσαν προφήτας εἰς τὰς συναγωγὰς καὶ οὔτε τὸν ἴδιον ἱερὸν χῶρον ἐσεβάσθησαν, οὔτε τὸ ἀξίωμα τῶν προσώπων. Διότι δὲν

γὰρ ἁπλῶς τοὺς τυχόντας ἀνεῖλον, ἀλλὰ προφήτας καὶ σοφούς, ὥστε μηδὲν αὐτοῖς ἐγκαλεῖν. Τούτους δέ, τοὺς ἀποστόλους φησὶ καὶ τοὺς μετ' ἐκείνους, καὶ γὰρ πολλοὶ προεφήτευον.

Εἶτα βουλόμενος αὔξῆσαι τὸν φόβον, φησίν· «ἀμήν, ἀμὴν λέγω ὑμῖν, ἥξει ταῦτα πάντα ἐπὶ τὴν γενεὰν ταύτην»· τουτέστιν, εἰς κεφαλὰς ὑμῶν πάντα τρέφω, καὶ σφοδρὰν ποιήσομαι τὴν ἄμυναν. Ὁ γὰρ πολλοὺς ἡμαρτηκότας εἰδὼς καὶ μὴ σωφρονισθείς, ἀλλὰ καὶ τὰ αὐτὰ πάλιν καὶ αὐτὸς ἁμαρτιῶν, καὶ οὐ τὰ αὐτὰ μόνον, ἀλλὰ καὶ πολλῷ χαλεπώτερα, χαλεπωτέραν ἐκείνων πολλῷ δίκαιος ἂν εἴη δοῦναι δίκην. Ὥσπερ γάρ, εἰ ἐβουλήθη, μεγάλα ἂν ἐκέρδανε τοῖς ἑτέρων παραδείγμασι γενόμενος βελτίων, οὕτως, ἐπειδὴ ἀδιόρθωτος ἔμεινε, μείζονός ἐστι τιμωρίας ὑπεύθυνος, ἅτε πλείονος νουθεσίας τῆς διὰ τῶν ἔμπροσθεν ἡμαρτηκότων καὶ κολασθέντων ἀπολελαυκώς, καὶ οὐδὲν καρπωσάμενος.

3. Εἶτα πρὸς τὴν πόλιν ἀποστρέφει τὸν λόγον, καὶ ταύτῃ παιδεῦσαι βουλόμενος τοὺς ἀκούοντας, καί φησιν· «Ἰερουσαλήμ, Ἰερουσαλήμ». Τί βούλεται ὁ διπλασιασμός; Ἐλεοῦντος αὐτὴν καὶ ταλανίζοντος τοῦτο τὸ σχῆμα, καὶ σφόδρα φιλοῦντος. Ὥσπερ γὰρ πρὸς ἐρωμένην, φιληθεῖσαν μὲν διαπαντός, καταφρονήσασαν δὲ τοῦ ἐραστοῦ, καὶ διὰ τοῦτο κολάζεσθαι μέλλουσαν, ἀπολογεῖται λοιπὸν μέλλων ἐπάγειν τὴν κόλασιν. Ὃ καὶ ἐν τοῖς προφήταις ποιεῖ λέγων· «εἶπον, ἀνάστρεψον πρός με, καὶ οὐκ ἀνέστρεψεν». Εἶτα καλέσας αὐτήν, λέγει καὶ τὰς μιαιφονίας αὐτῆς· «ἡ ἀποκτέννουσα τοὺς προφήτας καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλμένους πρὸς αὐτήν, ποσάκις ἠθέλησα συναγαγεῖν τὰ τέκνα σου, καὶ οὐκ ἠθελήσατε;» καὶ ταύτῃ ὑπὲρ τῶν καθ' ἑαυτὸν ἀπολογούμενος, ὅτι οὐδὲ τούτοις με ἀπέστρεψας, οὐδὲ ἀπέστησας

8. Ἱερ. 8, 7.

ἐφόνευσαν τυχαίους ἀνθρώπους, ἀλλὰ προφήτας καὶ σοφούς, ὥστε νὰ μὴ ἠμποροῦν νὰ κατηγοροῦν αὐτούς. Προφήτας δὲ ὀνομάζει τοὺς ἀποστόλους καὶ τοὺς μετέπειτα μαθητάς, καθ' ὅσον πολλοὶ ἀπὸ αὐτοὺς προεφήτευον.

Ἔπειτα, ἐπειδὴ ἤθελε νὰ αὐξήσῃ τὸν φόβον των, λέγει «Ἀλήθεια σᾶς λέγω, ὅλα αὐτὰ θὰ συμβοῦν εἰς τὴν γενεὰν αὐτήν», δηλαδὴ θὰ τὰ ρίξω ὅλα εἰς τὰς κεφαλάς σας καὶ θὰ εἶναι πολὺ μεγάλη ἡ τιμωρία ποὺ θὰ ἐπιβάλλω. Διότι αὐτὸς ποὺ ἐγνώρισε πολλοὺς ποὺ ἡμάρτησαν καὶ δὲν ἐσωφρονίσθη, ἀλλὰ καὶ ὁ ἴδιος πάλιν ἔπεσεν εἰς τὰ ἴδια ἁμαρτήματα, καὶ ὄχι εἰς αὐτὰ μόνον, ἀλλὰ καὶ εἰς πολὺ φοβερότερα, δίκαιον θὰ ἦτο νὰ ὑποστῇ πολὺ πιὸ φοβερὰν τιμωρίαν. Διότι ὅπως, ἐὰν ἤθελε, θὰ εἶχε μεγάλα κέρδη ἐὰν θὰ ἐγίνετο καλύτερος μὲ τὰ παραδείγματα τῶν ἄλλων, ἔτσι, ἐπειδὴ ἔμενεν ἀδιόρθωτος, εἶναι ὑπεύθυνος μεγαλυτέρας τιμωρίας, διότι ἂν καὶ ἀπῆλαυσε περισσοτέρας νουθεσίας δι' ἐκείνων ποὺ παλαιότερον ἡμάρτησαν καὶ ἐτιμωρήθησαν, αὐτὸς δὲν ὠφελήθη εἰς τίποτε.

3. Ἀκολούθως στρέφει τὸν λόγον πρὸς τὴν πόλιν, θέλων μὲ αὐτὸ νὰ διδάξῃ τοὺς ἀκροατάς του, καὶ λέγει· «Ἱερουσαλήμ, Ἱερουσαλήμ». Τί χρειάζεται ἡ διπλῆ ἐκφώνησις; Αὐτὸ εἶναι τρόπος ἐκφράσεως αὐτοῦ ποὺ ἐλεεῖ καὶ ταλανίζει τὴν πόλιν καὶ ἀγαπᾷ ὑπερβολικὰ αὐτήν. Διότι ὡσὰν ἀκριβῶς πρὸς μίαν ἐρωμένην, ποὺ ἠγαπήθη μὲν εἰς μεγάλον βαθμὸν ἀπὸ τὸν ἐραστήν της, ἀλλ' ὅμως κατεφρόνησεν αὐτὸν καὶ διὰ τοῦτο πρόκειται νὰ τιμωρηθῇ, ἀπολογεῖτε πλέον, διότι πρόκειται νὰ τὴν τιμωρήσῃ, πρᾶγμα ποὺ τὸ κάνει καὶ διὰ τῶν προφητῶν λέγων· «Εἶπα γύρισε πρὸς ἐμένα, καὶ δὲν ἐπέστρεψεν»[8]. Ἔπειτα, ἀφοῦ ἀνέφερε τὸ ὄνομα αὐτῆς, ἀναφέρει καὶ τὰς μιαιφονίας αὐτῆς· «Ἡ ὁποία φονεύει τοὺς προφήτας καὶ λιθοβολεῖ τοὺς ἀπεσταλμένους πρὸς ἐσένα. Πόσες φορὲς ἠθέλησα νὰ συγκεντρώσω τὰ παιδιά σου, καὶ δὲν τὸ ἠθελήσατε;»· καὶ μὲ τὸν τρόπον αὐτὸν ἀπολογεῖται διὰ τοὺς ἰδικούς του, ὅτι δηλαδὴ οὔτε μὲ αὐ-

τῆς περὶ σὲ πολλῆς εὐνοίας, ἀλλ' ἠθέλησα καὶ οὕτω, καὶ οὐχ ἅπαξ καὶ δίς, ἀλλὰ πολλάκις σε ἐπισπάσασθαι. «Ποσάκις» γάρ, φησίν, «ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα ὑμῶν, ὥσπερ ὄρνις τὰ νοσσία ἑαυτῆς, καὶ οὐκ ἠθελήσατε;». Τοῦτο δὲ λέγει, δηλῶν ὅτι ἀεὶ ἑαυτοὺς ἐσκόρπιζον διὰ τῶν ἁμαρτημάτων. Καὶ τὸ φιλόστοργον ἀπὸ τῆς εἰκόνος ἐνδείκνυται· καὶ γὰρ θερμὸν τὸ ζῶον περὶ τὰ ἔκγονα. Καὶ πανταχοῦ δὲ τῶν προφητῶν ἡ εἰκὼν αὕτη τῶν πτερύγων, καὶ ἐν τῇ ᾠδῇ Μωϋσέως καὶ ἐν τοῖς ψαλμοῖς, τὴν πολλὴν σκέπην καὶ πρόνοιαν ἐνδεικνυμένη.

Ἀλλ' οὐκ ἠθελήσατε, φησίν. «Ἰδοὺ ἀφίεται ὁ οἶκος ὑμῶν ἔρημος», γυμνὸς τῆς παρ' ἐμοῦ βοηθείας. Ἆρα αὐτὸς ἦν ὁ καὶ ἔμπροσθεν αὐτῶν προϊστάμενος, καὶ συνέχων καὶ διακρατῶν· ἄρα αὐτὸς αὐτούς ἐστιν ὁ κολάζων ἀεί. Καὶ τίθησι τιμωρίαν, ἣν ἀεὶ ἐδεδοίκεισαν μεθ' ὑπερβολῆς· αὕτη γὰρ πᾶσαν αὐτῶν τὴν ἀναιροπὴν τῆς πολιτείας ἐδήλου. «Λέγω γὰρ ὑμῖν, οὐ μή με ἴδητε ἀπάρτι, ἕως ἂν εἴπητε, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου». Καὶ τοῦτο ἐρασιοῦ τὸ ῥῆμα σφοδροῦ, σφόδρα αὐτοὺς καὶ ἀπὸ τῶν μελλόντων ἐπισπωμένου, οὐκ ἀπὸ τῶν παρελθόντων μόνον ἐντρέποντος· τὴν γὰρ μέλλουσαν ἡμέραν τῆς δευτέρας παρουσίας ἐνταῦθα λέγει.

Τί οὖν; οὐκ εἶδον αὐτὸν ἔκτοτε; Ἀλλ' οὐχὶ τὴν ὥραν ἐκείνην δηλοῖ λέγων, ἀπάρτι, ἀλλὰ τὸν καιρὸν τὸν μέχρι τοῦ σταυροῦ. Ἐπειδὴ γὰρ ἀεὶ αὐτοὶ τοῦτο ἐνεκάλουν, ὅτι ἀντίθεός τίς ἐστι καὶ ἐχθρὸς τῷ Θεῷ, ἀπὸ τούτου αὐτοὺς προτρέπει ἀγαπᾶν αὐτόν, τῷ συμφωνοῦντα ἑαυτὸν δεικνύναι

τὰς τὰς ἐνεργείας σου μὲ ἔκανες νὰ φύγω ἀπὸ κοντά σου, οὔτε ἐστερήθης τῆς πολλῆς εὐνοίας μου πρὸς ἐσένα, ἀλλ' ἠθέλησα καὶ ἔτσι, ὄχι μίαν καὶ δύο, ἀλλὰ πολλὲς φορές, νὰ σὲ ὁδηγήσω κοντά μου. Διότι, λέγει, «Πόσες φορὲς ἠθέλησα νὰ συγκεντρώσω τὰ παιδιά σου, ὅπως ἀκριβῶς ἡ ὄρνιθα τὰ πουλάκια της, καὶ δὲν τὸ ἠθελήσατε;». Αὐτὸ δὲ τὸ λέγει διὰ νὰ δείξῃ ὅτι, πάντοτε ἀπεμάκρυνον τοὺς ἑαυτούς των ἀπὸ κοντά του μὲ τὰ ἁμαρτήματά των. Καὶ τὴν φιλοστοργίαν του μὲ τὴν εἰκόνα δείχνει, καθ' ὅσον αὐτὸ τὸ πτηνὸν δείχνει πολλὴν στοργὴν πρὸς τὰ παιδιά του. Καὶ παντοῦ εἰς τοὺς προφήτας συναντᾶται αὐτὴ ἡ εἰκὼν τῶν πτερύγων, καὶ εἰς τὴν ᾠδὴν τοῦ Μωϋσέως καὶ εἰς τοὺς Ψαλμούς, δεικνύουσα τὴν μεγάλην προστασίαν καὶ πρόνοιαν.

Ἀλλά, λέγει, δὲν ἠθελήσατε. «Νά, ἐγκαταλείπεται ἔρημος ἡ οἰκία σας», γυμνὴ ἀπὸ τὴν βοήθειάν μου. Ἄρα αὐτὸς ἦτο ἐκεῖνος ποὺ ἐβάδιζε μπροστὰ ἀπὸ αὐτοὺς καὶ τοὺς συνεκράτει καὶ τοὺς ἐπροστάτευεν· ἄρα αὐτὸς εἶναι ποὺ τιμωρεῖ αὐτοὺς πάντοτε. Καὶ προβάλλει τιμωρίαν, τὴν ὁποίαν πάντοτε ἐφοβοῦντο ὑπερβολικά· διότι αὐτὴ ἡ τιμωρία ἐφανέρωνεν ὁλόκληρον τὴν ἀνατροπὴν τῆς ὅλης ζωῆς των. «Διότι σᾶς λέγω, ὅτι ἀπὸ τώρα καὶ εἰς τὸ ἑξῆς δὲν θὰ μὲ ἰδῆτε, μέχρις ὅτου εἰπῆτε, εὐλογημένος ἂς εἶναι ἐκεῖνος ποὺ ἔρχεται ἐν ὀνόματι τοῦ Κυρίου». Καὶ αὐτὸς εἶναι λόγος ἐραστοῦ ποὺ ἀγαπᾷ ὑπερβολικά, ποὺ τοὺς ἀποσπᾷ εἰς ὑπερβολικὸν βαθμὸν καὶ ἀπὸ τὰς μελλοντικὰς τιμωρίας, καὶ δὲν τοὺς κάνει νὰ νοιώσουν ἐντροπὴν μόνον διὰ τὰ ὅσα συνέβησαν κατὰ τὸ παρελθόν· διότι ἐδῶ ἐννοεῖ τὴν μέλλουσαν ἡμέραν τῆς δευτέρας παρουσίας του.

Τί λοιπόν; δὲν τὸν εἶδον αὐτὸν ἀπὸ τότε; Ἀλλὰ λέγων, «ἀπάρτι», δὲν ἐννοεῖ τὴν ὥραν ἐκείνην, ἀλλὰ τὸν χρόνον ποὺ ἐμεσολάβησε μέχρι τὸν σταυρικὸν θάνατόν του. Διότι, ἐπειδὴ αὐτοὶ πάντοτε αὐτὴν τὴν κατηγορίαν προέβαλλον, ὅτι εἶναι κάποιος ἀντίθετος καὶ ἐχθρὸς τοῦ Θεοῦ, ἀπὸ αὐτὸ τοὺς προτρέπει νὰ τὸν ἀγαποῦν, ἀπὸ τὸ ὅτι εἶναι

τῷ Παιρὶ καὶ δείκνυσιν αὐτὸν ὄντα τὸν ἐν τοῖς προφήταις. Διὸ καὶ τοῖς αὐτοῖς κέχρηται ῥήμασιν, οἵσπερ καὶ ὁ προφήτης. Διὰ δὲ τούτων καὶ τὴν ἀνάστασιν ᾐνίξατο καὶ τὴν δευτέραν παρουσίαν, καὶ ἐδήλωσε καὶ τοῖς σφόδρα ἀπιστοῦσιν, ὅτι τότε πάντως αὐτὸν προσκυνήσουσι. Καὶ πῶς τοῦτο ἐδήλωσε; Πολλὰ εἰπὼν πρότερον ἐσόμενα· ὅτι ἀποστελεῖ προφήτας· ὅτι ἀναιρήσουσιν αὐτούς· ὅτι ἐν ταῖς συναγωγαῖς· ὅτι πείσονται τὰ ἔσχατα αὐτοί· ὅτι ἐρημωθήσεται ὁ οἶκος· ὅτι ὑποστήσονται πάντων χαλεπώτερα, καὶ οἷα μηδέποτε πρότερον. Ταῦτα γὰρ πάντα καὶ τοῖς σφόδρα ἀνοήτοις καὶ φιλονείκοις ἱκανὰ ἦν παρέξειν καὶ ἐκείνου τοῦ ἐν τῇ παρουσίᾳ αὐτοῦ ἐσομένου ἀπόδειξιν.

Ἐρήσομαι γὰρ αὐτούς· ἀπέστειλε προφήτας καὶ σοφούς; ἀνεῖλον αὐτοὺς ἐν ταῖς συναγωγαῖς; ἀφέθη ὁ οἶκος αὐτῶν ἔρημος; ἦλθε πάντα ἐπὶ τὴν γενεὰν ἐκείνην τὰ τῆς τιμωρίας; Εὔδηλον ὅτι, καὶ οὐδεὶς ἀντερεῖ. Ὥσπερ οὖν ταῦτα πάντα ἐξέβη, οὕτω κἀκεῖνα ἐκβήσεται, καὶ πάντως ὑποκύψουσι τότε. Ἀλλ' οὐδὲν ὄφελος ἐντεῦθεν εἰς ἀπολογίαν αὐτοῖς, ὥσπερ οὖν οὐδὲ τοῖς πολιτείας ἕνεκεν μετανοοῦσι τότε. Διόπερ ἕως ἐστὶ καιρός, πράττωμεν τὰ ἀγαθά. Ὥσπερ γὰρ ἐκείνοις τῆς γνώσεως λοιπὸν ὄφελος οὐδέν, οὕτως οὐδὲ ἡμῖν αὐτοῖς τῆς ἐπὶ τῇ πονηρίᾳ μετανοίας. Οὔτε γὰρ κυβερνήτῃ, τῆς θαλάσσης ὑπερενεχθείσης τοῦ σκάφους παρὰ τὴν αὐτοῦ ῥαθυμίαν, οὐκ ἰατρῷ, τοῦ κάμνοντος ἀπελθόντος, ἔσται τι πλέον, ἀλλ' ἕκαστον τούτων πρὸ τοῦ τέλους πάντα χρὴ μηχανᾶσθαι καὶ πραγματεύεσθαι, ὥστε μηδενὶ κιν-

σύμφωνος μὲ τὸν Πατέρα, καὶ δείχνει ὅτι αὐτὸς ἦτο ποὺ ὡμίλει διὰ τῶν προφητῶν. Διὰ τοῦτο χρησιμοποιεῖ καὶ τὰ ἴδια λόγια τὰ ὁποῖα ἐχρησιμοποίει καὶ ὁ προφήτης. Μὲ αὐτὰ τὰ λόγια δὲ ὑπηνίχθη καὶ τὴν ἀνάστασιν καὶ τὴν δευτέραν παρουσίαν, καὶ ἐδήλωσεν εἰς τοὺς πάρα πολὺ ἀπιστοῦντας, ὅτι τότε ὀπωσδήποτε θὰ τὸν προσκυνήσουν. Καὶ πῶς τὸ ἐδήλωσεν αὐτό; Μὲ τὸ ὅτι προεῖπε πολλὰ ποὺ θὰ συμβοῦν. Ὅτι δηλαδὴ θ' ἀποστείλῃ προφήτας, ὅτι θὰ τοὺς φονεύσουν, καὶ ὅτι θὰ τοὺς φονεύσουν μέσα εἰς τὰς συναγωγάς, ὅτι θὰ πάθουν τὰ πιὸ φοβερὰ πράγματα, ὅτι θὰ ἐρημωθῇ ὁ οἶκος των, ὅτι θὰ ὑποστοῦν τὰ χειρότερα ἀπὸ ὅλους καὶ τέτοια ποὺ οὐδέποτε προηγουμένως ἔπαθον. Ὅλα αὐτὰ λοιπὸν ἦσαν ἱκανὰ ν' ἀποδείξουν καὶ εἰς τοὺς πάρα πολὺ ἀνοήτους καὶ φειλονίκους καὶ ἐκεῖνα ποὺ θὰ συμβοῦν κατὰ τὴν δευτέραν παρουσίαν του.

Θὰ τοὺς ἐρωτήσωμεν λοιπόν. Ἀπέστειλε προφήτας καὶ σοφούς; τοὺς ἐφόνευσαν μέσα εἰς τὰς συναγωγάς; ἐρημώθη ὁ οἶκος των; συνέβησαν ὅλαι ἐκεῖναι αἱ τιμωρίαι κατὰ τὴν γενεὰν ἐκείνην; Εἶναι φανερὸν ὅτι συνέβησαν καὶ ὅτι κανεὶς δὲν θὰ φέρῃ ἀντίρρησιν. Ὅπως λοιπὸν συνέβησαν ὅλα αὐτά, ἔτσι θὰ συμβοῦν καὶ ἐκεῖνα καὶ ὀπωσδήποτε θὰ ὑποκύψουν τότε καὶ αὐτοί. Ἀλλ' ὅμως ἀπὸ τὴν ὑποταγήν των αὐτὴν δὲν θὰ ἔχουν κανένα ὄφελος πρὸς ἀπολογίαν, ὅπως ἀκριβῶς βέβαια δὲν θὰ ὑπάρξῃ ὄφελος οὔτε εἰς ἐκείνους ποὺ θὰ μετανοοῦν τότε διὰ τὴν ζωήν των. Διὰ τοῦτο ὅσον εἶναι καιρός, ἂς πράττωμεν καλὰ ἔργα. Διότι ὅπως ἀκριβῶς ἐκεῖνοι δὲν ὠφελοῦνται εἰς τίποτε πλέον ἀπὸ τὸ νὰ τὸν γνωρίσουν τότε, ἔτσι οὔτε καὶ ἡμεῖς οἱ ἴδιοι, ἐὰν μετανοήσωμεν τότε διὰ τὴν πονηρίαν μας. Διότι οὔτε εἰς τὸν κυβερνήτην τοῦ πλοίου δὲν μένει τίποτε πλέον, ὅταν ἡ θάλασσα καταβυθίσῃ τὸ πλοῖον του ἐξ αἰτίας τῆς ὀκνηρίας του, οὔτε εἰς τὸν ἰατρόν, ὅταν ἀποθάνῃ ὁ ἀσθενής, ἀλλὰ καθένας ἀπὸ αὐτοὺς πρέπει πρὶν ἀπὸ τὸ τέλος νὰ σκέπτεται τὰ πάντα καὶ νὰ ἐνεργῇ καταλλήλως, ὥστε

δύνῳ περιπεσεῖν, μηδὲ αἰσχύνῃ· μετὰ δὲ ταῦτα πάντα ἀνόνητα.

Καὶ ἡμεῖς τοίνυν ἕως ἂν ὦμεν ἐν τῇ νόσῳ καὶ ἰατροὺς παρακαλῶμεν καὶ χρήματα ἀναλίσκωμεν καὶ σπουδὴν διηνεκῆ εἰσφέρωμεν, ἵνα ἀνασιάντες ἀπὸ τῆς κακίας, ὑγιεῖς ἐντεῦθεν ἀπέλθωμεν. Καὶ ὅσην περὶ τοὺς δούλους τοὺς ἡμετέρους ποιούμεθα πρόνοιαν, ὅταν αὐτῶν τὰ σώματα κάμνῃ, τοσαύτην περὶ ἡμᾶς αὐτοὺς ἐπιδειξώμεθα, τῆς ψυχῆς ἡμῶν νοσούσης. Καίτοι τῶν οἰκετῶν ἡμεῖς ἐγγύτεροι ἑαυτοῖς, καὶ τῶν σωμάτων τῶν ἐκείνων αἱ ψυχαὶ ἀναγκαιότεραι, ἀλλ' ὅμως ἀγαπητόν, κἂν τὴν ἴσην γοῦν σπουδὴν εἰσενέγκωμεν. Ἂν γὰρ μὴ νῦν τοῦτο πράξωμεν, ἀπελθόντας λοιπὸν οὐδὲν ἔνι καρπώσασθαι εἰς ἀπολογίας λόγον.

4. Καὶ τίς οὕτως ἄθλιος, φησίν, ὡς μηδὲ τοσαύτην ἐπιδείκνυσθαι πρόνοιαν; Τοῦτο γάρ ἐστι τὸ θαυμαστόν, ὅτι οὕτως ἐσμὲν ἄτιμοι παρ' ἡμῖν αὐτοῖς, ὡς καὶ τῶν οἰκετῶν μᾶλλον ἑαυτῶν καταφρονεῖν. Τῶν μὲν γὰρ οἰκετῶν πυρεττόντων, καὶ ἰατροὺς καλοῦμεν καὶ οἰκίαν ἀφορίζομεν, καὶ τοῖς νόμοις πείθεσθαι τῆς τέχνης ἐκείνης καταναγκάζομεν· καὶ ἀμελουμένων τούτων, χαλεποί τε αὐτοῖς γινόμεθα καὶ φύλακας παρακαθιστῶμεν, τοὺς οὐδὲ βουλομένοις αὐτοῖς τὴν οἰκείαν πληροῦν ἐπιθυμίαν ἐπιτρέποντας· κἂν εἴπωσιν οἱ ἐπιμελόμενοι τούτων, φάρμακα δεῖν πολλῆς κατασκευασθῆναι τιμῆς, εἴκομεν· κἂν ὁτιοῦν ἐπιτάξωσι, πειθόμεθα, καὶ μισθοὺς αὐτοῖς τῶν προσταγμάτων τούτων τελοῦμεν. Ὅταν δὲ ἡμεῖς κάμνωμεν - μᾶλλον δὲ οὐκ ἔστιν ὅτε οὐ κάμνομεν - οὐδὲ ἰατρὸν εἰσάγομεν, οὐ χρήματα ἀναλίσκομεν, ἀλλ' ὥσπερ δη-

νὰ μὴ περιπέσῃ εἰς κανένα κίνδυνον καὶ εἰς καμμίαν αἰσχύνην· μετὰ τὴν καταστροφὴν ὅλα αὐτὰ εἶναι ἀνώφελα.

Καὶ ἡμεῖς λοιπόν, ὅσον χρόνον εἴμεθα ἀσθενεῖς τότε καὶ ἰατροὺς προσκαλοῦμεν καὶ χρήματα ἐξοδεύομεν καὶ φροντίδα διαρκῆ καταβάλλομεν, ὥστε ἀφοῦ θεραπευθῶμεν ἀπὸ τὴν ἀσθένειάν μας, νὰ φύγωμεν ὑγιεῖς ἀπὸ ἐδῶ. Καὶ ὅσην φροντίδα καταβάλλομεν διὰ τοὺς δούλους μας, ὅταν ἀρρωσταίνουν τὰ σώματά των, τόσην φροντίδα ἂς δείξωμεν καὶ διὰ τοὺς ἰδίους τοὺς ἑαυτούς μας ὅταν ἀσθενῇ ἡ ψυχή μας. Καὶ μολονότι βέβαια ἡμεῖς εὑρισκόμεθα πλησιέστερον πρὸς τοὺς ἑαυτούς μας, παρὰ πρὸς τοὺς ὑπηρέτας μας, καὶ αἱ ψυχαί μας εἶναι ἀναγκαιότεραι ἀπὸ τὰ σώματα ἐκείνων, ἀλλ' ὅμως εὐχάριστον θὰ εἶναι νὰ δείξωμεν ἔστω καὶ ἴσην τουλάχιστον φροντίδα. Διότι, ἂν δὲ κάνωμεν τώρα αὐτό, ὅταν φύγωμεν πλέον ἀπὸ αὐτὴν τὴν ζωήν, δὲν εἶναι δυνατὸν νὰ εὕρωμεν κανένα λόγον διὰ νὰ δικαιολογηθῶμεν.

4. Καὶ ποῖος εἶναι τόσον ἄθλιος, θὰ εἰπῇ κάποιος, ὥστε νὰ μὴ δείχνῃ οὔτε τόσην τουλάχιστον φροντίδα; Πράγματι αὐτὸ εἶναι τὸ ἀξιοθαύμαστον, ὅτι δείχνομεν τόσην περιφρόνησιν εἰς τὸν ἑαυτόν μας, ὥστε νὰ περιφρονοῦμεν τοὺς ἑαυτούς μας περισσότερον καὶ ἀπὸ τοὺς ὑπηρέτας μας. Διότι, ὅταν οἱ ὑπηρέται μας πάσχουν ἀπὸ πυρετόν, καὶ ἰατροὺς καλοῦμεν καὶ τὴν οἰκίαν κλείομεν καὶ εἴμεθα ὑποχρεωμένοι νὰ ὑπακούωμεν εἰς τοὺς νόμους τῆς ἰατρικῆς τέχνης, καὶ ὅταν ἐκεῖνοι δὲν φροντίζουν καὶ γινόμεθα αὐστηροὶ πρὸς αὐτοὺς καὶ τοποθετοῦμεν πλησίον των φύλακας, ποὺ δὲν τοὺς ἐπιτρέπουν νὰ κάνουν αὐτὸ ποὺ θέλουν αὐτοί. Καὶ ἂν εἴποῦν αὐτοὶ ποὺ τοὺς φροντίζουν, ὅτι χρειάζεται νὰ κατασκευασθοῦν φάρμακα μεγάλης ἀξίας, τὸ κάνομεν καὶ ὁποιαδήποτε ἐντολὴν δώσουν, τὴν ἐκτελοῦμεν καὶ πληρώνομεν εἰς αὐτοὺς μισθοὺς διὰ τὰς ἐντολάς των αὐτάς. Ὅταν ὅμως ἀσθενῶμεν ἡμεῖς, μᾶλλον δὲ δὲν ὑπάρχει στιγμὴ ποὺ νὰ μὴ εἴμεθα ἀσθενεῖς, οὔτε ἰατρὸν φέρομεν, οὔτε χρήματα ἐξοδεύομεν, ἀλλ' ὡσὰν νὰ εἶναι ἄρρωστος κάποιος δήμιος

μίου τινὸς καὶ ἐχθροῦ καὶ πολεμίου κειμένου, οὕτω τῆς ψυχῆς ἀμελοῦμεν. Καὶ ταῦτα λέγω, οὐκ ἐγκαλῶν τῇ θεραπείᾳ τῇ περὶ τοὺς οἰκέτας, ἀλλ' ἀξιῶν κἂν τοσαύτην τῆς ψυχῆς τῆς ἡμετέρας ποιήσασθαι ἐπιμέλειαν.

Καὶ πῶς ἂν ποιησαίμεθα; φησίν. Ἐπίδειξον αὐτὴν Παύλῳ νοσοῦσαν· εἰσάγαγε Ματθαῖον· παρακάθισον Ἰωάννην. Ἄκουσον παρ' αὐτῶν τί δεῖ ποιεῖν τὸν οὕτω κάμνοντα· πάντως ἐροῦσι, καὶ οὐκ ἀποκρύψονται. Ἀλλ' οὐ προσέχει, τῷ πυρετῷ κατεχομένη; Κατανάγκασον αὐτὴν σὺ καὶ τὸ λογικὸν αὐτῆς διέγειρον. Εἰσάγαγε τοὺς προφήτας. Οὐκ ἔστι χρήματα τοῖς ἰατροῖς καταθεῖναι τούτοις· οὔτε γὰρ αὐτοὶ μισθὸν ὑπὲρ αὐτῶν ἀπαιτοῦσιν, οὔτε ὑπὲρ φαρμάκων, ὧν κατασκευάζουσιν, οὐκ εἰς ἀνάγκην σε δαπάνης ἐμβάλλουσι, πλὴν τῆς ἐλεημοσύνης· ἐν τοῖς ἄλλοις δὲ καὶ προσδιδόασιν· οἷον, ὅταν κελεύωσι σωφρονῆσαι, ἀπαλλάττουσί σε ἀκαίρων καὶ ἀτόπων ἀναλωμάτων· ὅταν ἀπέχεσθαι μέθης, εὐπορώτερόν σε ποιοῦσιν.

Εἶδες ἰατρῶν τέχνην, μετὰ ὑγείας καὶ χρήματα παρεχόντων; Παρακάθισον τοίνυν αὐτοῖς, καὶ μάθε παρ' αὐτῶν τοῦ νοσήματός σου τὴν φύσιν. Οἷον, ἐρᾷς χρημάτων πολλάκις καὶ πλεονεξίας, ὥσπερ οἱ πυρέττοντες ψυχροῦ; Ἄκουσον γοῦν τί παραινοῦσιν. Ὥσπερ γὰρ ὁ ἰατρὸς σοί φησιν· ἐὰν χαρίσῃ τῇ ἐπιθυμίᾳ, ἀπολῇ, καὶ τὸ καὶ τὸ ὑποστήσῃ· οὕτω καὶ Παῦλος· «οἱ δὲ βουλόμενοι πλουτεῖν, ἐμπίπτουσιν εἰς πειρασμὸν καὶ παγίδα τοῦ διαβόλου καὶ ἐπιθυ-

καὶ ἐχθρὸς καὶ ἀντίπαλός μας, τέτοιαν ἀδιαφορίαν δείχνωμεν διὰ τὴν ψυχήν μας. Καὶ αὐτὰ τὰ λέγω ὄχι διὰ νὰ κατηγορήσω τὴν φροντίδα πού καταβάλλεται διὰ τὴν θεραπείαν τῶν ὑπηρετῶν, ἀλλὰ διὰ νὰ ζητήσω νὰ δείξετε ἔστω καὶ τόσην φροντίδα καὶ διὰ τὴν ψυχήν μας.

Καὶ πῶς θὰ ἠμπορέσωμεν, θὰ εἰπῇ κάποιος, νὰ τὸ κάνωμεν αὐτό; Δεῖξε τὴν ἀσθενῆ ψυχήν σου εἰς τὸν Παῦλον, φέρε ὡς ἰατρὸν τὸν Ματθαῖον, κάθισε δίπλα εἰς τὸν Ἰωάννην. Ἄκουσε ἀπὸ αὐτοὺς τί πρέπει νὰ κάμνῃ αὐτὸς ποὺ πάσχει ἀπὸ τέτοιαν ἀσθένειαν· ὁπωσδήποτε θὰ σοῦ τὸ εἰποῦν καὶ δὲν θὰ σοῦ τὸ ἀποκρύψουν. Διότι βέβαια δὲν ἀπέθανον, ἀλλὰ ζοῦν καὶ ὁμιλοῦν. Ἀλλὰ δὲν προσέχει ἡ ψυχή σου, ἐπειδὴ κατέχεται ἀπὸ τὸν πυρετόν; Κατανάγκασέ την σὺ καὶ διέγειρε τὸ λογικόν της. Φέρε ἐμπρός της τοὺς προφήτας. Δὲν χρειάζεται νὰ πληρώσῃς χρήματα εἰς αὐτοὺς τοὺς ἰατρούς, διότι οὔτε οἱ ἴδιοι ζητοῦν μισθὸν διὰ τὸν ἑαυτόν των, οὔτε διὰ τὰ φάρμακα πού κατασκευάζουν· δὲν σὲ ἐξαναγκάζουν νὰ κάνῃς ἄλλας δαπάνας, ἐκτὸς ἀπὸ τὴν ἐλεημοσύνην· ὡς πρὸς τὰ ἄλλα δὲ καὶ αὐξάνουν τὰ κέρδη σου, ὅπως ὅταν σὲ παραγγέλουν νὰ δείξῃς σωφροσύνην σὲ ἀπαλλάσσουν ἀπὸ περιττὰ καὶ παράλογα ἔξοδα, ὅταν σὲ παραγγέλλουν νὰ ἀπέχῃς ἀπὸ τὴν μέθην, σὲ κάνουν πλουσιώτερον.

Εἶδες τέχνην ἰατρῶν, ποὺ μαζὶ μὲ τὴν ὑγείαν παρέχουν καὶ χρήματα; Κάθισε λοιπὸν δίπλα των καὶ μάθε ἀπὸ αὐτοὺς τὸ εἶδος τῆς ἀσθενείας σου. Ἐπὶ παραδείγματι, ἀγαπᾷς πολλὲς φορὲς ὑπερβολικὰ τὰ χρήματα καὶ τὴν πλεονεξίαν, ὅπως ἀκριβῶς ἀγαποῦν τὸ κρύο αὐτοὶ ποὺ ὑποφέρουν ἀπὸ τὸν πυρετόν; Ἄκουσε λοιπὸν τί συμβουλὴν δίδουν. Διότι σοῦ ὁμιλοῦν ὅπως ἀκριβῶς σὲ συμβουλεύει ὁ ἰατρός· Ἐὰν ὑποκύψῃς εἰς τὴν ἐπιθυμίαν θὰ καταστραφῇς καὶ θὰ πάθῃς αὐτὸ καὶ αὐτό, ἔτσι καὶ ὁ Παῦλος. «Ἐκεῖνοι δὲ ποὺ ἐπιθυμοῦν νὰ πλουτίσουν, πίπτουν εἰς πειρασμὸν καὶ εἰς τὴν παγίδα τοῦ διαβόλου καὶ εἰς ἐπιθυμίας ἀνοήτους καὶ βλαβερὰς

μίας ἀνοήτους καὶ βλαβερᾶς, αἵτινες βυθίζουσι τοὺς ἀνθρώπους εἰς ὄλεθρον καὶ ἀπώλειαν».

Ἀλλ' ἀκαριέρητος εἶ; Ἄκουσον αὐτοῦ λέγοντος· «Ἔτι μικρόν, ὁ ἐρχόμενος ἥξει, καὶ οὐ χρονιεῖ»· «ὁ Κύριος ἐγγύς· μηδὲν μεριμνᾶτε». Καὶ πάλιν· «παράγει τὸ σχῆμα τοῦ κόσμου τούτου». Οὐδὲ γὰρ ἐπιτάττει μόνον, ἀλλὰ καὶ παραμυθεῖται, ὡς ἰατρός. Καὶ ὥσπερ ἐκεῖνοι ἀντὶ ψυχρῶν ἑτερά τινα ἐπινοοῦσιν, οὕτω καὶ οὗτος μετοχετεύει τὴν ἐπιθυμίαν. Βούλει πλουτεῖν; φησίν. Ἐν ἔργοις ἀγαθοῖς. Ἐπιθυμεῖς θησαυρίζειν; Οὐδὲν κωλύω· μόνον ἐν οὐρανοῖς. Καὶ ὥσπερ ὁ ἰατρὸς λέγει, ὅτι τὸ ψυχρὸν βλαβερὸν ὀδοῦσι, νεύροις, ὀστέοις, οὕτω καὶ αὐτός, συντομώτερον μέν, ἄτε βραχυλογίας ἐπιμελούμενος, σαφέστερον δὲ πολλῷ καὶ δυνατώτερον· «ρίζα γὰρ πάντων τῶν κακῶν ἡ φιλαργυρία», φησί. Τίνι οὖν δεῖ χρήσασθαι; Λέγει καὶ τοῦτο· τῇ αὐταρκείᾳ ἀντὶ πλεονεξίας. «Ἔστι γὰρ πορισμὸς μέγας», φησίν, «ἡ αὐτάρκεια μετ' εὐσεβείας». Εἰ δὲ δυσανασχετεῖς καὶ πλειόνων ἐπιθυμεῖς καὶ οὔπω χωρεῖς ῥῖψαι τὰ περιττὰ πάντα, λέγει καὶ τῷ οὕτως ἀρρώστῳ, καὶ τούτοις πῶς χρήσασθαι δεῖ. «Ἵνα οἱ χαίροντες ἐπὶ κτήμασιν, ὡς μὴ χαίροντες ὦσιν· καὶ οἱ ἔχοντες ὡς μὴ κατέχοντες· καὶ οἱ χρώμενοι τῷ κόσμῳ τούτῳ, ὡς μὴ καταχρώμενοι».

Εἶδες οἷα ἐπιτάττει; Βούλει καὶ ἕτερον ἐπεισαγάγω τούτῳ ἰατρόν; Ἔμοιγε δοκεῖ. Οὐδὲ γάρ εἰσιν οὗτοι οἱ ἰατροὶ καθάπερ οἱ τῶν σωμάτων, οἳ πολλάκις ἀντιφιλοτιμούμενοι ἀλλήλοις κατέδυσαν τὸν ἀρρωστοῦντα. Ἀλλ' οὐχ οὗτοι· πρὸς

9. Α΄ Τιμ. 6, 9.
10. Ἑβρ. 10, 37.
11. Φιλ. 4, 5.
12. Α΄ Κορ. 7, 31.
13. Α΄ Τιμ. 6, 10.
14. Α΄ Τιμ. 6, 6.
15. Α΄ Κορ. 7, 30-31.

ποὺ βυθίζουν τοὺς ἀνθρώπους εἰς τὸν ὄλεθρον καὶ τὴν ἀπώλειαν»[9].

Ἀλλὰ δὲν ἔχεις ὑπομονήν; Ἄκουσε τὸν ἴδιον ποὺ λέγει· «Ἀκόμη ὀλίγον καὶ ὁ ἐρχόμενος θὰ ἔλθῃ καὶ δὲν θὰ ἀργήσῃ»[10]. «Ὁ Κύριος εἶναι πλησίον· μὴ μεριμνᾶτε διὰ τίποτε»[11]. Καὶ πάλιν· «Παρέρχεται τὸ σχῆμα τοῦ κόσμου αὐτοῦ»[12]. Καὶ δὲν σὲ παραγγέλλει μόνον, ἀλλὰ καὶ σὲ παρηγορεῖ ὅπως ὁ ἰατρός. Καὶ ὅπως ἀκριβῶς ἐκεῖνοι ἀντὶ ψυχρῶν ἐπινοοῦν καὶ δίδουν εἰς τὸν ἀσθενῆ ὡρισμένα ἄλλα, ἔτσι καὶ αὐτὸς μεταφέρει ἀλλοῦ τὴν ἐπιθυμίαν σου. Θέλεις λέγει νὰ πλουτῇς; Πλούτισε εἰς ἔργα ἀγαθά. Ἐπιθυμεῖς νὰ θησαυρίζῃς; Δὲν σὲ ἐμποδίζω καθόλου· μόνον ὅμως θησαύριζε εἰς τοὺς οὐρανούς. Καὶ ὅπως ἀκριβῶς ὁ ἰατρὸς λέγει ὅτι τὸ ψυχρὸν εἶναι βλαβερὸν εἰς τὰ δόντια, εἰς τὰ νεῦρα, εἰς τὰ ὀστᾶ, ἔτσι καὶ αὐτός, συντομώτερα μέν, ἐπειδὴ φροντίζει διὰ τὴν βραχυλογίαν, σαφέστερα ὅμως καὶ πολὺ πιὸ δυνατά· διότι λέγει· «Ρίζα ὅλων τῶν κακῶν εἶναι ἡ φιλαργυρία»[13]. Πῶς λοιπὸν θὰ τὴν καταπολεμήσῃς; σοῦ τὸ λέγει καὶ αὐτὸ ὁ Παῦλος· μὲ τὴν αὐτάρκειαν ἀντὶ τῆς πλεονεξίας. Διότι, λέγει, «Εἶναι μεγάλο κέρδος ἡ αὐτάρκεια μαζὶ μὲ τὴν εὐσέβειαν»[14]. Ἐὰν ὅμως δυσανασχετῇς καὶ ἐπιθυμῇς περισσότερα καὶ δὲν ἠμπορῇς ἀκόμη νὰ ἀπορρίψῃς ὅλα τὰ περιττά, λέγει καὶ εἰς αὐτὸν ποὺ πάσχει ἀπὸ αὐτὴν τὴν ἀρρώστιαν πῶς πρέπει νὰ ἐνεργήσῃ καὶ εἰς αὐτὴν τὴν περίπτωσιν· «Ὥστε καὶ αὐτοὶ ποὺ χαίρονται διὰ τὰ κτήματά των, νὰ φαίνωνται ὡσὰν νὰ μὴ χαίρωνται, καὶ ἐκεῖνοι ποὺ ἔχουν ὡσὰν νὰ μὴ εἶναι κάτοχοι αὐτῶν, καὶ ἐκεῖνοι ποὺ ἀσχολοῦνται μὲ τὸν κόσμον, νὰ μὴ διαπράττουν καταχρήσεις»[15].

Εἶδες τί εἴδους ἐντολὰς δίδει; Θέλεις νὰ φέρω εἰς αὐτὸν τὸν ἀσθενῆ καὶ ἄλλον ἰατρόν; Ἐγὼ νομίζω ὅτι χρειάζεται. Διότι δὲν εἶναι αὐτοὶ οἱ ἰατροί, ὅπως οἱ ἰατροὶ τῶν σωμάτων, οἱ ὁποῖοι πολλὲς φορὲς ἀπὸ ἀντιζηλίαν μεταξύ των ὡδήγησαν εἰς τὸν θάνατον τὸν ἄρρωστον. Δὲν συμβαίνει ὅμως τὸ ἴδιο μὲ αὐτούς· διότι ἐνδιαφέρονται διὰ τὴν

γὰρ τὴν τῶν καμνόντων ὑγείαν, οὐ πρὸς τὴν οἰκείαν δρῶσι φιλοτιμίαν. Μὴ τοίνυν αὐτῶν δείσῃς τὸ πλῆθος· εἷς ἐν ἅπασι φθέγγεται διδάσκαλος ὁ Χριστός.

5. Ὅρα γοῦν εἰσελθόντα πάλιν ἕτερον καὶ χαλεπὰ λέγοντα περὶ τοῦ νοσήματος τούτου· μᾶλλον δὲ τὸν διδάσκαλον δι' αὐτοῦ· «Οὐ δύνασθε γὰρ Θεῷ δουλεύειν καὶ μαμωνᾷ». Ναί, φησί· καὶ πῶς ταῦτα ἔσται; πῶς τῆς ἐπιθυμίας παυσόμεθα; Ἐντεῦθεν καὶ τοῦτό ἐστι μαθεῖν. Καὶ πῶς εἰσόμεθα; Ἄκουσον αὐτοῦ καὶ τοῦτο λέγοντος· «Μὴ θησαυρίζετε ὑμῖν θησαυροὺς ἐπὶ τῆς γῆς, ὅπου σὴς καὶ βρῶσις ἀφανίζει, καὶ ὅπου κλέπται διορύττουσι καὶ κλέπτουσιν». Εἶδες πῶς ἀπὸ τοῦ τόπου, ἀπὸ τῶν λυμαινομένων, ἀπάγει τῆς ἐπιθυμίας ταύτης τῆς ἐνταῦθα, καὶ προσηλοῖ τῷ οὐρανῷ, ὅπου πάντα ἀνάλωτα; Ἂν γάρ, φησι, μεταθῆτε τὸν πλοῦτον ἐκεῖ, ὅπου οὔτε σής, οὔτε βρῶσις ἀφανίζει, οὔτε κλέπται διορύττουσι καὶ κλέπτουσι, καὶ ταύτην ἀποκρούσεσθε τὴν νόσον, καὶ τὴν ψυχὴν ἐν μεγίστῃ κατασιήσετε εὐπορίᾳ.

Μετὰ δὲ τῶν εἰρημένων καὶ παράδειγμα εἰς μέσον ἄγει, σὲ σωφρονίζων. Καὶ καθάπερ ὁ ἰατρός, φοβῶν τὸν ἄρρωστον, φησίν, ὅτι ὁ δεῖνα ψυχρῷ χρησάμενος ἀπώλετο, οὕτω καὶ αὐτὸς εἰσάγει τὸν πλούσιον, κάμνοντα μέν, καὶ ἐπιθυμοῦντα ζωῆς καὶ ὑγιείας, οὐ δυνάμενον δὲ ἐπιτυχεῖν, διὰ τὸ πλεονεξίας ἐφίεσθαι, ἀλλ' ἀπιόντα κενόν. Καὶ μετὰ τοῦτον ἕτερόν σοι δείκνυσι πάλιν ἕτερος εὐαγγελιστής, τὸν ἀποιηγανιζόμενον, καὶ οὐδὲ οἰκόγονος ὄντα κύριον. Εἶτα δεικνὺς ὅτι εὔκολα τὰ ἐπιτάγματα, φησίν, «ἐμβλέψατε εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ». Συγκαταβατικὸς δὲ ὢν, οὐδὲ τοι-

16. Ματθ. 6, 24.
17. Ματθ. 6, 19.
18. Ματθ. 19, 16.
19. Λουκᾶ 16, 24.
20. Ματθ. 6, 26.

ὑγείαν τῶν ἀρρώστων καὶ δὲν ἀποβλέπουν εἰς τὴν ἰδικήν των φιλοδοξίαν. Μὴ φοβηθῇς λοιπὸν τὸ πλῆθος αὐτῶν· ἕνας διδάσκαλος ὁμιλεῖ διὰ μέσου ὅλων αὐτῶν, ὁ Χριστός.

5. Πρόσεχε λοιπὸν καὶ ἄλλον πάλιν ποὺ εἰσέρχεται καὶ ποὺ λέγει αὐστηρὰ λόγια δι' αὐτὴν τὴν ἀσθένειαν, μᾶλλον δὲ τὸν διδάσκαλον ποὺ ὁμιλεῖ δι' αὐτοῦ· «Διότι δὲν ἠμπορεῖτε νὰ δουλεύετε εἰς τὸν Θεὸν καὶ τὸν Μαμωνᾶν»[16]. Ναὶ λέγει, καὶ πῶς θὰ γίνουν αὐτά; πῶς θὰ σταματήσωμεν τὴν ἐπιθυμίαν; Ἀπὸ τὸν ἴδιον θὰ τὸ μάθωμεν καὶ αὐτό. Καὶ πῶς θὰ τὸ μάθωμεν; Ἄκουσε αὐτὸν ποὺ τὸ λέγει καὶ αὐτό. «Μὴ θησαυρίζετε διὰ τοὺς ἑαυτούς σας θησαυροὺς ἐπάνω εἰς τὴν γῆν, ὅπου ὁ σκόρος καὶ ἡ φθορὰ τοὺς καταστρέφουν, καὶ ὅπου οἱ κλέπται κάνουν διαρρήξεις καὶ τοὺς κλέπτουν»[17]. Εἶδες πῶς ἀπὸ τὴν γῆν καὶ ἀπὸ αὐτὰ ποὺ καταστρέφουν ἀπομακρύνει τὴν πρόσκαιρον αὐτὴν ἐπιθυμίαν καὶ τὴν προσηλώνει εἰς τὸν οὐρανόν, ὅπου ὅλα εἶναι ἄφθαρτα; Διότι, λέγει, ἂν μεταθέσετε τὸν πλοῦτον σας ἐκεῖ, ὅπου οὔτε ὁ σκόρος, οὔτε ἡ φθορὰ τὸν καταστρέφουν, οὔτε κλέπται κάνουν διαρρήξεις καὶ τὸν κλέπτουν, καὶ θ' ἀποκρούσετε αὐτὴν τὴν ἀσθένειαν, καὶ τὴν ψυχὴν θὰ κάνετε πάρα πολὺ πλούσιαν.

Μαζὶ μὲ τοὺς λόγους του ἀναφέρει καὶ παράδειγμα διὰ νὰ σὲ σωφρονίσῃ. Καὶ ὅπως ἀκριβῶς ὁ ἰατρὸς διὰ νὰ φοβίσῃ τὸν ἄρρωστον, λέγει, ὅτι ὁ τάδε ἐχρησιμοποίησε κάτι τὸ κρύο καὶ ἀπέθανεν ἔτσι καὶ αὐτὸς ἀναφέρει τὸν πλούσιον[18], ποὺ εἶναι μὲν ἄρρωστοι καὶ ἐπιθυμεῖ ζωὴν αἰώνιον καὶ ὑγείαν, ἀλλὰ δὲν ἠμπορεῖ νὰ τὰ ἐπιτύχῃ, διότι εἶναι κυριευμένος ἀπὸ τὴν πλεονεξίαν καὶ φεύγει ἀπὸ τὸν κόσμον χωρὶς αὐτά. Καὶ μετὰ ἀπὸ αὐτὸν σοῦ παρουσιάζει καὶ πάλιν ἄλλον ἄλλος εὐαγγελιστής[19], αὐτὸν ποὺ κατακαίγεται εἰς τὴν κόλασιν καὶ ποὺ δὲν εἶναι κάτοχος οὔτε σταγόνας νεροῦ. Ἔπειτα, θέλων νὰ δείξῃ ὅτι εἶναι εὔκολα τὰ προστάγματά του, λέγει· «Ρίψατε τὸ βλέμμα σας εἰς τὰ πτηνὰ τοῦ οὐρανοῦ»[20]. Ἐπειδὴ ὅμως εἶναι συγκαταβατικός,

πλουτοῦντας ἀπογινώσκειν ἀφίησι. «Τὰ γὰρ παρὰ ἀνθρώποις ἀδύνατα, δυνατὰ παρὰ τῷ Θεῷ», φησί. Κἂν γὰρ πλούσιος ᾖς, δύναταί σε θεραπεῦσαι ὁ ἰατρός. Οὐδὲ γὰρ τὸ πλουτεῖν ἀνεῖλεν, ἀλλὰ τὸ δοῦλον εἶναι χρημάτων καὶ πλεονεξίας ἐρασιήν.

Πῶς οὖν δυνατὸν τὸν πλουτοῦντα σωθῆναι; Κοινὰ τὰ ὄντα τοῖς δεομένοις κεκτημένον, οἷος ἦν ὁ Ἰώβ, καὶ τὴν τοῦ πλείονος ἐπιθυμίαν ἐξορίζοντα ἀπὸ τῆς ψυχῆς, καὶ οὐδαμοῦ τὴν χρείαν ὑπερβαίνοντα τὴν ἀναγκαίαν. Δείκνυσί σοι μετὰ τούτων καὶ τοῦτον αὐτὸν τὸν τελώνην, τὸν σφόδρα κατεχόμενον τῷ πυρετῷ τῆς πλεονεξίας, ταχέως ἀπαλλαγέντα. Τί γὰρ τελώνου καπηλικώτερον; ἀλλ' ὅμως γέγονεν ἀκτήμων ὁ ἄνθρωπος, ἐκ τοῦ πείθεσθαι τοῖς τοῦ ἰατροῦ νόμοις. Καὶ γὰρ τοὺς μαθητὰς τοιούτους ἔχει, ταῦτα νοσήσαντας τὰ νοσήματα ἅπερ ἡμεῖς, καὶ ὑγιάνοντας ταχέως. Καὶ ἕκαστον αὐτῶν ἡμῖν δείκνυσιν, ὥστε μὴ ἀπογνῶναι. Ὅρα γοῦν τὸν τελώνην τοῦτον. Σκόπει πάλιν ἕτερον ἀρχιτελώνην, ὃς τετραπλασίονα μὲν ὑπέσχετο δώσειν, ὑπὲρ ὧν ἥρπασε, τὰ δὲ ἥμισυ πάντων ὧν ἐκέκτητο, ὥστε ὑποδέξασθαι τὸν Ἰησοῦν.

Ἀλλ' ἐκκαίῃ σὺ καὶ σφόδρα ἐπιθυμεῖς χρημάτων; Ἔχε τὰ πάντων ἀντὶ τῶν σῶν. Καὶ γὰρ πλειοκίας ἀνοίγων σοι κατὰ τὴν οἰκουμένην. «Ὃς γὰρ ἀφῆκε πατέρα ἢ μητέρα ἢ ἀγροὺς ἢ οἰκίαν, ἑκατονταπλασίονα λήψεται». Οὕτως οὐχὶ πλειόνων ἀπολαύσεις μόνον, ἀλλὰ καὶ τὸ χαλεπὸν τοῦτο δίψος ἀναιρήσεις παντάπασι, καὶ οἴσεις πάντα ῥᾳδίως, οὐ μόνον τῶν πλειόνων οὐκ ἐφιέμενος, ἀλλ' οὐδὲ τῶν ἀναγκαίων πολλάκις. Οὕτως ὁ Παῦλος πεινᾷ καὶ σεμνύνεται μᾶλλον, ἢ ὅτε ἤσθιεν. Ἐπεὶ καὶ ἀθλητὴς ἀγωνι-

---

21. Λουκᾶ 18, 27.
22. Λουκᾶ 5, 27ἑ.
23. Λουκᾶ 19, 8.
24. Ματθ. 19, 29.
25. Φιλιπ. 4, 11.

οὔτε τοὺς πλουσίους ἀφήνει εἰς τὴν ἀπόγνωσιν· διότι λέγει· «Τὰ ἀδύνατα εἰς τοὺς ἀνθρώπους, εἶναι δυνατὰ εἰς τὸν Θεόν»[21]. Καὶ ἂν ἀκόμη λοιπὸν εἶσαι πλούσιος ἠμπορεῖ νὰ σὲ θεραπεύσῃ ὁ ἰατρός. Οὔτε βέβαια ἀπηγόρευσε τὸν πλοῦτον, ἀλλὰ μόνον τὸ νὰ εἶναι κανεὶς δοῦλος τῶν χρημάτων, καὶ ἐραστὴς τῆς πλεονεξίας.

Πῶς λοιπὸν εἶναι δυνατὸν νὰ σωθῇ ὁ πλούσιος; Μὲ τὸ νὰ χρησιμοποιῇ ἀπὸ κοινοῦ τὰ ἀγαθά του μὲ ἐκείνους ποὺ ἔχουν ἀνάγκην, ὅπως δηλαδὴ ἦτο ὁ Ἰώβ, νὰ ἐκριζώνῃ ἀπὸ τὴν ψυχήν του τὴν ἐπιθυμίαν τῆς πλεονεξίας καὶ εἰς καμμίαν περίπτωσιν νὰ μὴ ὑπερβαίνῃ τὰ ἀναγκαῖα. Σοῦ δείχνει μαζὶ μὲ αὐτοὺς καὶ ἐκεῖνον τὸν τελώνην[22] ποὺ κατείχετο εἰς ὑπερβολικὸν βαθμὸν ἀπὸ τὸν πυρετὸν τῆς πλεονεξίας καὶ ποὺ ἀπηλλάγη ἀμέσως ἀπὸ αὐτήν. Διότι τί ἦτο περισσότερον ἐκμεταλλευτικὸν ἀπὸ τὸν τελώνην; ἀλλ' ὅμως ἔγινεν ἄνθρωπος ἀκτήμων, ἐπειδὴ ὑπήκουσεν εἰς τὰς ἐντολὰς τοῦ ἰατροῦ. Καθ' ὅσον καὶ οἱ μαθηταί του τέτοιοι ἦσαν, ἔπασχον ἀπὸ τὰ ἴδια νοσήματα ποὺ πάσχομεν καὶ ἡμεῖς, καὶ ἐθεραπεύθησαν ἀμέσως. Καὶ τὸν καθένα ἀπὸ αὐτοὺς μᾶς τὸν παρουσιάζει ὥστε νὰ μὴ καταλαμβανώμεθα ἀπὸ ἀπόγνωσιν. Πρόσεχε λοιπὸν αὐτὸν τὸν τελώνην. Σκέψου πάλιν καὶ ἄλλον ἀρχιτελώνην[23] ὁ ὁποῖος ὑπέσχετο νὰ δώσῃ τερταπλάσια δι' ὅσα ἥρπασε, καὶ τὰ ἡμίση ἀπὸ ὅλα τὰ ὑπάρχοντά του, ὥστε νὰ ὑποδεχθῇ τὸν Ἰησοῦν εἰς τὴν οἰκίαν του.

Ἀλλὰ μήπως φλέγεσαι καὶ ἐπιθυμεῖς ὑπερβολικὰ τὰ χρήματα; Ἔχε ἀντὶ τῶν ἰδικῶν σου τὰ χρήματα ὅλων. Καθ' ὅσον περισσότερα ἀπὸ ὅσα ζητεῖς σοῦ δίδω, λέγει, ἀνοίγων ἔμπροσθέν σου τὰς οἰκίας τῶν πλουσίων ὅλης τῆς οἰκουμένης. «Διότι ὅποιος ἐγκατέλειψε πατέρα ἢ μητέρα ἢ ἀγροὺς ἢ οἰκίαν, θὰ λάβῃ ἑκατονταπλάσια»[24]. Ἔτσι ὄχι μόνον θὰ ἀπολαύσῃς περισσότερα, ἀλλὰ πολλὲς φορὲς οὔτε καὶ τὰ ἀναγκαῖα. Ἔτσι ὁ Παῦλος ἐπεινοῦσε[25] καὶ ὑπερηφανεύετο περισσότερον δι' αὐτό, παρὰ ὅταν ἔτρωγε. Διότι καὶ

ζόμενος καὶ στεφανούμενος, οὐκ ἂν ἔλοιτο καταλῦσαι καὶ εἶναι ἐν ῥᾳστώνῃ· καὶ ἔμπορος τῶν ἐν θαλάττῃ πόρων ἁψάμενος, οὐκ ἂν ἐπιθυμήσειεν ἐν ἀργίᾳ εἶναι λοιπόν. Καὶ ἡμεῖς τοίνυν, ἂν γευσώμεθα ὡς χρὴ τῶν καρπῶν τῶν πνευματικῶν, λοιπὸν οὐδὲ ἡγησόμεθά τι τὰ παρόντα εἶναι, καθάπερ τινὶ μέθῃ καλλίστῃ τῇ τῶν μελλόντων ἐπιθυμίᾳ ἁλόντες.

Γευσώμεθα τοίνυν, ἵνα καὶ τοῦ θορύβου τῶν παρόντων ἀπαλλαγῶμεν καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ὁ ἀθλητὴς ποὺ ἀγωνίζεται καὶ στεφανοῦται δὲν θὰ ἐπροτιμοῦσε νὰ τρώγῃ ὑπερβολικὰ καὶ νὰ ζῇ μὲ ὀκνηρίαν· ἀλλὰ καὶ ὁ ἔμπορος ποὺ ἐδοκίμασε τὰ ἀγαθὰ τῆς θαλάσσης, δὲν θὰ ἦτο δυνατὸν νὰ ἐπιθυμήσῃ νὰ παραμένῃ εἰς τὸ ἐξῆς ἀργός. Καὶ ἡμεῖς λοιπὸν ἂν γευθῶμεν ὅπως πρέπει τοὺς καρποὺς τοὺς πνευματικούς, εἰς τὸ ἐξῆς δὲν θὰ ἐπιθυμήσωμεν τίποτε ἀπὸ τὰ παρόντα, κυριευθέντες ὡσὰν ἀπὸ κάποιαν ὡραιοτάτην μέθην, ἀπὸ τὴν ἐπιθυμίαν τῶν μελλοντικῶν ἀγαθῶν.

Ἂς τὰ γευθῶμεν λοιπόν, ὥστε καὶ ν' ἀπαλλαγῶμεν ἀπὸ τὸν θόρυβον τῶν παρόντων καὶ νὰ ἐπιτύχωμεν τῶν μελλοντικῶν ἀγαθῶν, μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα καὶ ἡ δύναμις, τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΟΕ′

Ματθ. 24, 1 - 15

«Καὶ ἐξελθὼν ὁ Ἰησοῦς ἀπὸ τοῦ ἱεροῦ, ἐπορεύετο. Καὶ προσῆλθον οἱ μαθηταὶ αὐτοῦ, ἐπιδεῖξαι αὐτῷ τὰς οἰκοδομὰς τοῦ ἱεροῦ. Ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς· οὐ βλέπετε ταῦτα πάντα; Ἀμὴν λέγω ὑμῖν, οὐ μὴ ἀφεθῇ ὧδε λίθος ἐπὶ λίθον, ὃς οὐ καταλυθήσεται».

1. Ἐπειδὴ γὰρ εἶπεν, ὅτι «ἀφίεται ὁ οἶκος ὑμῶν ἔρημος», καὶ μυρία ἔμπροσθεν προανεφώνησεν αὐτοῖς χαλεπά· εἶτα οἱ μαθηταὶ ταῦτα ἀκούσαντες, ὥσπερ θαυμάζοντες, προσῆλθον ἐπιδεικνύντες τοῦ ναοῦ τὸ κάλλος, καὶ διαποροῦντες εἰ τοσαῦτα ἀφανισθήσεται κάλλη καὶ ὕλης πολυτέλεια καὶ τέχνης ποικιλία ἄφατος· οὐκέτι λοιπὸν περὶ ἐρημίας ἁπλῶς αὐτοῖς διαλέγεται, ἀλλὰ παντελῆ προαναφωνεῖ τὸν ἀφανισμόν. «Οὐ βλέπετε γὰρ ταῦτα πάντα», φησί, καὶ θαυμάζετε καὶ ἐκπλήττεσθε; Οὐ μὴ μείνῃ λίθος ἐπὶ λίθον. Πῶς οὖν ἔμεινε; φησί. Καὶ τί τοῦτο; Οὐδὲ γὰρ οὕτω διέπεσεν ἡ ἀπόφασις. Ἢ γὰρ τὴν ἐρημίαν ἐνδεικνύμενος τὴν παντελῆ, ταῦτα ἔλεγεν, ἢ καὶ ἐκεῖνον τὸν τόπον, ἔνθα ἦν. Ἔστι γὰρ αὐτοῦ μέρη μέχρι τῶν θεμελίων ἠφανισμένα. Μετὰ δὲ τούτων κἀκεῖνο εἴποιμεν, ὅτι ἐκ τῶν γεγενημένων καὶ περὶ τῶν λειψάνων καὶ τοὺς σφόδρα φιλονεικοῦντας δεῖ πείθεσθαι, ὡς τέλειον ἀπολουμένων.

«Καθημένου δὲ αὐτοῦ ἐπὶ τοῦ ὄρους τῶν ἐλαιῶν, προσῆλθον οἱ μαθηταὶ κατ' ἰδίαν, λέγοντες· εἰπὲ ἡμῖν, πότε

ΟΜΙΛΙΑ ΟΕ΄
Ματθ. 24, 1 - 15

«Καὶ ἀφοῦ ἐξῆλθεν ὁ Ἰησοῦς ἀπὸ τὸ ναόν, ἀπεμακρύνετο. Καὶ τὸν ἐπλησίασαν οἱ μαθηταί του διὰ νὰ τοῦ δείξουν τὰ κτίρια τοῦ ναοῦ. Ὁ δὲ Ἰησοῦς ἀποκριθεὶς τοὺς εἶπε· Τὰ βλέπετε ὅλα αὐτά; Ἀλήθεια σᾶς λέγω, ὅτι δὲν θὰ μείνῃ ἐδῶ λίθος ἐπάνω εἰς λίθον ποὺ νὰ μὴ κρημνισθῇ».

1. Ἐπειδὴ δηλαδὴ εἶπεν ὅτι «ὁ οἶκος σας θὰ ἐρημωθῇ», καὶ ἐπροφήτευσε προηγουμένως εἰς αὐτοὺς πάρα πολλὰς συμφοράς, ἀκολούθως οἱ μαθηταὶ ὅταν ἤκουσαν αὐτά, ἀπὸ ἔκπληξιν μᾶλλον, τὸν ἐπλησίασαν διὰ νὰ τοῦ δείξουν τὸ κάλλος τοῦ ναοῦ, καὶ ἐπειδὴ ἀποροῦσαν, ἐὰν πράγματι θὰ ἐξαφανισθοῦν τόσον ὡραῖα πράγματα καὶ πολυτελῆ ὑλικὰ καὶ ποικίλα ἀπερίγραπτα καλλιτεχνήματα. Δὲν τοὺς ὁμιλεῖ πλέον ἁπλῶς περὶ ἐρημώσεως, ἀλλὰ προφητεύει ἐξ ὁλοκλήρου τὸν ἀφανισμὸν αὐτοῦ. Διότι, λέγει, «Δὲν τὰ βλέπετε ὅλα αὐτὰ» καὶ τὰ θαυμάζετε καὶ μένετε κατάπληκτοι; Δὲν θὰ μείνῃ λίθος ἐπάνω εἰς λίθον. Πῶς λοιπὸν τότε, λέγει, ἔμεινε; Καὶ τί σημασίαν ἔχει αὐτό; Διότι οὔτε ἔτσι ἔμεινεν ἀνεκπλήρωτος ἡ προφητεία. Διότι ἢ τὰ ἔλεγεν αὐτὰ ὑπαινισσόμενος τὴν ὁλοκληρωτικὴν καταστροφήν, ἢ ἐννοοῦσε τὴν καταστροφὴν τοῦ τόπου ἐκείνου εἰς τὸν ὁποῖον εὑρίσκετο. Διότι ὑπάρχουν μέρη τοῦ ναοῦ ποὺ εἶναι ἐξηφανισμένα ἐκ θεμελίων. Μαζὶ δὲ μὲ αὐτὰ καὶ ἐκεῖνο θὰ ἠμπορούσαμεν νὰ εἰποῦμεν, ὅτι ἀπὸ ὅσα συνέβησαν καὶ ἀπὸ τὰ ὅσα διεσώθησαν πρέπει νὰ πείθωνται οἱ ὑπερβολικὰ ἀμφιβάλλοντες ὡσὰν νὰ ἦτο ὁλοκληρωτικὴ ἡ καταστροφή.

«Ἐνῷ δὲ ἐκάθητο εἰς τὸ ὄρος τῶν Ἐλαιῶν, τὸν ἐπλησίασαν οἱ μαθηταί του ἰδιαιτέρως καὶ τοῦ εἶπαν· Εἰπέ μας,

ταῦτα ἔσται; καὶ τί τὸ σημεῖον τῆς σῆς παρουσίας καὶ τῆς συντελείας τοῦ αἰῶνος;». Διὰ τοῦτο καὶ᾽ ἰδίαν προσῆλθον, ἅτε ὑπὲρ τοιούτων πευσόμενοι. Καὶ γὰρ ὤδινον μαθεῖν τὴν ἡμέραν τῆς παρουσίας αὐτοῦ, διὰ τὸ σφόδρα ἐπιθυμεῖν τὴν δόξαν ἐκείνην ἰδεῖν τὴν μυρίων οὖσαν ἀγαθῶν αἰτίαν. Καὶ δύο ταῦτα ἐρωτῶσιν αὐτόν· «πότε ταῦτα ἔσται», τουτέστιν, ἡ τοῦ ναοῦ κατασκαφή, καὶ «τί τὸ σημεῖον τῆς σῆς παρουσίας». Ὁ δὲ Λουκᾶς ἓν φησιν εἶναι τὸ ἐρώτημα, τὸ περὶ τῶν Ἱεροσολύμων, ἅτε νομιζόντων αὐτῶν τότε καὶ τὴν παρουσίαν αὐτοῦ εἶναι. Ὁ δὲ Μᾶρκος οὐδὲ πάντας αὐτούς φησιν ἐρωτῆσαι περὶ τῆς συντελείας τῶν Ἱεροσολύμων, ἀλλὰ Πέτρον καὶ Ἰωάννην, ἅτε πλείονα παρρησίαν ἔχοντας.

Τί οὖν αὐτός; «Βλέπετε μή τις ὑμᾶς πλανήσῃ. Πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου, λέγοντες, ἐγώ εἰμι ὁ Χριστός, καὶ πολλοὺς πλανήσουσι. Μελλήσετε δὲ ἀκούειν πολέμους καὶ ἀκοὰς πολέμων. Ὁρᾶτε, μὴ θροεῖσθε· δεῖ γὰρ πάντα γενέσθαι, ἀλλ᾽ οὔπω τὸ τέλος». Ἐπειδὴ γὰρ ὡς περὶ ἀλλοτρίας τιμωρίας ἀκούοντες τῆς ἐπαγομένης τῇ Ἱερουσαλὴμ διέκειντο, καὶ ὡς ἔξω θορύβων ἐσόμενοι, καὶ τὰ ἀγαθὰ μόνα ὠνειροπόλουν, καὶ αὐτίκα μάλα αὐτὰ ἀπαντήσεσθαι προσεδόκων· διὰ τοῦτο πάλιν αὐτοῖς χαλεπὰ προαναφωνεῖ, ἐναγωνίους ποιῶν, καὶ κελεύων διπλῇ νήφειν, ὡς μήτε ὑπὸ τῆς ἀπάτης τῶν παραλογιζομένων φενακισθῆναι, μήτε ὑπὸ τῆς τυραννίδος τῶν καταληψομένων κακῶν διασθῆναι. Διπλοῦς γὰρ ὁ πόλεμος, φησίν, ἔσται, ὅ τε τῶν πλάνων, ὅ τε τῶν πολεμίων· ἀλλ᾽ ἐκεῖνος πολλῷ χαλεπώ-

1. Λουκᾶ 21, 1.
2. Μάρκ. 13, 4.

πότε θὰ συμβοῦν αὐτά; καὶ ποῖον θὰ εἶναι τὸ σημεῖον τοῦ ἐρχομοῦ σου τότε καὶ τῆς συντελείας τοῦ κόσμου;». Διὰ τοῦτο τὸν ἐπλησίασαν ἰδιαιτέρως, ἐπειδὴ ἤθελον νὰ τὸν ἐρωτήσουν δι' αὐτὰ τὰ πράγματα. Καθ' ὅσον μὲ ἀγωνίαν ἐζητοῦσαν νὰ μάθουν τὴν ἡμέραν τοῦ ἐρχομοῦ του ἐπειδὴ διεκατείχετο ἀπὸ τὴν σφοδρὰν ἐπιθυμίαν νὰ ἴδοῦν τὴν δόξαν ἐκείνην ποὺ εἶναι αἰτία ἀπείρων ἀγαθῶν. Καὶ διὰ δύο πράγματα τὸν ἐρωτοῦν· «Πότε θὰ συμβοῦν αὐτά», δηλαδὴ ἡ ἐκ θεμελίων καταστροφὴ τοῦ ναοῦ, καὶ «Ποῖον εἶναι τὸ σημεῖον τοῦ ἐρχομοῦ σου». Ὁ Λουκᾶς ὅμως λέγει ὅτι ἕνα εἶναι τὸ ἐρώτημα[1], τὸ περὶ τῆς καταστροφῆς τῶν Ἱεροσολύμων, ἐπειδὴ ἐνόμιζον ὅτι τότε θὰ συνέβαινε καὶ ὁ ἐρχομός του. Ὁ δὲ Μᾶρκος λέγει[2] ὅτι δὲν τὸν ἠρώτησαν ὅλοι οἱ μαθηταί του περὶ τῆς καταστροφῆς τῶν Ἱεροσολύμων, ἀλλὰ μόνον ὁ Πέτρος καὶ ὁ Ἰωάννης, ἐπειδὴ εἶχον μεγαλυτέραν παρρησίαν.

Τί ἀπήντησε λοιπὸν ὁ Κύριος; «Προσέχετε νὰ μὴ σᾶς πλανήσῃ κάποιος. Διότι πολλοὶ θὰ ἔλθουν ἐπ' ὀνόματί μου λέγοντες· ἐγὼ εἶμαι ὁ Χριστός, καὶ πολλοὺς θὰ πλανήσουν. Πρόκειται δὲ ν' ἀκούσετε πολέμους καὶ φήμας περὶ πολέμων. Προσέχετε, μὴ φοβηθῆτε· διότι εἶναι ἀνάγκη νὰ συμβοῦν ὅλα αὐτά, ἀλλὰ δὲν θὰ ἔλθῃ ἀκόμη τὸ τέλος». Διότι, ἐπειδὴ εἶχον τὴν ἐντύπωσιν, ἀκούοντες περὶ τῆς τιμωρίας τῆς Ἱερουσαλήμ, ὅτι ἐπρόκειτο περὶ ἄλλης τιμωρίας καὶ ὅτι θὰ ἦσαν αὐτοὶ ἔξω ἀπὸ τὰς ταραχὰς καὶ ὠνειροπολοῦσαν μόνον τὰ ἀγαθὰ καὶ συγχρόνως ἐπερίμεναν μὲ μεγάλην ἀγωνίαν νὰ τὰ ἀπολαύσουν. Διὰ τοῦτο πάλιν προφητεύει πρὸς αὐτοὺς δυσάρεστα γεγονότα, ὥστε ν' αὐξήσῃ τὴν ἀγωνίαν των καὶ τοὺς παραγγέλλει νὰ ἔχουν ἐστραμμένην τὴν προσοχήν των πρὸς δύο κατευθύνσεις, ὥστε οὔτε νὰ ἐξαπατηθοῦν ἀπὸ τὰ ἀπατηλὰ λόγια τῶν παραλόγων ἀνθρώπων, οὔτε νὰ ὑποφέρουν ἀπὸ τὴν τυραννίδα τῶν κακῶν ποὺ θὰ ἐπέλθουν. Διότι, λέγει, θὰ εἶναι διπλὸς ὁ πόλεμος, καὶ ὁ ἐκ μέρους τῶν ἀπατεώνων καὶ ὁ ἐκ μέρους τῶν ἐχθρῶν,

ιερος, ἅτε ἐν συγχύσει καὶ ταραχῇ πραγμάτων, καὶ φοβουμένων καὶ ταραττομένων ἀνθρώπων ἐπιτιθέμενος. Καὶ γὰρ πολλὴ τότε ἡ ζάλη ἦν, τῶν Ρωμαϊκῶν ἀρχομένων ἀνθεῖν, καὶ πόλεων ἁλισκομένων καὶ στρατοπέδων καὶ ὅπλων κινουμένων, καὶ πολλῶν εὐκόλως πιστευομένων. Πολέμους δὲ τοὺς ἐν Ἱεροσολύμοις λέγει· οὐ γὰρ δὴ τοὺς ἔξωθεν καὶ πανταχοῦ τῆς οἰκουμένης· τί γὰρ ἔμελεν αὐτοῖς τούτων; Ἄλλως δὲ οὐδὲ καινόν τι ἔμελλεν ἐρεῖν, εἰ τὰ τῆς οἰκουμένης ἔλεγε πάθη, τὰ ἀεὶ συμβαίνοντα. Καὶ γὰρ πρὸ τούτου ἦσαν καὶ πόλεμοι καὶ ταραχαὶ καὶ μάχαι· ἀλλὰ τοὺς Ἰουδαϊκοὺς οὐ μακρόθεν λέγει ἐπιόντας πολέμους· λοιπὸν γὰρ αὐτοῖς ἐν φροντίδι τὰ τῶν Ρωμαίων ἦν. Ἐπεὶ οὖν καὶ ταῦτα ἱκανὰ εἶναι αὐτοὺς θορυβεῖν, προλέγει ταῦτα πάντα.

Εἶτα δεικνὺς ὅτι καὶ αὐτὸς συνεπιθήσεται Ἰουδαίοις καὶ πολεμήσει, οὐχὶ μάχας φησὶ μόνον, ἀλλὰ καὶ θεηλάτους πληγάς, λιμοὺς καὶ λοιμοὺς καὶ σεισμούς, δεικνὺς ὅτι καὶ τοὺς πολέμους αὐτὸς εἴασεν ἐπελθεῖν, καὶ οὐχ ἁπλῶς ταῦτα γίνεται, κατὰ τὴν ἔμπροσθεν ἐν τοῖς ἀνθρώποις οὖσαν συνήθειαν, ἀλλ' ἐκ τῆς ἄνωθεν ὀργῆς. Διὰ τοῦτο οὐδὲ ἁπλῶς αὐτὰ ἥξειν φησίν, οὐδὲ ἀθρόως, ἀλλὰ μετὰ σημείων. Ἵνα γὰρ μὴ λέγωσιν οἱ Ἰουδαῖοι, ὅτι οἱ τότε πιστεύσαντες αἴτιοι τούτων τῶν κακῶν, διὰ τοῦτο καὶ τὴν αἰτίαν αὐτοῖς εἴρηκε τῆς ἐπαγωγῆς. «Ἀμὴν γὰρ λέγω ὑμῖν», ἔμπροσθεν ἔλεγεν, «ὅτι ἥξει πάντα ταῦτα ἐπὶ τὴν γενεὰν ταύτην»[3], τῆς μιαιφονίας αὐτῶν μνησθείς. Εἶτα ἵνα μὴ τὰς νιφάδας τῶν κακῶν

3. Ματθ. 23, 36.

ἀλλ' ἐκεῖνος ὁ πόλεμος θὰ εἶναι πολὺ πιὸ φοβερός, ἐπειδὴ θὰ λαμβάνῃ χώραν μέσα εἰς σύγχυσιν καὶ ἀναταραχὴν τῶν πραγμάτων καὶ ἐναντίον ἀνθρώπων ποὺ ἦσαν γεμᾶτοι ἀπὸ φόβον καὶ ταραχήν. Πράγματι ἦτο μεγάλη τότε ἡ ζάλη, καθ' ἣν στιγμὴν τὰ μὲν Ρωμαϊκὰ πράγματα εὑρίσκοντο εἰς ἄνθησιν, πόλεις ἐκυριεύοντο, στρατόπεδα καὶ ἅρματα πολεμικὰ ἐκινοῦντο, καὶ πολλοὶ πλάνοι εὐκόλως ἐγίνοντο πιστευτοί. Πολέμους δὲ ἐννοεῖ αὐτοὺς ποὺ διεξήγοντο εἰς τὰ Ἱεροσόλυμα καὶ ὄχι ἀσφαλῶς τοὺς ἐξωτερικοὺς ποὺ διεξήγοντο εἰς τὰ διάφορα μέρη τῆς οἰκουμένης· διότι τί τοὺς ἐνδιέφερον αὐτοὶ οἱ πόλεμοι; Ἄλλωστε δὲν ἐπρόκειτο νὰ τοὺς ἔλεγε τίποτε τὸ νέον, ἐὰν τοὺς ὡμίλει διὰ τὰς συμφορὰς τῆς οἰκουμένης, ποὺ πάντοτε συνέβαινον. Καθ' ὅσον καὶ πρὶν ἀπὸ τὸν ἐρχομὸν τοῦ Χριστοῦ συνέβαινον πόλεμοι καὶ ταραχαὶ καὶ μάχαι. Ἀλλὰ ἐννοεῖ τοὺς Ἰουδαϊκοὺς πολέμους, ποὺ δὲν προῆλθον ἀπὸ μακριά, διότι εἰς τὸ ἑξῆς αὐτοὶ ἦσαν ὑπὸ τὴν ἐξουσίαν τῶν Ρωμαίων. Ἐπειδὴ λοιπὸν καὶ αὐτὰ ἦσαν ἱκανὰ νὰ τοὺς θορυβήσουν, τὰ προλέγει ὅλα αὐτά.

Ἔπειτα διὰ νὰ δείξῃ ὅτι καὶ αὐτὸς θὰ ἐπιτεθῇ ἐναντίον τῶν Ἰουδαίων καὶ θὰ πολεμήσῃ, δὲν ἀναφέρει μόνον μάχας, ἀλλὰ καὶ θεοστάλτους πηγάς, πεῖναν καὶ ἐπιδημίας καὶ οεισμούς, δεικνύων ὅτι καὶ τοὺς πολέμους αὐτὸς τοὺς ἐπέτρεψε νὰ ἔλθουν, καὶ αὐτὰ δὲν γίνονται ἁπλῶς ἔτσι καὶ κατὰ τὴν συνήθειαν ποὺ ὑπῆρχεν ἀπὸ πρὶν εἰς τοὺς ἀνθρώπους, ἀλλὰ ἀπὸ τὴν θεϊκὴν ὀργήν. Διὰ τοῦτο λέγει δὲν θὰ ἔλθουν αὐτὰ ἔτσι ἁπλῶς καὶ χωρὶς ταραχάς, ἀλλὰ θὰ συνοδεύωνται καὶ ἀπὸ σημεῖα. Διὰ νὰ μὴ λέγουν λοιπὸν οἱ Ἰουδαῖοι, ὅτι αἴτιοι τῶν κακῶν αὐτῶν εἶναι αὐτοὶ ποὺ ἐπίστευσαν εἰς αὐτὸν τότε, διὰ τοῦτο προεῖπε καὶ τὴν αἰτίαν τῶν συμφορῶν ποὺ θὰ ἔλθουν· προηγουμένως ἔλεγεν· «Ἀληθῶς σᾶς λέγω, ὅτι θὰ συμβοῦν ὅλα αὐτὰ εἰς τὴν γενεὰν αὐτήν»[3], ἐνθυμηθεὶς τὰ φονικὰ ἐγκλήματά των. Ἔπειτα, διὰ νὰ μὴ νομίσουν, ἀκούοντες τὸ πλῆθος τῶν κακῶν, ὅτι

ἀκούοντες, νομίσωσι διασπᾶσθαι τὸ κήρυγμα, ἐπήγαγεν· «ὁρᾶτε, μὴ θορυβεῖσθε· δεῖ γὰρ πάντα γενέσθαι»· τουτέστιν, ἃ προεῖπον ἐγώ, καὶ τῶν πειρασμῶν ἡ ἔφοδος οὐδὲν διακόψει τῶν παρ' ἐμοῦ εἰρημένων· ἀλλ' ἔσται μὲν θόρυβος καὶ ταραχή, τοὺς δὲ ἐμοὺς οὐδὲν διασαλεύσει χρησμούς.

Εἶτα, ἐπειδὴ εἶπε τοῖς Ἰουδαίοις· «οὐ μή με ἴδητε, ἕως ἂν εἴπητε, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου», ᾠοντο δὲ οἱ μαθηταὶ ἅμα τῇ κατασκαφῇ καὶ τὴν συντέλειαν ἔσεσθαι, καὶ ταύτην διορθούμενος αὐτῶν τὴν ὑπόνοιαν, ἔλεγεν· «ἀλλ' οὔπω τὸ τέλος». Ὅτι γὰρ οὕτως ὡς ἔφην ὑπώπτευον, ἐκ τῆς ἐρωτήσεως αὐτῶν μάνθανε. Τί γὰρ ἠρώτησαν; «Πότε ταῦτα ἔσται;», τουτέστι, πότε τὰ Ἱεροσόλυμα ἀπολεῖται; «καὶ τί τὸ σημεῖον τῆς σῆς παρουσίας καὶ τῆς συντελείας τοῦ αἰῶνος;». Αὐτὸς δὲ οὐδὲν εὐθέως πρὸς τὴν ἐρώτησιν ἀπεκρίνατο ταύτην, ἀλλὰ πρότερον ἐκεῖνα τὰ καιρπείγοντα λέγει, καὶ ἃ πρῶτα μαθεῖν ἐχρῆν. Οὔτε γὰρ περὶ Ἱεροσολύμων εὐθέως, οὔτε περὶ τῆς παρουσίας αὐτοῦ τῆς δευτέρας εἴρηκεν, ἀλλὰ περὶ τῶν ἐπὶ θύραις ἀπαντησομένων κακῶν. Διὸ καὶ ἐναγωνίους αὐτοὺς ποιεῖ λέγων· «βλέπετε μή τις ὑμᾶς πλανήσῃ· πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου, λέγοντες· ἐγώ εἰμι ὁ Χριστός». Εἶτα διεγείρας αὐτοὺς εἰς τὴν περὶ τούτων ἀκρόασιν («βλέπετε» γάρ, φησί, «μή τις ὑμᾶς πλανήσῃ») καὶ ἐναγωνίους ποιήσας καὶ νήφειν παρασκευάσας, καὶ εἰπὼν τοὺς πλάνους, τοὺς ψευδοχρίστους πρότερον, τότε τὰ τῶν Ἱεροσολύμων λέγει κακά, ἀπὸ τῶν ἤδη γενομένων καὶ τὰ μέλλοντα ἀεὶ καὶ παρὰ τοῖς ἀνοήτοις καὶ φιλονείκοις πιστούμενος.

2. Πολέμους δὲ καὶ ἀκοὰς πολέμων, ὅπερ καὶ ἔμπροσθεν εἶπον, τὰς αὐτοῖς ἐπισύσας φησὶ ταραχάς. Εἶτα ἐπειδή, κα-

4. Ματθ. 23, 39.

θὰ καταστραφῇ τὸ κήρυγμα, προσέθεσε· «Προσέχετε, μὴ θορυβεῖσθε, διότι πρέπει ὅλα αὐτὰ νὰ γίνουν», δηλαδή, αὐτὰ ποὺ ἐπροφήτευσα ἐγὼ καὶ ἡ ἔφοδος τῶν πειρασμῶν ὡς πρὸς τίποτε δὲν θὰ διακόψουν τὰ ὅσα ἐλέχθησαν ἀπὸ ἐμένα· ἀλλὰ θὰ συμβῇ μὲν θόρυβος καὶ ταραχή, τίποτε ὅμως δὲν θὰ διασαλεύσῃ τὰ προφητικὰ λόγια μου.

Ἔπειτα, ἐπειδὴ εἶπεν εἰς τοὺς Ἰουδαίους, «Δὲν θὰ μὲ ἰδῆτε μέχρι νὰ εἰπῆτε, εὐλογημένος εἶναι αὐτὸς ποὺ ἔρχεται ἐν ὀνόματι τοῦ Κυρίου»[4], οἱ δὲ μαθηταὶ ἐνόμιζον ὅτι μαζὶ μὲ τὴν καταστροφὴν θὰ συμβῇ καὶ ἡ συντέλεια, διορθώνων καὶ αὐτὴν τὴν ὑπόνοιάν των ἔλεγεν· «Ἀλλὰ δὲν θὰ ἔλθῃ ἀκόμη τὸ τέλος». Διότι τὸ ὅτι ἔτσι ἐσκέπτοντο, ὅπως εἶπα, ἐννόησέ το ἀπὸ τὴν ἐρώτησιν αὐτῶν. Διότι τί ἠρώτησαν; «Πότε θὰ συμβοῦν αὐτά;», δηλαδή, πότε θὰ καταστραφοῦν τὰ Ἱεροσόλυμα; «Καὶ ποῖο εἶναι τὸ σημεῖον τοῦ ἐρχομοῦ σου καὶ τῆς συντελείας τοῦ αἰῶνος; Ὁ δὲ Κύριος δὲν εἶπε τίποτε εὐθέως εἰς τὴν ἐρώτησίν των αὐτήν, ἀλλὰ προηγουμένως λέγει ἐκεῖνα τὰ κατεπείγοντα καὶ τὰ ὁποῖα ἔπρεπε πρῶτα νὰ μάθουν. Διότι οὔτε περὶ τῶν Ἱεροσολύμων εἶπε κάτι κατ᾽ εὐθεῖαν, οὔτε περὶ τῆς δευτέρας παρουσίας του, ἀλλὰ περὶ τῶν κακῶν ποὺ θὰ ἐσυναντοῦσαν εὐθὺς ἀμέσως. Διὰ τοῦτο αὐξάνει καὶ τὴν ἀγωνίαν των, λέγων· «Προσέχετε μήπως σᾶς πλανήσῃ κάποιος· διότι πολλοὶ θὰ ἔλθουν ἐπ᾽ ὀνόματί μου, λέγοντες· ἐγὼ εἶμαι ὁ Χριστός». Εἰς τὴν συνέχειαν ἀφοῦ ηὔξησε τὴν ἐπιθυμίαν των διὰ νὰ ἀκούσουν αὐτὰ (διότι λέγει, «προσέχετε μήπως σᾶς παραπλανήσῃ κανεὶς») καὶ ἀφοῦ ηὔξησε τὴν ἀγωνίαν των καὶ τοὺς προετοίμασε νὰ εἶναι προσεκτικοὶ καὶ ἀνέφερε τοὺς πλάνους καὶ πρὶν ἀπὸ ὅλους τοὺς ψευδοχρίστους, τότε ἀναφέρει καὶ τὰς συμφορὰς τῶν Ἱεροσολύμων, ἐπιβεβαιώνων εἰς τοὺς ἀνοήτους καὶ φιλονείκους ἀπὸ αὐτὰ ποὺ συνέβησαν καὶ ἐκεῖνα ποὺ πρόκειται νὰ συμβοῦν εἰς τὸ μέλλον.

2. «Πολέμους δὲ καὶ φήμας πολέμων», ὅπως καὶ προανέφερα, ὀνομάζει τὰς ταραχὰς ποὺ θὰ συμβοῦν εἰς αὐτούς.

θὼς καὶ προεῖπον, ἐνόμιζον μετ' ἐκεῖνον τὸν πόλεμον ἥξειν τὸ τέλος, ὅρα πῶς αὐτοὺς ἀσφαλίζεται λέγων· «ἀλλ' οὔπω τὸ τέλος». «Ἐγερθήσεται» γάρ, φησίν, «ἔθνος ἐπὶ ἔθνος, καὶ βασιλεία ἐπὶ βασιλείαν». Τὰ προοίμια λέγει τῶν Ἰουδαϊκῶν κακῶν. «Πάντα δὲ ταῦτα ἀρχὴ ὠδίνων», τουτέστι, τῶν συμβαινόντων αὐτοῖς». «Τότε παραδώσουσιν ὑμᾶς εἰς θλῖψιν, καὶ ἀποκτενοῦσιν ὑμᾶς». Εὐκαίρως παρενέβαλε τὰ αὐτῶν κακά, ἔχοντα παραμυθίαν ἀπὸ τῶν κοινῶν· οὐ ταύτῃ δὲ μόνον, ἀλλὰ καὶ τῷ προσθεῖναι, ὅτι «διὰ τὸ ὄνομά μου». «Ἔσεσθε» γάρ, φησί, «μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου. Τότε σκανδαλισθήσονται πολλοὶ καὶ ἀλλήλους παραδώσουσι· καὶ πολλοὶ ψευδόχριστοι καὶ ψευδοπροφῆται ἐγερθήσονται καὶ πλανήσουσι πολλούς. Καὶ διὰ τὸ πληθυνθῆναι τὴν ἀνομίαν, ψυγήσεται ἡ ἀγάπη τῶν πολλῶν· ὁ δὲ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται». Τοῦτο μεῖζον κακόν, ὅταν καὶ ἐμφύλιος ὁ πόλεμος ᾖ· πολλοὶ γὰρ ψευδάδελφοι γεγόνασιν.

Εἶδες τριπλοῦν τὸν πόλεμον ὄντα, τὸν ἀπὸ τῶν πλάνων, τὸν ἀπὸ τῶν πολεμίων, τὸν ἀπὸ τῶν ψευδαδέλφων; Ὅρα καὶ Παῦλον τὰ αὐτὰ ἀποδυρόμενον καὶ λέγοντα· «ἔξωθεν μάχαι, ἔσωθεν φόβοι»· καί, «κίνδυνοι ἐν ψευδαδέλφοις»· καὶ πάλιν· «Οἱ γὰρ τοιοῦτοι ψευδαπόστολοι, ἐργάται δόλιοι, μετασχηματιζόμενοι εἰς ἀποστόλους Χριστοῦ». Εἶτα πάλιν τὸ πάντων χαλεπώτερον, ὅτι οὐδὲ τὴν ἀπὸ τῆς ἀγάπης παραθυμίαν ἔξουσιν. Εἶτα δεικνὺς ὅτι τὸν γενναῖον καὶ καρτερικὸν οὐδὲν ταῦτα λυμανεῖται, μὴ φοβεῖσθε, φησί, μηδὲ ταράττεσθε. Ἂν γὰρ τὴν προσήκουσαν ὑπομονὴν ἐπιδείξησθε, οὐ περιέσται ὑμῶν τὰ δεινά. Καὶ τούτου σαφῆς ἀπόδει-

5. Β' Κορ. 7, 5.
6. Β' Κορ. 11, 26.
7. Β' Κορ. 11, 13.

Ἔπειτα, ἐπειδή, ὅπως προανέφερα, ἐνόμιζον ὅτι μετὰ ἀπὸ ἐκεῖνον τὸν πόλεμον θὰ ἔλθῃ τὸ τέλος, πρόσεχε πῶς τοὺς προφυλάσσει λέγων· «Ἀλλὰ δὲν θὰ ἔλθῃ ἀκόμη τὸ τέλος». Διότι, λέγει, «Θὰ σηκωθῇ ἔθνος ἐναντίον ἔθνους καὶ βασίλειον ἐναντίον βασιλείου». Μὲ τὰ λόγια του αὐτὰ προλέγει τὰ προοίμια τῶν Ἰουδαϊκῶν συμφορῶν. «Ὅλα δὲ αὐτὰ εἶναι ἀρχὴ τῶν δεινῶν», δηλαδὴ αὐτῶν ποὺ θὰ συμβοῦν εἰς αὐτούς. «Τότε θὰ σᾶς παραδώσουν εἰς βασανιστήρια καὶ θὰ σᾶς θανατώσουν». Εἰς τὴν κατάλληλον στιγμὴν ἀνέφερε καὶ τὰ ἰδικά των δεινά, ὥστε νὰ παρηγοροῦνται ἀπὸ τὰ κοινά· ὄχι δὲ μόνον ἀπὸ αὐτά, ἀλλὰ καὶ ἀπὸ τὸ ὅτι προσέθεσεν, ὅτι θὰ τὰ ὑποστῆτε «διὰ τὸ ὄνομά μου». Διότι λέγει· «Θὰ εἶσθε μισητοὶ ἀπὸ ὅλους ἐξ αἰτίας τοῦ ὀνόματός μου. Τότε θὰ σκανδαλισθοῦν πολλοί, καὶ θὰ προδώσουν ὁ ἕνας τὸν ἄλλον. Καὶ θὰ ἐμφανισθοῦν πολλοὶ ψευδόχριστοι καὶ ψευδοπροφῆται καὶ θὰ πλανήσουν πολλούς. Καὶ ἐπειδὴ θ' αὐξηθῇ ἡ ἀνομία, θὰ ψυχρανθῇ ἡ ἀγάπη τῶν πολλῶν· ἐκεῖνος δὲ ποὺ θὰ τὰ ὑπομείνῃ ἕως τὸ τέλος, αὐτὸς θὰ σωθῇ». Αὐτὸ εἶναι τὸ χειρότερον κακόν, ὅταν ὁ πόλεμος εἶναι καὶ ἐμφύλιος· διότι πολλοὶ ψευδάδελφοι παρουσιάσθησαν.

Εἶδες ὅτι ὁ πόλεμος εἶναι τριπλοῦς, προερχόμενος ἀπὸ τοὺς πλάνους, ἀπὸ τοὺς ἐχθροὺς καὶ ἀπὸ τοὺς ψευδαδέλφους; Πρόσεχε καὶ τὸν Παῦλον ποὺ θρηνολογεῖ διὰ τὰ ἴδια πράγματα καὶ λέγει· «Ἀπὸ ἔξω μάχαι, ἀπὸ μέσα φόβοι»[5], καί· «κίνδυνοι ποὺ προέρχονται ἀπὸ ψευδαδέλφους»[6]. Καὶ πάλιν· «Διότι οἱ παρόμοιοι ἄνθρωποι εἶναι ψευδαπόστολοι, ἐργάται δόλιοι, ποὺ μεταμορφώνονται εἰς ἀποστόλους τοῦ Χριστοῦ»[7]. Καὶ ἔπειτα τὸ χειρότερον ἀπὸ ὅλα, διότι δὲν θὰ ἔχουν οὔτε τὴν παρηγορίαν ποὺ προέρχεται ἀπὸ τὴν ἀγάπην. Εἰς τὴν συνέχειαν διὰ νὰ δείξῃ, ὅτι ὁ γενναῖος καὶ καρτερικὸς δὲν θὰ ὑποστῇ καμμίαν ζημίαν ἀπὸ αὐτά, τοὺς λέγει, «Μὴ φοβεῖσθε καὶ μὴ ταράσσεσθε». Διότι ἂν δείξετε τὴν ὑπομονὴν ποὺ πρέπει δὲν θὰ σᾶς καταβάλουν τὰ δεινά. Καὶ σαφὴς ἀπόδειξις αὐτοῦ εἶναι, τὸ ὅτι θὰ κηρυχθῇ ὁπωσ-

ξις, τὸ πάντως κηρυχθῆναι τὸ κήρυγμα πανταχοῦ τῆς οἰκουμένης· οὕτως ὑψηλότεροι ἔσεσθε τῶν δεινῶν. Ἵνα γὰρ μὴ λέγωσι, πῶς οὖν ζησόμεθα; τὸ πλέον εἶπεν, ὅτι καὶ ζήσεσθε καὶ διδάξετε πανταχοῦ. Διὸ καὶ ἐπήγαγε· «Καὶ κηρυχθήσεται τὸ εὐαγγέλιον τοῦτο ἐν ὅλῳ τῷ κόσμῳ εἰς μαρτύριον πᾶσι τοῖς ἔθνεσι· καὶ τότε ἥξει τὸ τέλος»· τῆς συντελείας τῶν Ἱεροσολύμων.

Ὅτι γὰρ ἐκεῖνο ἔλεγε, καὶ πρὸ τῆς ἁλώσεως τὸ εὐαγγέλιον ἐκηρύχθη, ἄκουσον τί φησιν ὁ Παῦλος· «εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν»· καὶ πάλιν· «τοῦ εὐαγγελίου τοῦ κηρυχθέντος ἐν πάσῃ τῇ κτίσει τῇ ὑπὸ τὸν οὐρανόν». Καὶ ὁρᾷς αὐτὸν ἀπὸ Ἱερουσαλὴμ εἰς Σπανίαν τρέχοντα. Εἰ δὲ εἰς τοσοῦτον μέρος κατέλαβεν, ἐννόησον καὶ οἱ λοιποὶ πόσα εἰργάσαντο. Καὶ γὰρ καὶ ἑτέροις γράφων πάλιν ὁ Παῦλος ἔλεγε περὶ τοῦ εὐαγγελίου, ὅτι «ἔστι καρποφορούμενον καὶ αὐξανόμενον ἐν πάσῃ τῇ κτίσει τῇ ὑπὸ τὸν οὐρανόν». Τί δέ ἐστιν, «εἰς μαρτύριον πᾶσι τοῖς ἔθνεσιν»; Ἐπειδὴ ἐκηρύχθη μὲν πανταχοῦ, οὐ πιστεύθη δὲ πανταχοῦ, «εἰς μαρτύριον», φησί, τοῖς ἀπιστήσασι· τουτέστιν, εἰς ἔλεγχον, εἰς κατηγορίαν, εἰς μαρτυρίαν· οἱ γὰρ πιστεύσαντες καταμαρτυρήσουσι τῶν μὴ πιστευσάντων, καὶ κατακρινοῦσιν αὐτούς. Διὰ τοῦτο δὲ μετὰ τὸ κηρυχθῆναι τὸ εὐαγγέλιον πανταχοῦ τῆς οἰκουμένης ἀπόλλυται τὰ Ἱεροσόλυμα, ἵνα μηδὲ σκιὰν ἀπολογίας ἔχωσιν ἀγνωμονοῦντες. Οἱ γὰρ ἰδόντες τὴν αὐτοῦ δύναμιν πανταχοῦ διαλάμψασαν, καὶ ἐν ἀκαριαίῳ τὴν οἰκουμένην ἑλοῦσαν, τίνα ἂν ἔχοιεν λοιπὸν συγγνώμην, ἐπὶ τῆς αὐτῆς ἀγνωμοσύνης μείναντες; Ὅτι γὰρ πανταχοῦ ἐκηρύχθη τότε, ἄκουσον τί φησιν ὁ Παῦλος· «τοῦ εὐαγγελίου τοῦ κηρυχθέντος ἐν πάσῃ τῇ κτίσει τῇ ὑπὸ τὸν οὐρανόν». Ὃ καὶ μέγιστον σημεῖον τῆς τοῦ Χριστοῦ δυνάμεως, ὅτι ἐν

8. Ρωμ. 10, 18.
9. Κολ. 1, 23.
10. Κολ. 1, 6.
11. Κολ. 1, 23.

δήποτε τὸ εὐαγγέλιον εἰς ὅλα τὰ μέρη τῆς γῆς· ἔτσι θὰ σταματήσετε πιὸ ὑψηλὰ ἀπὸ τὰ δεινά. Διότι, διὰ νὰ μὴ λέγουν, πῶς λοιπὸν θὰ ζήσωμεν; ἀνέφερε καὶ τὸ ἐπὶ πλέον, ὅτι δηλαδὴ καὶ θὰ ἐπιζήσετε καὶ θὰ διδάξετε παντοῦ. Διὰ τοῦτο καὶ προσέθεσε· «Καὶ θὰ κηρυχθῇ αὐτὸ τὸ εὐαγγέλιον εἰς ὅλον τὸν κόσμον πρὸς μαρτυρίαν εἰς ὅλα τὰ ἔθνη· καὶ τότε θὰ ἔλθῃ τὸ τέλος», δηλαδὴ τῆς συντελείας τῶν Ἱεροσολύμων.

Τὸ ὅτι λοιπὸν ἐννοοῦσεν ἐκεῖνο καὶ ὅτι πρὶν ἀπὸ τὴν καταστροφὴν ἐκηρύχθη τὸ εὐαγγέλιον, ἄκουσε τί λέγει ὁ Παῦλος· «Ἡ φωνή των ἔφθασεν εἰς ὅλην τὴν γῆν»[8]· καὶ πάλιν· «Τοῦ εὐαγγελίου ποὺ ἐκηρύχθη εἰς ὅλην τὴν κτίσιν κάτω ἀπὸ τὸν οὐρανόν»[9]. Καὶ βλέπεις αὐτὸν νὰ τρέχῃ ἀπὸ τὰ Ἱεροσόλυμα εἰς τὴν Ἱσπανίαν. Ἐὰν δὲ ἕνας κατέλαβε τόσον μεγάλο μέρος τῆς οἰκουμένης, σκέψου καὶ οἱ ὑπόλοιποι πόσα ἐπέτυχον. Καθ' ὅσον καὶ εἰς ἄλλους γράφων πάλιν ὁ Παῦλος ἔλεγε περὶ τοῦ εὐαγγελίου, ὅτι «φέρει καρποὺς καὶ αὐξάνει εἰς ὅλην τὴν κτίσιν κάτω ἀπὸ τὸν οὐρανόν»[10]. Τί σημαίνει δέ· «εἰς μαρτύριον πᾶσι τοῖς ἔθνεσιν»; Ἐπειδὴ ἐκηρύχθη μὲν παντοῦ, ἀλλὰ δὲν ἐπιστεύθη παντοῦ, θὰ εἶναι, λέγει, πρὸς μαρτυρίαν ἐκείνων ποὺ δὲν ἐπίστευσαν· δηλαδὴ πρὸς ἔλεγχον, πρὸς κατηγορίαν, εἰς μαρτυρίαν· διότι ἐκεῖνοι ποὺ ἐπίστευσαν θὰ εἶναι μάρτυρες κατηγορίας ἐναντίον ἐκείνων ποὺ δὲν ἐπίστευσαν καὶ θὰ τοὺς καταδικάσουν. Διὰ τοῦτο δὲ μετὰ τὴν κήρυξιν τοῦ εὐαγγελίου εἰς ὅλα τὰ μέρη τῆς οἰκουμένης καταστρέφονται τὰ Ἱεροσόλυμα, ὥστε νὰ μὴ ἔχουν οὔτε σκιὰν ἀπολογίας οἱ ἀχάριστοι Ἰουδαῖοι. Διότι ἐκεῖνοι ποὺ εἶδαν τὴν δύναμίν του νὰ διαλάμῃ παντοῦ καὶ νὰ κατακυριεύῃ ἀστραπιαία τὴν οἰκουμένην, ποίαν συγχώρησιν θὰ ἦτο δυνατὸν νὰ ἔχουν πλέον, παραμείναντες εἰς τὴν ἰδίαν ἀχαριστίαν των; Τὸ ὅτι δὲ ἐκηρύχθη παντοῦ τότε, ἄκουσε τί λέγει ὁ Παῦλος· «Τοῦ Εὐαγγελίου, ποὺ ἐκηρύχθη εἰς ὅλην τὴν κτίσιν κάτω ἀπὸ τὸν οὐρανόν»[11], πρᾶγμα ποὺ ἀποτελεῖ μεγίστην ἀπόδειξιν τῆς δυνάμεως τοῦ Χριστοῦ, διότι ἐντὸς εἴκοσι ἢ τριάντα ἐν ὅλῳ

εἴκοσι ἢ καὶ τριάκοντα ὅλοις ἔτεσι τὰ πέραια τῆς οἰκουμένης κατέλαβεν ὁ λόγος.

Μετὰ τοῦτο οὖν, φησίν, ἥξει τὸ τέλος τῶν Ἱεροσολύμων. Ὅτι γὰρ τοῦτο αἰνίττεται, τὸ ἑξῆς ἐδήλωσεν. Ἐπήγαγε γὰρ καὶ προφητείαν, πιστούμενος αὐτῶν τὸν ἀφανισμόν, καὶ λέγων· «Ὅταν δὲ ἴδητε τὸ βδέλυγμα τῆς ἐρημώσεως, τὸ ῥηθὲν διὰ Δανιὴλ τοῦ προφήτου, ἑστὼς ἐν τόπῳ ἁγίῳ - ὁ ἀναγινώσκων νοείτω». Παρέπεμψεν αὐτοὺς ἐπὶ τὸν Δανιήλ. Βδέλυγμα δὲ τὸν ἀνδριάντα τοῦ τότε τὴν πόλιν ἑλόντος φησίν, ὃν ὁ ἐρημώσας τὴν πόλιν καὶ τὸν ναὸν ἔστησεν ἔνδον· διὸ καὶ ἐρημώσεως αὐτὸ καλεῖ. Εἶτα ἵνα μάθωσιν, ὅτι καὶ ζώντων ἐνίων αὐτῶν ταῦτα ἔσται, διὰ τοῦτο ἔλεγεν· «Ὅταν ἴδητε τὸ βδέλυγμα τῆς ἐρημώσεως».

3. Ἐξ ὧν μάλιστα ἄν τις θαυμάσειε τοῦ Χριστοῦ τὴν δύναμιν καὶ τὴν ἐκείνων ἀνδρείαν, ὅτι ἐν τοιούτοις καιροῖς ἐκήρυττον, ἐν οἷς μάλιστα τὰ Ἰουδαϊκὰ ἐπολεμεῖτο, ἐν οἷς μάλιστα ὡς στασιασταῖς προσεῖχον αὐτοῖς, ὅτε ὁ Καῖσαρ ἐκέλευσεν ἅπαντας ἀπελαύνεσθαι. Καὶ ταὐτὸν συνέβαινεν, ὥσπερ ἂν εἴ τις, τῆς θαλάττης ἐγερθείσης πάντοθεν, καὶ ζόφον τὸν ἀέρα πάντα κατέχοντος, καὶ ναυαγίων ἐπαλλήλων γινομένων, καὶ πάντων ἄνωθεν τῶν συμπλεόντων στασιαζόντων, καὶ θηρῶν κάτωθεν ἀνιόντων καὶ μετὰ τῶν κυμάτων ἀναλισκόντων τοὺς πλέοντας, καὶ σκηπτῶν φερομένων, καὶ πειρατῶν ὄντων, καὶ τῶν ἔνδον ἀλλήλοις ἐπιβουλευόντων, ἀνθρώπους ἀπείρους τοῦ πλεῖν καὶ οὐδὲ θάλατταν ἰδόντας κελεύοι ἐπὶ τῶν οἰάκων καθῆσθαι, καὶ κυβερνᾶν καὶ ναυμαχεῖν, καὶ σιδηρον ἄπειρον ἐπιόντα μετὰ πολλῆς

12. Δαν. 9, 27.

ἔτη ὁ λόγος τοῦ εὐαγγελίου κατέκτησε τὰ πέρατα τῆς οἰκουμένης.

Μετὰ ἀπὸ αὐτὸ λοιπόν, λέγει, θὰ ἔλθῃ τὸ τέλος τῶν Ἱεροσολύμων. Τὸ ὅτι βέβαια ὑπονοεῖ αὐτό, τὸ ἐφανέρωσεν ἡ συνέχεια. Διότι πρόσθεσε καὶ προφητείαν πρὸς ἐπιβεβαίωσιν τοῦ ἀφανισμοῦ των καὶ λέγων· «Ὅταν δὲ ἰδῆτε τὸ βδέλυγμα τῆς ἐρημώσεως διὰ τὸ ὁποῖον ὡμίλησεν ὁ προφήτης Δανιήλ, νὰ ἵσταται εἰς τὸν ἅγιον τόπον — ὁ ἀναγνώστης ἂν ἐννοήσῃ»[12]. Τοὺς παρέπεμψεν εἰς τὸν Δανιήλ. «Βδέλυγμα» ὀνομάζει δὲ τὸν ἀδριάντα αὐτοῦ ποὺ ἐκυρίευσε τότε τὴν πόλιν, τὸν ὁποῖον ἔστησε αὐτὸς ποὺ ἐρήμωσε τὴν πόλιν μέσα εἰς τὸν ναόν, καὶ διὰ τοῦτο τὸν ὀνομάζει καὶ βδέλυγμα ἐρημώσεως. Ἔπειτα διὰ νὰ μάθουν ὅτι αὐτὰ θὰ συμβοῦν ἐνῷ ἀκόμη θὰ ζοῦν μερικοί, διὰ τοῦτο ἔλεγεν· «Ὅταν θὰ ἰδῆτε τὸ βδέλυγμα τῆς ἐρημώσεως».

3. Ἀπὸ αὐτὰ ἠμπορεῖ κανεὶς πρὸ πάντων νὰ θαυμάσῃ τὴν δύναμιν τοῦ Χριστοῦ καὶ τὴν ἀνδρείαν ἐκείνων, διότι ἐκήρυττον κάτω ἀπὸ τέτοιας περιστάσεις, κατὰ τὰς ὁποίας πρὸ πάντων κατεδιώκοντο οἱ Ἰουδαῖοι καὶ τοὺς ἐθεωροῦσαν ὡς τοὺς κατ' ἐξοχὴν στασιαστάς, ὅταν ὁ Καῖσαρ διέταξεν ὅλοι νὰ ἀπελαύνωνται. Καὶ τὸ ἴδιο συνέβαιναν, ὅπως ἀκριβῶς ἐὰν ἤθελε κάποιος διατάξει νὰ καθήσουν εἰς τὸ τιμόνι ἀνθρώπους, ποὺ δὲν γνωρίζουν τὴν ναυτικὴν τέχνην, καὶ οὔτε ἔχουν ἰδεῖ θάλασσαν, νὰ κυβερνήσουν αὐτοὶ τὸ πλοῖον καὶ ναυμαχήσουν, καθ' ἣν στιγμὴν ἡ θάλασσα ἀπὸ παντοῦ προβάλλει τεράστια κύματα, τὸ σκότος κατακυριεύει ὅλον τὸν ἀέρα, τὰ ναυάγια συμβαίνουν τὸ ἕνα μετὰ τὸ ἄλλο, ὅλοι οἱ συνταξιδιῶται ἐπάνω εἰς τὸ πλοῖον στασιάζουν, τὰ θηρία ἀναδύονται ἀπὸ κάτω καὶ μαζὶ μὲ τὰ κύματα καταβροχθίζουν τοὺς πλέοντας, καὶ κεραυνοὶ πίπτουν, καὶ πειραταὶ ὑπάρχουν, καὶ ἀπὸ τοὺς ταξιδιώτας ὁ ἕνας ἐπιβουλεύεται τὸν ἄλλον, καὶ στόλος ἄπειρος τὸν ἀριθμὸν βαδίζει ἐναντίον των μὲ μεγάλην πολεμικὴν παράταξιν, αὐτοὶ χρησιμοποιοῦντες ἕνα μόνον πλοιάριον, ποὺ ἔτσι ἀκριβῶς τα-

παρατάξεως, ἐνὶ χρεωμένους ἀκαίρῳ τῷ οὕτως ὡς εἶπον ταραττομένῳ, καταδύειν καὶ χειροῦσθαι. Καὶ γὰρ ὑπὸ ἐθνῶν ἐμισοῦντο, ὡς Ἰουδαῖοι, καὶ ὑπὸ Ἰουδαίων ἐλιθάζοντο, ὡς τοῖς αὐτῶν πολεμοῦντες νόμοις, καὶ οὐδαμοῦ στῆναι ἦν.

Οὕτω πάντα κρημνοὶ καὶ σκόπελοι καὶ πρόβολοι ἦσαν, τὰ ἐν ταῖς πόλεσι, τὰ ἐν ταῖς χώραις, τὰ ἐν ταῖς οἰκίαις· καὶ εἷς ἕκαστος αὐτοῖς ἐπολέμοι, καὶ στρατηγὸς καὶ ἄρχων καὶ ἰδιώτης καὶ ἔθνη πάντα καὶ δῆμοι πάντες· καὶ ταραχή τις ἦν λόγῳ παραστῆναι μὴ δυναμένη. Καὶ γὰρ σφόδρα τῇ τῶν Ρωμαίων ἀρχῇ μισητὸν τὸ Ἰουδαίων γένος ἦν, ἅτε μυρία πράγματα αὐτοῖς παρεσχηκός· καὶ οὐδὲ ἐντεῦθεν ἐβλάβη τὸ κήρυγμα, ἀλλ' ἡ μὲν πόλις ἀνάρπαστος ἦν καὶ ἐμπεπύριστο, καὶ μυρία τοὺς οἰκοῦντας διέθηκε κακά, οἱ δὲ ἐντεῦθεν ὄντες ἀπόστολοι, νόμους εἰσάγοντες καινούς, καὶ τῶν Ρωμαίων ἐκράτουν. Ὦ καινῶν καὶ παραδόξων πραγμάτων. Μυριάδας ἀπείρους Ἰουδαίων τότε ἐχειρώσαντο Ρωμαῖοι, καὶ δώδεκα ἀνδρῶν οὐ περιεγένοντο, γυμνῶν ἀόπλων μαχομένων αὐτοῖς. Τίς παραστῆσαι δυνήσεται λόγος τὸ θαῦμα τοῦτο; Καὶ γὰρ δύο ταῦτα τοῖς διδάσκουσιν ὑπάρχειν χρή, τό τε ἀξιοπίστους εἶναι καὶ τὸ φιλεῖσθαι παρὰ τῶν μαθητευομένων· καὶ μετὰ τούτων καὶ πρὸς τούτοις, καὶ τὸ τὰ λεγόμενα εὐπαράδεκτα εἶναι, καὶ τὸν καιρὸν ταραχῆς ἀπηλλάχθαι καὶ θορύβων. Τότε δὲ ἅπαντα τὰ ἐναντία ἦν. Οὔτε γὰρ ἀξιόπιστοι εἶναι ἐδόκουν, καὶ τῶν δοκούντων ἀξιοπίστων εἶναι τοὺς ἠπατημένους ἀφίστων· οὐκ ἐφιλοῦντο, ἀλλὰ καὶ ἐμισοῦντο, καὶ τῶν φιλουμένων ἀπῆγον, καὶ

ράσσεται, ὅπως προανέφερα, νὰ προσπαθοῦν νὰ τὸν βυθίσουν καὶ νὰ τὸν κυριεύσουν. Καθ' ὅσον ἐμισοῦντο ὑπὸ τῶν ἐθνικῶν, ὡσὰν Ἰουδαῖοι ποὺ ἦσαν, καὶ ὑπὸ τῶν Ἰουδαίων ἐλιθοβολοῦντο, ἐπειδὴ τάχα ἀντετίθεντο εἰς τοὺς νόμους των, καὶ πουθενὰ δὲν ἠμποροῦσαν νὰ σταθοῦν.

Ἔτσι παντοῦ ἦσαν κρημνοὶ καὶ σκόπελοι καὶ ἐμπόδια, καὶ εἰς τὰς πόλεις, καὶ εἰς τὰς χώρας, καὶ εἰς τὰς οἰκίας, καὶ ὁ καθένας τοὺς ἐπολεμοῦσε καὶ στρατηγοὶ καὶ ἄρχοντες καὶ ἰδιῶται καὶ ὅλα τὰ ἔθνη καὶ ὅλοι οἱ λαοί, καὶ ἐπεκράτει τέτοια ταραχὴ ποὺ δὲν εἶναι δυνατὸν νὰ περιγραφῇ μὲ λόγια. Καθ' ὅσον ἦτο πάρα πολὺ μισητὸν τὸ γένος τῶν Ἰουδαίων εἰς τὴν ἐξουσίαν τῶν Ρωμαίων, ἐπειδὴ ἐδημιουργοῦσαν εἰς αὐτοὺς ἀπείρους δυσκολίας. Καὶ οὔτε καὶ ἀπ' αὐτὸ ἠμποδίσθη τὸ κήρυγμα, ἀλλὰ ἡ μὲν πόλις ἐλεηλατήθη καὶ ἐπυρπολήθη, καὶ ἄπειρα κακὰ ὑπέστησαν οἱ κάτοικοί της, οἱ δὲ ἀπόστολοι ποὺ κατήγοντο ἀπὸ ἐκεῖ, ἐθέσπιζον νέους νόμους καὶ ἐκυριαρχοῦσαν καὶ ἐπὶ τῶν Ρωμαίων. Ὦ, πόσον νέα καὶ παράδοξα πράγματα! Ἀναριθμήτους μυριάδας Ἰουδαίων ὑπεδούλωσαν τότε οἱ Ρωμαῖοι καὶ δὲν κατώρθωσαν νὰ ὑποτάξουν δώδεκα ἄνδρας γυμνοὺς ποὺ ἐμάχοντο ἄοπλοι ἐναντίον των. Ποῖος λόγος θὰ ἠμπορέσῃ νὰ παραστήσῃ αὐτὸ τὸ θαῦμα; Καθ' ὅσον δύο πράγματα πρέπει νὰ ὑπάρχουν εἰς αὐτοὺς ποὺ διδάσκουν, νὰ εἶναι ἀξιόπιστοι καὶ νὰ ἀγαπῶνται ἀπὸ τοὺς μαθητάς των. Καὶ ἐπὶ πλέον μαζὶ μὲ ὅλα αὐτὰ τὰ λεγόμενά των νὰ γίνωνται εὔκολα ἀποδεκτὰ καὶ νὰ μὴ λαμβάνουν μέρος εἰς τὰς ταραχὰς καὶ τοὺς θορύβους. Τότε δὲ συνέβαινον ἐντελῶς τὰ ἀντίθετα. Διότι οὔτε ἀξιόπιστοι ἐφαίνοντο νὰ εἶναι, καὶ ἀπὸ ἐκείνους ποὺ ἐθεωροῦντο ὅτι ἦσαν ἀξιόπιστοι ἀπεμάκρυνον αὐτοὺς ποὺ εἶχον παρασυρθῇ. Δὲν ἠγαπῶντο, ἀλλὰ καὶ ἐμισοῦντο, καὶ ἀπὸ αὐτοὺς ποὺ τοὺς ἀγαποῦσαν τοὺς ἀπεμάκρυνον, καὶ ἀπὸ τὰς συνηθείας των καὶ ἀπὸ τὰ πάτρια καὶ ἀπὸ τοὺς νόμους. Τὰ προστάγματά των πάλιν παρουσιάζουν μεγάλην

ἐθῶν καὶ πατρίων καὶ νόμων. Πάλιν τὰ ἐπιτάγματα πολλὴν τὴν δυσκολίαν εἶχεν, ὧν δὲ ἀφείλκοντο, πολλὴν τὴν ἡδονήν.

Πολλοὺς καὶ αὐτοὶ καὶ οἱ πειθόμενοι τοὺς κινδύνους, πολλοὺς τοὺς θανάτους ὑπέμενον· καὶ μετὰ τούτων ἁπάντων ὁ καιρὸς πολλὴν παρεῖχε τὴν δυσκολίαν, πολέμων γέμων, θορύβων, ταραχῆς, ὡς εἰ καὶ μηδὲν τῶν εἰρημένων ἦν, ἱκανῶς πάντα διαταράξαι. Εὔκαιρον εἰπεῖν· «Τίς λαλήσει τὰς δυναστείας τοῦ Κυρίου, ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις αὐτοῦ;». Εἰ γὰρ οἱ οἰκεῖοι μετὰ σημείων Μωϋσέως οὐκ ἤκουσαν, διὰ τὸν πηλὸν μόνον καὶ τὴν πλινθείαν, τοὺς καθ' ἑκάστην ἡμέραν κοπτομένους καὶ σφαττομένους καὶ τὰ ἀνήκεστα πάσχοντας, τίς ἔπεισεν ἀποστῆναι μὲν ἀπράγμονος βίου, τὸν δὲ ἐπικίνδυνον τοῦτον καὶ αἱμάτων καὶ θανάτων γέμοντα προτιμῆσαι ἐκείνου, καὶ ταῦτα ἀλλοφύλων τῶν κηρυττόντων αὐτοῖς ὄντων, καὶ σφόδρα πολεμίων πάντοθεν; Μὴ γάρ τις εἰς ἔθνη καὶ πόλεις καὶ δήμους, ἀλλ' εἰς οἰκίαν μικρὰν εἰσαγαγέτω τὸν μισούμενον παρὰ πάντων τῶν ἐν τῇ οἰκίᾳ, καὶ δι' αὐτοῦ σπουδαζέτω τῶν φιλουμένων ἀπάγειν, πατρὸς καὶ γυναικὸς καὶ παίδων· ἆρα οὐκ ὀφθήσεται διασπασθεὶς πρὶν ἢ διᾶραι τὸ στόμα; Ἂν δὲ καὶ ταραχὴ καὶ μάχη γυναικὸς καὶ ἀνδρὸς προσῇ κατὰ τὴν οἰκίαν, ἆρα οὐχί, πρὶν ἢ ἐπιβῆναι τῶν οὐδῶν, καταλεύοντες αὐτὸν ἀναιρήσουσιν; Ἂν δὲ καὶ εὐκαταφρόνητος ᾖ, καὶ φορτικὰ ἐπιτάττῃ, καὶ φιλοσοφεῖν τοὺς τρυφῶντας κελεύῃ, καὶ μετὰ τούτων πρὸς πολλῷ πλείονας καὶ ὑπερβάλλοντας αὐτὸν ὁ ἀγὼν ᾖ, οὐκ εὔδηλον ὅτι παντάπασιν ἀπολεῖται;

---

13. Ψαλμ. 105, 2.

δυσκολίαν, αὐτὰ δὲ ἀπὸ τὰ ὁποῖα ἀπεμακρύνοντο ἦσαν γεμᾶτα ἀπὸ πολλὴν ἡδονήν.

